

B906
Nicolas de Nicolaï
marquis de Presle



PERKINS LIBRARY
Duke University
Rare Books

3e

12

Device of Gulielmus Morelius
Printer in Greek type to the
King of France

Binding by one of
the Eves
A. Kay

B

ΒΟΥΔΑΙΟΥ
ΕΠΙΣΤΟΛΑΙ ΕΛΛΗΝΙΚΑΙ.

BVDAEI EPISTOLAE GRAECAE, PER ANT.
Pichonium Chartenſem Latinæ factæ.

Budé, Guillaume



Βασιλεὺς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής.

PARISIIS, M. D. LXXIIII.

Apud Ioannem Bene natum.

Ex dono R. P. de [illegible]
Ex libris domus S. Antonii parisiensis
catalogo inscriptus no. [illegible]

Hiſtoricos memorat claros, claróſque poëtas:
Quóſque parit celebres Itala terra ſophos.
Gallia non abs re Budæo gaudet alumno
Orbis quem latus ſuſpicit, ornat amat.
Protulit hic aſſem tenebroſa nocte ſepultum
Multáque, quæ nullo ſunt peritura die.
Græcia miratur, Græcè quæ ſcripſit amicis
Vt iam mel taceat fertilis Hybla ſuum.
Paſſibus hunc ſequitur doctus Pichonius æquis,
Quem conſtat tersè verba Latina loqui.

M. G. B.

A. R. AD ANT. PICHONIVM
Budæi epiſt. interpretem.

Hoc viuit Græco Budæus munere, viuis
Hoc Latio, Latium vita duobus erit.

FRANCISCI TILIER TVRONENSIS AD
Ant. Pichonium præceptorem ſuum.

Mentibus in noſtris virtus cùm præſidet æqua,
Illius & firmæ nobile ſtigma patet:
Non celebranda poteſt extingui tempore fama
Nominis, aſt viuit tempore perpetuo:
Sic tua nunc, Pichoni, lucida fertur ad aſtra,
Negligit & mortis ſpicula dira feræ.

IACOBVS DE MESME PARISINVS
ad Ant. Pich. præceptorem ſuum.

Nunc ſobolem Græcûm nullam ſupereſſe putabam,
Cùm premeret pauidam ſæua procella ratem.
Illa autem tunc viſa mihi, minimè exulo, dixit,
Sed latebras huius pectoris experior.
Tu doctus Latiis & linguæ doctor Achiuæ,
Quod Græcè noſti doctus vbique canis.
Ingenij fœtus teſtis, teſtéſque labores
Summi, doctrinæ teſtis & ipſe tuæ.

IN ZOILVM.

In nos atra malum ceſſet profundere virus,
Et creta Momus noſtra nigrare ſinat.
Hyppocriſis non mollia ſparſit corda veneno,
Nil cordi pugnans lingula noſtra tulit.
Non ego Medeæ vel Circes pharmaca noui,
Lædere queis poſſem pectora dura virûm.

ANTONIVS PICHONIVS ILLVSTRISSMIIS AC REVERENDISS. DIVI GATIANI DIVIQVE *Martini Antiſtitibus & Canonicis reliquíſque clariſſimis ciuibus Turonenſibus perpetuam ſalutem & pacem in domino exoptat.*

PLato diuinioris ſcientiæ auctor longè clariſſimus (viri præſtantiſſ.) non ineleganti quidem origine hominis naturam verbi notatione mihi videtur indagare: ἄνθρωπον enim dici vult, quaſi ſit ἀναθρῶν ἃ ὄπωπεν, id eſt cogitando reuoluens atque repetens ea quæ vidit. Quæ mehercule frequens & iterata repetitio plurimùm conducit ad illam philoſophiæ præſtantiam, quæ non vana, non tumida, nō diſputationibus rerum naturalium elata ſit, non denique mantica & ſquallore ſeſe populo venditet, ſed illum ſapientiæ amorem quem Græci ὀυρανόφρονα dicunt, anquirat & inueſtiget. Vnde non immeritò à moralibus philoſophis definitur animal diuinum rationis atque conſilij particeps, quòd præteritorum meminerit, futura prouideat, & præſentia cōſideret. Ob ídque pictorum eximiorum memorabile narratur inſtitutum, quo per interualla ſubinde tabulas peruident: credo, vt picturæ amore quadantenus refrigerato, perinde ac ſpectatores acri perpenſione vel minima quæque diſpiciant: Pingendi enim aſſiduitate hebeſcit plerunque oculorum & ingenij acies. Deinde fit neſcio quo pacto, vt omnes φιλαυτίᾳ decipiamur, ac ſuū cuique pulchrum videatur. Quod vitium facilè declinari poterit ſi diligentem præparationem in rebus peragendis adhibeamus. Ideóque Agatharcho ſibi nimiùm placenti, quòd tabulas depingeret celeriùs: ἐγὼ δὲ πολλῷ χρόνῳ, Zeuxis inquit. quapropter ne veluti mei amore obcæcatus viderer, officij eſſe mei iudicaui, vt quæ diutino tempore apud vos agens horis ſucciſiuis elaboraueram, ea tandem in publicum emitterem, vobíſque conſecrarem, quos mihi fideli ſanctáque amicitia iunctos, meíque amantiſſimos multis rationibus comperi: ne alioqui vnus inter tot operi intentiſſimos ceſſator eſſe viderer, néue, vt eſt apud Homerum, ὠλεσίκαρπος iure dicendus eſſem. Ea enim lege atque omine me ab ineunte ætate literis addixi, vt in moderanda iuuentute earum cupida huius meæ vitæ curſum contererem, eíque vel docendo, vel ſcribendo aliquid vtilitatis adferre poſſem. Quod his notum eſſe exiſtimo, qui non toruis hactenus proſpexerūt ſuperciliis meos in hoc munere obeundo labores. In hoc enim ſpeciale decorum ſitum eſſe intelligimus, vt quod ſuæ cuiuſque naturæ conueniat, vi hominis & proprietate ſeruata, id in totius ætatis curriculo, is tueatur ac retineat. Non mirum eſt igitur ſi cùm præſentibus tum abſentibus prodeſſe cupiens harum mearum lucubrationum editionem maturauerim. Quanuis autem opus prima fronte non magnopere arduum appareat, eiuſmodi tamen eſt, vt eius gratia ſolertior quàm ego aliquis fortaſſe ſumpturus fuerit elleborum: Quod Carneades ſubtiliſſimus argumentator quondam faciebat contra Zenonem dicturus aut ſcripturus. Atque adeò prædicare non deſinam, & conſtantiſſimè tueri, nullam ineſſe vocem, quæ pura non ſit & elegās, atque à claſſicis auctoribus recepta. Iuncturam quidem nō ita politam eſſe vt meram redoleat phraſin Ciceronianam, fateri poſſim: Verùm id tribuendum eſt Græcæ locutioni, extra cuius cancellos nunquam egreſſus ſum. Nam in vertendo, magnum eſt, ſi candori ſermonis & veritati ſententiarum ſimul ſeruias. Omitto propriam huius ſcriptoris obſcuritatem ex verborum grauitate, & ſententiarū pondere manantem: Quæ res maximum quodque ingenium defatigare ac torquere poſſunt. Etenim tam exactus eſt ipſius Atticiſmi obſeruator Budæus noſter totius Galliæ ſplendor, vt (ſi ita loqui fas ſit) non peccando peccet, & nihil ſit, quod hac in re diſcere velis, quod ille docere non poſſit. Nec ipſum arbitror Demoſthenem reliquóſque auctores Græcos magis Atticos eſſe. Proinde gratiam non mediocrem diuinæ prouidentiæ habeamus, quòd tantùm ingenij & eruditionis lumen in homine ἡμεδαπῷ produxerit. Qui vſqueadeò eſt admirabilis, vt eum tanquam numen aliquod ſtudioſi omnes hactenus coluerint. Priſci ſiquidem illi ſapientes literas cęteráſque artes ingenuas adinuenerunt: At Budęus, ne eorum ſcripta in obſcuro iacerent ſuis laboribus effecit, ἡράκλειον ἆθλον ὑπομείνας. In hoc igitur elegantiſſimo huius locupletiſſimi auctoris opere interpretando effecimus, vt quę antea diligentiſſimus lector idémque doctiſſimus vix attingere poterat, nunc pueri étiam rudiores vel conniuentibus oculis, vnóque propemodum intuitu obſeruare & intelligere valeant, ſicque ſua ſtudia

359219

AD IOANNEM FORGET ORATOrem eloquentiſſimum in curia Turonenſi.

Cùm tua tot claris ſplendeſcant ora lapillis,
Cùm tibi tantum alto nectar ab ore fluat:
Cæſia te dea mater, blandæque puellæ
Aurea quæ ſeruant poma tulere ſinu.
Vel te magna Iouis nutrix, ſua ad vbera mouit,
Mnemoſyne & matre, & te, Pataræe, patre.
Ergo age nunc Pallas mater fulua inſere poma
Huic chartæ, vt niteat, ſitque referta bonis.
Mnemoſyne ſi matre ſatus Phœbóque parente
His meritò viues ſemper in ore virûm.

AD NICOLAVM NANCELLIVM medicum peritiſſimum.

Vulgarem cupiunt laudem plerique mereri,
Et ſua centeno lumine ſcripta legi.
Non ea nos vexat laudis veſana libido.
Illa etenim nobis, ſi cupiamus, abeſt.
Cùm noſtram laudas, laudat quoque turba, Thaliam,
Nam nobis inſtar totius es populi.

AD DOMINVM DE CHANZELLES cauſidicum regium in curia Turonenſi.

Summus vbi cœli contorquet fulmina rector
Plebs fugit ad platanum proxima damna timens:
Cùm quatit in populum litis diſcordia fulmen,
Ad tua concurrit numina turba frequens.

AD CLARISSIMVM VIRVM PEtrum Brixium regis eleemoſynarium.

Si loca queis ſidit virtus celeberrima fiunt,
Quis locus hoc ſacro clarior eſſe poteſt?
Stemmatibus luces virtutis, ſanguine claro
Omnia quæ reddunt nomina clara magis.

NICOLAVS THIERSAVLT PARISINVS AD Antonium Pichonium obſeruantiſsimum præceptorem ſuum, Bud. epiſt. interpretem.

O nimiùm felix quem laurea ſerta coronant,
Et qui Græcorum numina ſancta colis.
Non vni tua Pichoni ſapientia prodeſt,
Sed cunctis, laudis magna trophæa tenens.

AD ANT. RANCHERIVM

in ſenatu Pariſienſi patronum diſertiſſimum.

Nec te Palladij nunc gloria magna ſenatus
Liquero, Rancheri, maxima pars animæ.
Scilicet vt ſtatio fida es portúſque miſellis,
Tu viduæ noſtræ nauita ſiſque ratis.
Illa cupit placido defeſſa reſidere portu,
Tu quia Neptunum ponere nauta potes,
Noſtra gubernator trepidæ duc vela carinæ
Ad portum, atque tuo numine dexter ades.

ΒΛΕΡΜΟΣ ΠΛΑΓΚΙΟΣ

τοῖς τῶν Ἑλληνικῶν λόγων ἐρῶσιν εὖ τε πράττειν, καὶ τῇ διπλογλωττίᾳ εὐτυχῶς ἀντείβειν.

ΠΟλλάκις παρ' ἐμαυτῷ ἐνθυμησάμενος καὶ κατὰ τὸν νοῦν ἀναπολήσας τὴν προθυμίαν τε καὶ φιλομάθειαν τὴν ὑμετέραν ὦ νέοι προσφιλέστατοι, τὴν ἐς τὰ τῶν Ἑλλήνων φερομένην τὰ νυνὶ περισπούδαστα, τῶν προὔργου τι καὶ τὴν ὑμῶν σπουδὴν ἐπικουφιούντων ποιήσεσθαι ἡγησάμην ἔγωγε, εἰ τοῦ Βουδαίου τοῦ, ὡς εἰπεῖν, βουδαήμονος, καὶ τοὺς ἐφ' ἡμῶν τῇ γε διπλογλωττίᾳ ἀμωσγέπως γνωρίμους καὶ περιβοήτους ὑπὸ τῆς ἄγαν σπουδῆς τε καὶ εὐφυΐας ἐπιεικῶς ἐξησκημένους ἅπαντας· ἀπείη δὲ τῷ λόγῳ φθόνος· πολὺ παρευδοκιμοῦντος ἐπιστολὰς Ἑλληνικὰς κατὰ τὴν ἐνδεχομένην ἐπιμέλειαν ἐξηγήσασθαι ἐπιβαλοίμην. τῇ μὲν τῷ πᾶσι πεπαιδευμένοις μὴ ὅτι τοῖς νεωτέροις χρησιμωτάτας αὐτὰς εἶναι, τοῖς γε παιδείᾳ ἐνευδοκιμεῖν πεφυκόσι, τῇ ἐν τῷ παρόντι κροτητῇ τε καὶ θαυμαστὸν ὅσον σπουδαστῇ. ἐπεὶ πάμπολλα τῶν παρὰ τοῖς πάνυ συγγραφεῦσι δυσνοήτων καὶ δυσπαρακολουθήτων τὸν ταῖς δὲ ἐπιστολαῖς ὁμιλήσαντα μὴ μαθήσεσθαι· οὐκ ἔσθ' ὅστις ἂν εἴη ἔξαρνος, τῶν γε τοῖς μαθήμασι τοῖς ἐλευθερίοις ἐντυχόντων. τῇ δὲ καὶ διὰ τὸ ὁρᾶν ἐμὲ πολλοὺς τῶν καθ' ἡμᾶς νέων ὁτιοῦν ποιοῦντας, καί, τὸ τοῦ λόγου, πάντα κινοῦντας λίθον ἐφ' ᾧ δὴ δεῖν πρὸς ἀλλήλους ξενίσαι, καὶ δὴ ἐπιστόλια γράψαι ἑλληνιστὶ φθεγγόμενα.

GVLIELMVS PLANCIVS

literarum Græcarum cupidos ſaluere iubet, & vt in vtriuſque linguæ facultate auſpicatò ſe infricent & in eadem conquieſcant, exoptat. A. Pichonius.

SÆpenumero apud me perpendens & corde volutans veſtri animi propenſionem diſcendíque amorem, adoleſcentes chariſsimi, ad Græcorum monimenta nunc vndiq. in precio habita affectatáque vergentem: quod operæprecium & conducibile eſſet, quódque veſtra ſtudia exoneraret expeditioráque redderet me facturum equidem cenſui, ſi Budæi (vt ita loquar) Budaëmonis valdéque periti & cunctos noſtræ ætatis Græcæ Latinæque linguæ experientia quauis ratione præclaros ac percelebres longè ſuperantis, propter vehementiſsimum ſtudium atque ingenij bonitatem probè abundéque excultam (abſit verbo inuidia) Græcas epiſtolas enarrare aggrederer. Partim quidem eo quòd eædem ipſæ eſſent perutiles omnibus eruditis, nedum rudioribus natúque minoribus, qui quidem à natura ſunt comparati & in lucẽ editi, vt eruditione polleant, quæ in præſentia applauſu excipitur, atque mirifico fauore colitur. Quandoquidẽ ex his qui cũ ingenuis artibus commercium habent, nullus eſt qui poſsit aſſerere in his epiſtolis verſatum, non intellecturum quàmplurima apud claſsicos auctores captu difficilia & obſcura. Partim verò quòd etiam multos noſtri temporis iuuenes cernebam quiduis facientes, & (quod aiunt) omnem mouentes lapidem, ob id videlicet, vt inuicem noua peregrináque lingua vterentur, epiſtolas quoque ſcriberent Græcè ſonantes,

iſtúdque plurimi ducentes. Mihi autem de earum editione publicationéque deliberanti ac meditanti, ab huiuſmodi conatu deſciſcendum eſſe viſum eſt, quin prius ego allocutus eſſem Budæum ipſum de omni negocio. Poſtquàm igitur cum ipſo communicaui, & huius rei faciendæ licentiam ab eodem efflagitaui, non modò hanc meo arbitrio commiſit, ſed etiam proprium codicem vltrò & hilari fronte vt eo vterer quomodo vellem, mihi conceſſit. Etenim in eo continebantur ea quæ propria manu adnotata & emendata erant, quæque transformata, nonnulla verò exactiùs elucubrata abſolutáve, quemadmodum & ea quæ nunc & quæ prius publicata fuerunt examinantibus fuerit perſpicuum. Proinde ſi & ipſi ſine fuco hiſce epiſtolis intenti & non ſeparatim aßidui fueritis, iiſdémque infixi adhæſeritis, vos, opinor, minimo negocio celerrimè vltrò citróque externa lingua vſuros, necnon commodè eloquendi ſtilum ornaturos, atque adeò in promptu ſuperaturos omnes moleſtas argutias [paßim occurrentes] apud alios auctores. Valete, & in Budæi vtriuſque linguæ reparatoris exactíque emendatoris amore perſeuerate, eorum gratia quæ vobis abundè ſuppeditauit. Lutetiæ Pariſiorum, anno à natiuitate Chriſti.

1540.

καὶ τοῦτο δὲ περὶ πλείστου ποιουμένους. ἐμοὶ δὲ περὶ τῶν δ᾽ ἐκδόσεως διανοουμένῳ καὶ φροντίζοντι, τοῦ ἐγχειρήματος τοιοῦδ᾽ ἀποστατέον εἶναί μοι παρέστη, πρίν γ᾽ ἂν ἐγὼ ἀνακοινωσαίμην Βουδαίῳ αὐτῷ περὶ πράγματος ὅλου. αὐτῷ τοίνυν κοινολογήσαντος ἐμοῦ καὶ τοῦ τόδε ποιεῖν ἐξουσίαν αὐτὸν ἀπαιτήσαντος, οὐχ ὅπως τοῦτ᾽ ἐπέτρεψέ μοι, ἀλλὰ καὶ τὴν ἰδίαν αὐτοῦ βίβλον αὐθαιρέτως τε καὶ ἡδέως χρῆσθαι ὅτι βουλοίμην ἔδωκεν. αὐτῇ γὰρ ἐνῆν, τὰ μὲν ἰδιοχείρως σεσημειωμένα καὶ ἐπηνωρθωμένα, τὰ δὲ μετακεκοσμημένα, ἔνια δὲ καὶ μᾶλλον ἀπηκριβωμένα, ὥσπερ τοῖς τά τε νῦν καὶ τὰ πρόσθεν ἐκδοθέντα παρεξετάσουσι γένοιτ᾽ ἂν κατάδηλον. ἐὰν τοίνυν καὶ αὐτοὶ ταύταις ἐπιστολαῖς γνησίως ἐφιστάντες, καὶ προσλιπαροῦντες ἀναπαύστως διατελέσητε, ῥᾳδίως οἶμαι καὶ ὑμᾶς οὐκ εἰς μακρὰν πρὸς ἀλλήλους ξενιεῖν τε καὶ λυσιτελῶς ἀσκήσειν τὸν χαρακτῆρα, πάσης τε δυσχερείας τῆς παρὰ τοῖς ἄλλοις συγγραφεῦσιν εὐχερῶς ἐπικρατήσειν. ἔρρωσθε, καὶ Βουδαῖον τὸν ἀμφοῖν ταῖν γλώτταιν ἀνακαινιστήν τε καὶ ἐπανορθωτὴν ἀκριβῆ, ἀνθ᾽ ὧν ἐκτενῶς ὑμῖν ἐπορίσατο φιλοῦντες διατελεῖτε. ἐκ Παρησίων, ἔτει ἀπὸ τῆς θεογονίας

,α φ μ.

AD CLARISS. VIRVM IACOBVM A PORTA *in ſenatu Pariſienſi oratorem eloquentiſſ.*

Nobilitas actis non ſiſtit celſa paternis,
    Stemmata nec quenquam nobilitare queunt.
Nobilis eſſe poteſt choreas qui luſtrat Olympi,
    Et qui virtutis ſtig mata firma gerit.
Dulcia cùm loqueris, labuntur flumina Pimplæ
    Caſtaliúſque tuo decidit ore liquor.

A. P.

ΒΟΥΔΑΙΟΥ

ΙΛΕΡΜΟΥ ΒΟΥΔΑΙΟΥ

ΕΠΙΣΤΟΛΑΙ ΕΛΛΗΝΙΚΑΙ.

GVLIELMI BVDÆI EPISTOLÆ GRÆCÆ.

ANTONIO PICHONIO CHARTENSI INTERPRETE.

ΓΙΛΕΡΜΟΣ ΒΟΥΔΑΙΟΣ

Λοδοΐκῳ τῷ αὐτοῦ ἀδελφῷ εὖ πράττειν.

Τῇ ὑστεραίᾳ τῶν θεοφανίων ἐκ τῆς ἀγροικίας τῆς ἐμῆς ἐπανήκων, νυκτὸς ἤδη πολὺ προϊούσης, τὴν ἐπιστολὴν ἐκομισάμην τὴν σήν, ἣν εὐθὺς ἀνοίξας, λυχνίον τε καὶ φῶς ἐκέλευσα προχειρίζεσθαι τὸν θεράποντα, ἵνα τε τοῖς ἐρωτήμασί σου ἀποκριναίμην τοῖς ἐν τῷ χάρτῃ σεσημειωμένοις, καὶ σοι ἑλληνιστί με προκαλεσαμένῳ, εἴ τι σχολῆς περιείη, ἐπὶ τῇ τῶν ἀπορημάτων διαλύσει, καὶ δὴ ἀνταγωνισαίμην. ἐπεὶ δὲ ἴσως οἴει με βαθείᾳ τινὶ ἐναλινδεῖσθαι σχολῇ, εἰδέναι σε χρή, ἡμᾶς μὲν καινὸν τοῦ βίου προῃρῆσθαι ἐπιτήδευμα, πάνυ τοι ἐξηλλαγμένον τῆς πρότερον φιλολογίας. τούτου γε τοῦ καινοτομήματος ἀφορμήν μοι παρεχούσης οὐκ οἶδ᾽ ὅπως τῆς τύχης. αὐτίκα τε τοι δέδοκταί μοι οἰκοδόμημά τι οὐ φαῦλον οὐδὲ τὸ τυχὸν ἐγείρειν, ἵνα μὴ

GVLIELMVS BVDÆVS

Ludouico ſuo Fratri ſalu-tem dicit plurimam.

POSTRIDIE Epiphaniæ dominicæq. manifeſtationis ex prædio meo reuerſus, nocte iam multùm procedente ac terras opacante, ad me tuæ allatæ ſunt literæ, quibus ſtatim apertis, famulo præcepi vt ob oculos meos poneret candelabrum & lumen, quò & tuis petitionibus interrogationibúſque in charta deſignatis & annotatis ſatisfacerem, tibíque Græcè me prouocanti protinus repugnarem ac obluctarer, ſi quid otij ſuperfluum eſſet, ad tuarum quæſtionum hæſitationúmque explicationem. Sed quoniam fortaſſis opinaris me in profundo & extremo quodam otio inuolui, ſcias oportet, nos quidem nouam vitæ rationem conſultò inſtituiſſe, à priſtino literarum inſigni ſtudio magnopere degenerantem: huius quidem innouationis haud noui quo pacto mihi occaſionem exhibente fortuna. Confeſtim certè viſum eſt mihi ſubſtructionem quandam non ignobilem neque triuialem erigere, ne

prædium meum Marlianum inglorium ignotûmq. periret. Quod quidem huc vſque inhoſpitale, & fermè deuium deſertúmque fuit, non ſolùm aliis, verumetiam mihi eiuſdem poſſeſſori. Nec id modò [apud me conſtitutum eſt] verumetiã ædificandum opus ſtatim vere nouo exoriente, haud dudum ex chirographo & ſtipulatione locaui quemadmodum in huiuſmodi rebus fieri ſolet. Ad hæc ſpero me hortum nunc magnum atque ſplendidum propediem muris cincturum, vbi primum huius rei faciẽdæ temporis opportunitas permiſerit. vſqueadeo iuueniliter ad ædificiorum ſtructuram mea natura comparata eſt. Et enim vineam habens in Sammauriano pago triginta fermè ſtadiis ab vrbe diſtinctam maléq. fructificantem, & propè alternis annis ſiue frigore pruináque congelatam, ſiue ab alia quadam cæli iniuria læſam, & quod eſt miſerrimum, haud exuberantem, ne in annua quidẽ fertilitate, bonorúmque omnium vbertate. hanc quidem periculi denunciatione minis terrebam, niſi fidelius culturam retribueret, & ſumptum, me ipſam in auctione venditurum. Tandem vero etiam iuriſiurandi interpoſitione affirmare coactus fui, profectò eam planè incultam vaſtatámque fore, niſi intra aduentantem annum ipſa tempeſtiuè ſuum produceret fructum. Neque porrò tunc fructuum prouentu conueniente culturę ac ſumptibus, cúmque emptore non potiretur: Iam enim malè audiebat propter ſterilitatem vuarúmq priuationem: Iam incertus quid mihi de ea facto eſſet opus.

τὸ χωρίον ἐμὸν τὸ Μαρλιανὸν ἀδόξου μὲν εἴχετο, καὶ ἀγνώστου. ὅπερ μέχρι τούτου ἄξενον τυγχάνει ὄν, καὶ μονονοὺκ ἄβατον, οὐχ ὅτι τοῖς ἄλλοις, ἀλλὰ καὶ τῷ κεκτημένῳ μοι. οὐ μόνον δὲ ἀλλὰ καὶ τὸ οἰκοδομηθησόμενον ἔργον ἔαρος εὐθὺς ἐπιγινομένου, ἐκδεδωκὼς ἤδη ἐκ συγγραφῆς, ὁποῖον φιλεῖ γίνεσθαι ἐν τοῖς τοιούτοις. προσέτι παράδεισον νυνὶ μέγαν τε καὶ περικαλλῆ αὐτίκα δὴ τειχιεῖν ἐλπίζω, ἐπειδὰν τάχιστα ἐγχωρῇ ἡ ὥρα τοῦ τόδε ποιεῖν. οὕτω νεανικῶς ἔχω εἰς τὴν οἰκοδομικήν. ἄμπελον γάρ τοι ἔχων τριάκοντά που σταδίων τοῦ ἄστεος ἀφεστηκυῖαν, ἐν Σαμμαυρείῳ κώμῃ, κακῶς τε καρποφοροῦσαν, καὶ παρ' ἔτος σχεδὸν ἤτοι παχνουμένην ἢ ἄλλως πως οὐρανόθεν βεβλαμμένην, καὶ τὸ δυστυχέστατον, οὐκ εὐθενοῦσαν οὐδ' ἐν εὐετηρίᾳ. ταύτῃ μὲν πολλάκις ἠπείλουν εἰ μὴ πιστότερον ἀνταποδώσοι τὴν ἐργασίαν τε καὶ δαπάνην, αὐτὴν ἀποκηρύξειν. τελευτῶν δὲ καὶ ἐπομόσαι ἐξηνάγκην, ἦ μὴν χερσωθήσεσθαι ἂν μὴ ἐς τὸ ἐπιὸν ἔτος αὐτὴ τελεσφορήσῃ. οὔτε δὲ τῶδε ἀπαντώσης τῆς εὐκαρπίας τῇ τε ἐργασίᾳ καὶ χορηγίᾳ, ἐπεὶ δὲ ὠνητὴν οὐκ εὑρίσκετο (κακῶς γὰρ ἤδη ἀκούουσα ἐτύγχανεν ἐπὶ τῇ ἀκαρπίᾳ) οὐκ ἔχων ἤδη ὅτι χρησαίμην αὐτῇ,

ἄχρι γε τούτου ἠχθέσθην, ὥστε καὶ τὴν ἄμπελον εἰς κῆπον, ὡς ἂν τύχοι, μετασχηματίσαι μοι ἔδοξε ἀφοσιώσεως εἵνεκα. οὕτω γὰρ ἂν ἀπαλλαγῆναι τοῦ ὅρκου ἐλογιζόμην. ἄλλο μέντοι καὶ ἄλλο γε μετέδοξέ μοι μεταξὺ τοῦτο ποιοῦντι, ἄχρι δὴ εἰς τοῦτο περιῆλθον περιεργίας, ὡς καὶ παρὰ τῶν προσχώρων μόρια τινὰ τῶν χωρίων προσκτήσασθαι, ὅπως ἂν μείζω τε χρείαν καὶ τὸν τετράγωνον ὄν περίβολον. πολλὰ δ' οὗτοι πράγματα ἀγορασείοντί μοι παρείχοντο, τὰς τιμὰς τῶν σφετέρων ἐπιτείναντες χωρίων, καὶ νῦν ἔτι αὐτῶν ἔνιοι μετέωρόν με ἔχουσι χαλεπῶς ἀνεχόμενον τῆς διαμελλήσεως. πάντες γοῦν θαυμάζουσί μου δὶς καὶ τρὶς ἐκεῖσε φοιτῶντος ἑβδομάδος. σὺ μὲν δὴ καὶ σὺ ἰδὼν ἂν ἀγασθείης ὥσπερεὶ ἔργου τινὸς μεγίστου ἐπιμελητήν, δεξιῶς δή που τῶν τε φυτουργῶν καὶ τῶν γεωρύχων ἐπιστατοῦντα τῶν ἐκεῖ ἐργαζομένων. πολὺς δέ εἰμι μάλιστα καὶ διατελῶ προσλιπαρῶν καὶ ἀτενῶς προσέχων τοῖς σταθμωμένοις τοὺς περιπάτους τούς τε ἀνὰ τὸ εἰργασμένον χώρημα, καὶ τοὺς ἐχομένους, τοῦ νῦν μὲν χαρακώματος ὄντος ἐπικαίρου, ὑπάρξοντος δέ ποτε περιβόλου καλῶς τε τετειχισμένου καὶ κονίᾳ περιθριγκωμένου. εἰσὶ γὰρ διττοὶ οἱ περίπατοι, οἱ μὲν ἀμφὶ τὸ χώρημα τὸ πεφυτευμένον περιθέοντες,

vſque adeo excandeſcebam, vt mihi [contriſtato] certum fuerit vineam tranſmutare quoquo modo in hortum defunctoriæ expiationis gratia: Eo enim pacto me exiſtimabam à iureiurãdo abſolui ac liberari poſſe. Aliud igitur atque aliud vtique interim mihi iſtud facienti mutata ſententia placuit, donec ad hanc ſanè delapſus ſum curioſitatem, vt etiam à vicinis nonnullas agrorum portiones mihi inſuper acquiſiuerim, quò maior mihi eſſet ambitus quadrangularis. Multa porrò iſti mihi emendi cupido faceſſebant negocia, ſuorum agrorum precia augentes, nunc etiam quidam ex ipſis anxium me habent, grauiter & iniquo animo perpetientem hanc dilationem. Omnes quippe me bis térque in hebdomade illuc itantem improbant. Quinimo etiam tu ſi horum teſtis eſſes oculatus me admirareris non ſecus atque magni & memorabilis cuiuſdam operis curatorem, ſcitè nimirum regentem plantatores ſuffoſſoréſque qui illic operantur. Fre quens verò ſum præſertim affixúſque perſiſto & attentè animum adiungo ſpatia ad amuſſim dirigentibus per artificioſè confectum alueum, & ea quæ adhærent præſenti quidem vallo, quod eſt opportunum, ſed aliquãdo ſeptum erit, muróque loricato & calce redimito ornatè circundatum. Duplices ſiquidem ſunt deambulationes, aliæ quidem in gyrum currentes prope alueum viuis radicibus plantiſque refertum,

aliæ vero per medium inſtar crucis recto tramite ſe inuicem diuidentes. Omnes autem ad amuſſim accuratè ſibi reſpondent, quemadmodum propagines & nouellæ plantæ recto ordine procedentes conſitæ ſunt, nuſquam diſcrepantes, quod & commemoratu dignum eſt. Ideóque ex quauis parte inter ordines videre eſt ſpatia à capite ad calcem mutuo cohærentia. Quo pacto potiſſimum venuſtas totius operis ordinationíſque ſpecioſa eſt & perelegans, cunctis huius ſationis partibus apta & decenti ſerie collocatis & ſibi inuicem congruentibus. Ergo in ea mente & attentione aut totus ego aut multus ſum, ipſos operarios vrgens, ac redemptorem totiúſque operis ſuſceptorem obſeruans principem alioqui in excogitando ordinandóque toto ædificio. Formidans vtique partim quidem ne temporis tranquillitate mutata frigus plantationem opprimat, & ſemiperfectum opus deſerere cogantur hortulani: Partim verò ne aliqua in re turbato & aberrante ædificantium principe, plãtationis aſpectus oculis iniucundus appareat. verùm, O hominis amentiam: qui quidem heri & nõ ita pridem bonas literas ac diſciplinas maximè omnium circa eas laborantium meditando, tractabam, & qui ætatis florẽ in lectione meditationéq. contriuerim eorũ qui in vtriuſq. linguæ peritia ſapiẽter elegantérque verſati ac perpoliti ſunt;

οἱ δὲ διὰ μέσου, σταυρηδὸν πρὸς ὀρθὰς ἀλληλοτομούμενοι. ἅπαντες δὲ πρὸς στάθμην ἀπηκρίβωνται, ὥσπερ καὶ τὰ μοσχεύματα καὶ τὰ νέα φυτὰ στοιχηδὸν πεφύτευται, οὐδαμοῦ παραλλάττοντα, ὃ καὶ λόγου ἄξιον. πανταχόθεν γοῦν τὰ μεταξὺ τῶν στοίχων μετόρχια ἐξ ἀρχῆς ἄχρι τέλους πρὸς ἄλληλα θεωρεῖν ἐστίν. ᾗ καὶ μάλιστα εὐπρόσωπον τὸ σχῆμα καὶ περικαλλὲς τοῦ σύμπαντος ἔργου καὶ τῆς διατάξεώς ἐστι, πάντων τῶν τοῦ φυτεύματος μερῶν καταλλήλως ἐπὶ στοίχου κειμένων καὶ ἀπαντώντων ἀλλήλοις. ἐν ταύτῃ μὲν οὖν διανοίᾳ καὶ προσοχῇ ἢ ὅλος ἐγὼ ἢ πάμπολύς γέ εἰμι, τούς τε ἐργάτας αὐτοὺς κατεπείγων, καὶ τὸν ἐργολαβήσαντα ἐπιτηρῶν, τὸν ἀρχιτεκτονούμενον τὸ κατασκεύασμα αὐτὸ σύμπαν. δεδιὼς δήπου πῇ μὲν, μὴ τοῦ χρόνου καταστάσεως μεταβαλούσης ἐπιλάβῃ τὸ ῥῖγος τὴν φυτουργίαν, καὶ ἡμιτελὲς τὸ ἔργον ἀπολιπεῖν ἀναγκασθῶσιν οἱ κηπεύοντες. πῇ δὲ, μή τι σφαλλομένου καὶ διαμαρτάνοντος τοῦ ἀρχιτέκτονος, ἀσχήμων ἡ ὄψις τοῦ φυτουργήματος φανῇ. ὢ τῆς ἀβελτηρίας. χθὲς οὖν καὶ πρῴην ἐγὼ τὰ τῶν λόγων καὶ μαθημάτων μάλιστα πεφροντικὼς ἁπάντων τῶν περὶ ταῦτα σπουδαζόντων, καὶ τὴν τῆς ἡλικίας ἀκμὴν ἐν τῇ ἀναγνώσει ἀναλωκώς. καὶ προσοχῇ τῶν ἐν ἀμφοῖν ταῖν γλώτταιν σοφῶς καὶ κομψῶς ἐξησκημένων,

ἁπασῶν γε τῶν οἰκονομικῶν σπουδῶν ἀμελήσας καὶ περιϊδὼν, νῦν εἰργασμένης γῆς καὶ πεφυτευμένης κηδόμενος ἔσομαι; καὶ νὴ Δί' εἰς τοῦτό μοι ὡς ἔοικεν ἡ τῆς παιδείας σπουδὴ περιέστη δυοῖν ἢ τρισὶ μησὶν, ὥστε τὴν γραμματικὴν ἀπομαθὼν δήπου, αὐτίκα δὴ μάλα μεταμεμαθηκὼς οἶμαι τὴν χρηματιστικὴν ἔσομαι. καὶ δὴ καὶ ὅσγε τὴν κατανόησιν ἐναγκαλευμένην ἔχειν ὁλοσχερέστατα ἐν τοῖς μαθήμασι τοῖς ἡδυπνείοις εἰώθειν, νῦν ἔξω τὸν νοῦν περισπώμενον δυσὶν ἐπιμελείαιν ἀπηρτημέναιν ἀλλήλων, ἀνθελκούσαιν δήπουθεν ἐμὲ δυοῖν ταῖν ἐπαύλεοιν τῆς τε Μαρλιανῆς, καὶ τῆς Σαμμαυριανῆς, πολὺ ἀφεστηκυίαιν. τοῦτο μὲν δὴ μηνῦσαι σοι διὰ ἐπιστολῆς ἐπῆλθέ μοι, τοῦτο μὲν, ἀφορμὴν ζητοῦντι καὶ πρόφασιν τοῦ ἀντιγράψαι ἀρχεκάκῳ. θεμιτὸν γὰρ ὡς ἔοικεν, ἀντιξενίζειν τῷ λόγῳ πρὸς τὸν προκαλούμενον. τοῦτο δὲ ἵν', εἴ τι συμφέρειν πρὸς τὴν ἐμοὶ ἐπιτετηδευμένην φυτείαν ἔχοις, μὴ φειδόμενος ἀμελήσῃς, οἶδα γὰρ τὰ παρ' ὑμῖν περσικὰ τὰ περιᾴσιμα, θαυμαστὸν ὅσον ὄντα διαβόητα. ἐπὶ δὲ ταύτῃ τῇ ἀσχολίᾳ καὶ τὴν γυναῖκα λοχευθεῖσαν τότ' εἶχον, ὅτε τήνδε τὴν ἐπιστολὴν ἔγραψα, ὄγδοον μοι τουτὶ τὸ παιδίον εὐτυχῶς γεννησαμένην, οὗ περ ἕνεκα χάριν τῷ θεῷ οἶδα, καὶ ὁμολογῶ περιβοῶν τὰς γὰρ μὲν ἔτι καὶ νῦν ἄρρενας ἓξ ἔχων παῖδας,

omnes paruipendens domeſticas ſolicitudines & victus rationem ſuppeditantes, nunc terræ cultæ & arboribus conſitæ rationem habebo? Ac per Iouem vt mihi videtur, humanitatis ſtudium ad iſtud deuenit ac degenerauit, duobus tribúſve ab hinc menſibus, vt grammaticam nimirum dedoctus, mox ſanè opinor valdè mea me ſententia vertente locupletandi artem didicero. Quinimo ego qui quidem conſueueram habere cogitationem omnino occupatam in manſuetioribus diſciplinis, nunc mentem diſcerptam atque diuiſam habebo duabus curis à ſe mutuo diſtinctis, me videlicet retrahentibus duobus prædiis, Marliano inquam, & Sammauriano, longè abſentibus. Atque iſtud tibi literis ediſſere re mihi in mentem venit, partim quidem occaſionem perquirenti ac reſcribendi prætextum. Namq; fas erat vt apparet, peregrinis vti verbis apud eũ qui me laceſſiuiſſet incitauiſſétque: partim vero vt ſi in te ſitũ ſit aliqua in re mihi prodeſſe quoad inſtitutam conſitionem, ne poſthac negligas. Compertũ enim habeo apud vos eſſe poma perſica præconia mirum in modum famoſa & inſignia. In hac autẽ negociatione, cùm hanc ad te dedi epiſtolam, coniugem habebã partus angore in lecto iacentem, octauum hunc puerum auſpiciis fauentibus mihi enixam, ob quam rẽ diuinum agnoſco beneficium, palámq. prædico. Sex porro etiam nunc habens pueros mares adhuc ſuperſtites,

ex vna filiola nondum ad plenum verba formante voluptatem capio, in mea menſa iucundiſſimè paraſitante. Enimuero cùm etiam in domicilij ſubſtructione, & in huiuſmodi curioſitate ſimus occupati, vnum nos præſertim interpellat, & commouet; quod quidem crebrò conſueuit moleſtiam adferre his qui præclara & magnifica inſtituta ſibi delegerunt, [vt pote] pecuniarum defectus. Is enim onus moleſtiſſimum & grauiſſimum meis anxietatibus ſuperaddit. Nam quid rei eſt pecuniarum deſtituto cum ædificiorum ſtructura & huiuſmodi negociatione? Sed quid faceres, vbi nec vlla conatuum tuorum pœnitentia te habeat, nec ſi maximè tuorum conſiliorum pœnitentiam ſubeas, nequaquam tibi facultas ſit reiiciendæ ſtoliditatis? Atqui hoc equidem iudicium libenter apud te huius litis diremptorem ſubeo, vt probè noui, non difficili neque rigido animo affectum in eos qui talia perperam egerunt. Quo enim modo, tu qui eandem ipſam inconſultæ temeritatis inſanæque ſubſtructionis accuſationem declinaſti? Itaque ob id iniuria me magnæ inconſiderantiæ inſimulaueris. Ac tua quidem gratia in hoc intrepido ſum animo, quandoquidem non te ipſum hoc vitio condemnaueris: Et vero iſta tibi de me comperta alioqui eſſe oportebat. Nam vt eſt in prouerbio, Amicorum communia ſunt omnia. atqui præterquàm quòd ipſi fraterna conſanguinitate copulati ſumus,

ἑνὶ θυγατρίῳ τέρπομαι ἔτι ὄντι νηπίῳ, μάλα ἡδέως τῇ ἐμῇ τραπέζῃ παρασιτοῦντι. οὐ μὴν ἀλλὰ καὶ ἡμῖν περὶ τὴν οἰκοδομικὴν οὖσι καὶ τὴν τοιαύτην περιεργίαν, ἓν μάλιστα ἐνοχλεῖ, ὅπερ καὶ αὐτὸ φιλεῖ πολλάκις παρενοχλεῖν τοῖς τὰ καλὰ τῶν ἐπιτηδευμάτων προῃρημένοις καὶ τὰ μεγαλοπρεπῆ, ἡ ἔνδεια τῶν χρημάτων. αὕτη γὰρ τὸ βαρύτατον ἄχθος ταῖς ἐμαῖς φροντίσιν ἐπιτίθησιν. ἐπεὶ τί τῷ ἀπορίζοντι χρημάτων πρὸς τὴν οἰκοδομικὴν καὶ τοιαύτην πραγματείαν. ἀλλὰ τί ἂν πάθοις, ὅπου οὐδ᾽ ἄν τις μεταμελός σε ἔχοι τῶν ἐπιχειρηθέντων, οὐδ᾽ εἰ μάλιστα μεταμέλοιο τούτων, οὐδέν τι μᾶλλον ἔξεστι τὴν ἀβελτηρίαν ἀναθέσθαι. ἀλλὰ τήνδε τὴν δίκην ἔγωγε ἀσμένως ἐπὶ σοῦ ἀπολογοῦμαι δικαστοῦ, οὐ χαλεπῶς εὖ οἶδ᾽ ὅτι οὐδὲ τραχέως ἔχοντος τοῖς τὰ τοιαῦτα πλημμελήσασι. πῶς γάρ, ὅς γε τὴν αὐτὴν ταύτην τῆς δυσβουλίας γραφὴν καὶ οἰκοδομανίας διαπέφευγας. ὥστε διά ταῦτα οὐκ ἂν εἰκότως καταγνοίης μου πολλὴν ἀσυνεσίαν. καὶ σοῦ γε εἵνεκα ἀδεῶς ἔχω ἐπὶ τοῦδε, ἐπεί τοι οὐκ ἂν φθάνοις καὶ σαυτοῦ καταγνοὺς τὸ αὐτὸ πλημμέλημα, καὶ μὲν δὴ καὶ τάδε σοι τὰ περὶ ἐμέ, ἐγνωσμένα εἶναι χρῆν ἄλλως. τὰ γὰρ τῶν φίλων εἶναι κοινά, πεπαροιμιασμένον ἐστί. καὶ μὴν πρὸς τῷ ἀδελφοὶ ὑπάρχειν αὐτοί,

καὶ ὅτι δὴ οὐκ ἐσμὲν ἄλλως τε φίλοι οὐκ ἂν ἔξαρνος εἴης. ἀλλὰ μὴν καὶ τοῦτο τὰ γράμματά σου τὰ ἔσχατα μαρτυρήσουσιν. εἰσὶν ἄρα καὶ παιδία καὶ κλήματα, καὶ εὐτυχία ἢ καὶ δυστυχία ἐμοί τε καὶ σοὶ κοινά. σύ γέ τοι παιδείαν ἀξιοῖς εἶναι κοινήν, ὃ δὴ τιμιώτατον τῶν ἡμετέρων χρημάτων. ὅσγε ὅ,τι ἂν τύχῃς διαπορήσας, ὅτι τ' ἂν εἰσίῃ μεταξὺ ἀναγινώσκοντί σοι, τοῦτο δὴ σύμπαν ἀφειδῶς ὥσπερ τι χρέος εἰσπράττῃ με. ἐγὼ δέ τοι σοῦ ἀπαιτήσαντος οὐχ ὑπερήμερος γέγονα τῆς προθεσμίας, τουτέστι τοῦ ἐνδεχομένου καιροῦ, οὐδέπω καὶ τήμερον. ὡς δέον, εἴ τι τῶν δυσνοήτων καὶ δυσεφίκτων ἔτεσι τοσούτοις μαθὼν ἔχω, ἐκμαθεῖν σε τοῦτο καὶ ἐν τοσούτοις γε μησί, τηλικοῦτον χρόνον καὶ πόνον κερδήσαντα. σὺ μὲν οὖν ταύτης ἐμοὶ κοινωνήσεις τὸ λοιπὸν εἴτ' εὐπαιδίας εἴτε πολυπαιδίας, καὶ ἑκών γε εὖ οἶδ' ὅτι κοινωνήσεις. ἔγωγέ τοι τῶν κλημάτων τουτωνὶ προθύμως ἂν μεταδοίην ἀδελφῷ. τοιγαροῦν τὰ ἡμέτερα εἰς τὸν ἐπιόντα χρόνον τοῦτόν πως ἕξει μὴν τὸν τρόπον. συμμαθηταὶ γοῦν ἡμεῖς τῆς παιδεύσεως ὀρεγόμενοι τῆς διττογλώττου, πάντων μὲν τῶν ὑπαρχόντων ἀλλήλοις διατελέσομεν μεταδιδόντες ἐν μέρει καὶ μεταλαμβάνοντες κατὰ τὴν ἐνδεχομένην χρείαν. μετὰ δὲ πάσης εὐγνωμο-

quin prӕterea certè amicitiӕ vinculo deuinciamur, haud inficias ibis. Iſtud denique tuӕ ad me poſtremӕ literӕ ſuo approbant teſtimonio. Sunt profectò & liberi & poſſeſſiones, fortunӕ promerita eiuſdémque male facta inter nos communia. Atqui tu dignum cenſes eruditionem eſſe communem, quӕ res proculdubio precioſior eſt noſtris omnibus & fortunӕ bonis. Qui quidem quicquid in quӕſtionem dubiúmque reuocaueris quódque ſubinde tibi legenti ſubierit, id omne ſanè citra diſcrimen veluti quoddam ӕs alienum exigis à me. Ego autem te repoſcente haud prorogaui diem ſponſioni debitӕ prӕfinitum, hoc eſt in meis viribus ſitam opportunitatem, nec ad hoc vſque tempus. Quaſi verò ӕquum ſit, ſi quid captu difficile & anfractuoſum tot annis didicerim, te etiam id ipſum perdiſcere in tam numerabili & paruo menſium ſpatio, tantum tempus tantóſque labores lucrifaciendo. Quocirca tu hanc ſiue felicem ſiue numeroſam liberorum procreationem poſthac mecum habebis communem, ac ſponte quidem, vt probè noui, huius particeps eris. Equidem haſce facultates alacriter fratri meo impertirem. Quapropter deinceps facultates noſtrӕ ſic ſe debent habere. Nos ergo condiſcipuli appetentes eruditionem in vtraque lingua verſatam, provt poſtulat vſus, perſeuerabimus noſtras omnes fortunas mutuò dare viciſſimque accipere: ſed cum omni animi can-

dore mutuis nos officiis iuuantes pro virili parte, alterniſque vicibus commoda percipientes. Nullam eius rei rationem habentes in qua nos pariter iuuabimus. nullum auarè facientes verbum neque conceſſorum neque receptorum. Nihil formidantes exigere aut in medium adducere, vt quicquid nunc præſtiterimus, & fructuosè perceperimus, iſtud omne in communes vſus ceſſurum ſit. Sic enim imperat, credo, ius integræ inuiolatæque amicitiæ, cuius quidem interpretationem inſpectionémque priſci ſapientes Ioui conſecrarunt, amicitiæ præſulem cognominantes. Nunc ſilentio prætermitto commemorationem iuris conſanguinitatis & propinquæ cognominationis. Non enim putauerim neque gentilitium Iouem, neque patrium harum neceſſitudinum inſpectorem ac præſidem, præſtantius habere numen eo, quo amicitiæ præeſt. Ergo quemadmodum proſpicio iam me dimittere oportet tibi literarum Græcarum ſtudio adhærenti ac propemodum adliqueſcenti, & vnà tecum incumbere. Te verò alternis vicibus operæprecium eſt tantarum ſolicitudinum anxietatúmque domeſticarum mecum participem eſſe, ac ſimul beneuolè meorum tuorúmque liberorum curam ſuſcipere. Quemadmodum enim meæ ſunt partes (quippe qui in hoc ſtudio ampliorem progreſſum fecerim) videre, ne iſte labor te accuratiùs chartis inuigilantem opprimat, tibique hanc viam diſcurrenti,

σιώνης δὲ ποιοῦντες ἀλλήλοις ἐκ τῶν ἐόντων, καὶ ὑπ' ἀλλήλων ἀντιπαρέχοντες, μηδὲν ὑπολογιζόμενοι ἐν οἷς ἀλλήλους ὠφελήσομεν, μηδένα λόγον ποιούμενοι σμικρολόγως, οὔτε τῶν δεδομένων, οὔτε τῶν ἀπειλημμένων, μηδὲν εὐλαβούμενοι εἰσπράττειν ἢ εἰσφέρειν, ὡς ὅ, τι ἂν παράσχωμέν τε καὶ κομισώμεθα νῦν, τοῦτο πᾶν εἰς τὸ κοινὸν εἰσαῦθις πεσούμενον. οὕτω γὰρ οἶμαι ὑπαγορεύει τὸ δίκαιον τῆς ἀκεραίου φιλίας, οὗπερ τὴν ἐξήγησίν τε καὶ ἐφορείαν οἱ πάλαι σοφοὶ τῷ Διὶ καθιέρωσαν, φίλιον ἐπικαλοῦντες. ἐῶ νῦν μνημονεύειν τὰ τῆς συγγενείας δίκαια, καὶ τὰ τῆς ὁμωνυμίας τῆς ἐμφυλίου. οὐ γὰρ ἂν ἡγοίμην, οὔτε τὸν ὁμόγνιον Δία, οὔτε τὸν πατρῷον τὸν τούτων ἐφορεύοντα τῶν οἰκειοτήτων, κρεῖττον ἔχειν τὸ θεῖον τοῦ τῆς φιλίας προστατεύοντος. σοὶ τοίνυν ἤδη, ὡς ὁρῶ, τῷ ἑλληνικῶν λόγων σπουδῇ προσεχομένῳ, καὶ οἱονεὶ προστετηκότι, συνεπικεκυφέναι με χρή. σὲ μέντοι ἐν μέρει τῶν τοσούτων μοι μεταλαβεῖν ἐπιστροφῶν δεῖ καὶ μεριμνῶν οἰκονομικῶν, καὶ φιλοστόργως δὲ ἅμα ἐπιμελεῖσθαι τῶν τέκνων ἐμῶν τε καὶ σῶν. ὥσπερ γὰρ ὁρᾶν μοι προσήκει ἐν τῇδε τῇ σπουδῇ πορρωτέρω που προβεβηκότι, ὅπως σε μὲν οὗτος ὁ μόχθος μὴ καταπονήσει λιπαρέστερον τοῖς βιβλίοις ἐπικύψαντα, καὶ τήνδε σοι τὴν ὁδὸν διερχομένῳ,

διερχομένῳ, τὰ τραχέα καὶ τὰ μάλιστα καὶ τὰ δυσδιεξίτητα, ἐν οἷς αὐτὸς μέμνημαι πάλαι ἐνισχόμενος καὶ κακοπαθῶν, οὕτω τοι συνεπιληπτέον ἐστί σε τῆς φροντίδος ἐμοὶ τῶν πατρικῶν καὶ τῶν περὶ τὸν οἶκον. καὶ μὴ περιοπτέον τοσούτοις με λογισμοῖς φιλοσοφικοῖς τε ἅμα καὶ οἰκοδεσποτικοῖς ἄντικρυς ἀλληλομαχοῦσι τετρυχωμένον. καὶ γάρ τοι τοῦτο δὴ ὡς ἀληθῶς ἐστὶ φιλικόν, οὐκ ἀχθομένῳ μὲν ὑπὸ τοῦ πόνου τῷ φίλῳ συνεφάπτεσθαι τοῦ βάρους, καὶ ἄκροις τοῖς δακτύλοις, ὡς ἡ παροιμία φησί, προσαψάμενον τοῦ ἄχθους, ἢ ὅπως δή ποτ' οὖν ἀπαλλάξαι τοῦ καθήκοντος. ἀφθόνως δὲ καὶ εὐγνωμόνως καὶ μετὰ τοῦ βελτίστου συνειδότος συναίρεσθαι τὸν πόνον. τοῦτο δὴ ἐμοὶ δοκεῖ τοῦ γνωρίζοντος εἶναι τὴν πίστιν τῆς φιλίας ἀγαθήν. καὶ μὴν καὶ χωρὶς τούτου τοὺς ἐμούς σύ γε παῖδας εἰκότως ἂν διὰ μνήμης καὶ ἐπιμελείας ἔχοις οὐ τῆς τυχούσης. οἶσθα γὰρ δήπου ὡς ἄρα τοῦ γένους τοῦ τῶν Βουδαίων δύο γε μόνοι ἐκ πολλῶν ἀδελφῶν παιδοποιητικήν, ὡς ἂν εἴποι τις, ἐργαζόμεθα, ἐγώ τε καὶ Δράκων ὁ τῇ ἡλικίᾳ μέγιστος. ὥσπερ καὶ ὁ πατὴρ ἡμῶν ὁ πολύγονος, ἴδιον αὐτοῦ ὄνομα ἤδη κινδυνεῦσαν ἀφανίζεσθαι, ἐπαναστῆσαι πάλιν αὖ εἰς τὸ φῶς καὶ πολλαπλασιῶσαι οἷός τ' ἐγένετο. οὐκοῦν ἑαυτοῖς μὲν πράγματα πράττομεν ἡμεῖς οἱ παιδοποιούμενοι, σύμπασι δὲ κοινῇ τοῖς συμφύλοις καὶ ὁμαίμοις.

diſcurrẽti aſpera & ardua trãſitúq. difficilia loca adæquare, in quibus memor ſum aliquãdo hæſiſſe, ac vexatũ afflictatúmq. fuiſſe, eo prorſus modo tibi mecũ eſt incumbendum hæreditariis domeſticíſq. curis: Ac minimè ſum contemnẽdus qui tot, tantíſq. cogitationibus philoſophicis ſimúlq. rem domeſticã tractantibus manifeſtè ſibi mutuò contradicentibus attritus ac defatigatus ſum. Ideóque ita me deus amet iſtud profectò charitatis eſt indicium, cum nõ defeſſo quidem præ labore amico, etiã ſummis digitis onus attingere: vt trito fertur prouerbio: manum admouere põderi, vel qualicunque ratione ſua munia obire: largiter porrò lepidéque, & cum ſyncera conſcientia ſubleuare laborem. Iſtud certè mihi apparet eſſe agnoſcentis integram amicitiæ fidem. Quinetiam hac re ſpreta tu meritò quidẽ meos liberos in memoria curáque non ingeneroſa habueris. Non ignoras enim vtique quemadmodum ſanè in Budęorum familia cognationeque, duo quidem ſoli inter multos fratres generis propagationem (vt quiſpiã dixerit) exercem⁹, Ego atq. Draco ætate prouectiſſimus, ſicuti & pater noſter prolis ſuſceptione fertilis, ſuum ipſius nomen ne obliuione ſepeliretur periclitans, valuit rurſus in lucem erigere ac multiplicare. Nequaquã igitur nos qui in liberorũ procreatione verſamur, nobiſmetipſis quidem res noſtras agimus, verũ omnibus in ſumma germanis & cognatione ſociatis.

At vero nobis, etiam qui eruditionis præconiũ & ſplendoré ſumus aſſequuti, conuenit, vt ſublimiùs aſcendere faciamus, vlteriúſq. progredi: Ac genus & nomen quod quidem pater noſter ſuſcitauit, necnõ iam fermè extinctũ & obiliteratum in multitudinem vitales auras carpẽtium reſtituit. Ipſe enim vnicus è Budæorum familia mas ſuperſtes erat, quantum ego noui, qui conaretur iſtud quidem è vulgo & imperita multitudine ſecernere, ſplẽdidúmq. reddere. In hoc porrò certamine ego tú que ex fratribus ſoli videmur dimicaturi. Atq. ego cùm mihi forte contigerit vt in eodem primus incederem, quantum in me ſitum fuit, haud diſſolutè incœptaui ſuccurrere reuiuiſcẽti Budæorum nomini, ſiue operis euentus labori congruerit, & mihi egregiè ſucceſſerit hic conatus: ſiue vehemens illa ſuperfluáque lucubratio ſcopum nõ attigerit. Iſtud enim viderint homines grauiſſimi in literarum ſtudio verſantes & inſigni doctrina præditi. Etſi quodammodo iſta ſunt penes fortunam, quæ magna ex parre res humanas ſuo componit arbitrio. Quæ quidem ſubinde reos peregit eos qui ſtrenuè ac viriliter decertarũt, torpentes autẽ imbelléſque haud ſecus atque victores alto præconio deſignauit. Tibi igitur ſorte euenit, vt ſecundas huius certaminis partes obtineres: qui ſanè cùm ſis minor natu, nõ ſolũ non ingenij felicitate ſecũdus es à me, qui primus in arenam deſcendi, ſed etiã nulli cõſanguineorũ noſtrorũ cedis. Profectò dixerit quiſpiã verũ, O vir optimè,

οὐ μὴν ἀλλὰ καὶ ἡμᾶς τούς γε τῆς παιδείας ἐφικομένους, πόῤῥω βαίνειν προσήκει. ὅ τε γὰρ ὁ πατὴρ ὁ ἡμέτερος ἐγήγερκεν ὄνομα καὶ γένος, καὶ εἰς τὸ πλῆθος τῶν ζώντων ἐπανήγαγε μονονοὺκ ἤδη ἐξαληλιμμένον (εἷς γὰρ αὐτὸς τῶν Βουδαίων ἄῤῥην περίλοιπος ἦν ὅσα κἀμὲ εἰδέναι) τοῦτό γε ἐκ τῶν πολλῶν ἐξαίρειν καὶ λαμπρὸν ποιεῖν ἀποπειρᾶσθαι. ἐν τούτῳ δὲ δὴ τῷ ἀγῶνι μόνοι τῶν ἀδελφῶν ἐγώ τε καὶ σὺ ἀγωνίζεσθαι δοκοῦμεν, καὶ ἔγωγε ἐν τούτῳ πρότερος παριέναι εἰληχὼς, βοηθῆσαι τοὐμὸν μέρος ἐπανισταμένῳ τῷ ὀνόματι ἐπεχείρησα οὐ καταβεβλακευμένως, εἴτ᾽ οὖν πρὸς τὸν πόνον ἀπήντησε τὸ ἀποβεβηκὸς ἔργον, καὶ κατώρθωταί μοι τὸ ἐγχείρημα, εἴτε ὁ πολὺς ἐκεῖνος καὶ πόνος περιττὸς ἀπέτυχε τοῦ σκοποῦ. εἰδεῖεν γὰρ ἂν τοῦτο οἱ δεινότατοι τῶν ἀμφὶ λόγους ὄντων. εἰ καὶ ταῦτά πως ἢ ἐπὶ τῇ τύχῃ ἐστὶ, τῇ διαιτώσῃ τὰ κατὰ τοὺς ἀνθρώπους ὡς ἐπιπολύ. ἥ τις πολλάκις καταδιαιτήσασα τῶν καλῶς ἀγωνισαμένων, τοὺς βραδεῖς καὶ χείρους ὡς νενικηκότας ἀνεῖπε. σὺ τοίνυν ἔλαχες δευτεραγωνιστήσων. ὃς δὴ ἐλάττων μὲν ἔτι γεγονὼς οὐχ ὅπως ἐμοῦ πρωταγωνισταμένου δεύτερος τῇ εὐφυΐᾳ, ἀλλ᾽ οὐδὲ τοῦ γένους ἡμῶν οὐδενὸς τυγχάνεις ὢν ἐλάττων. καὶ φήσειεν ἄν τις, ἀλλά σε, ὦ λῷστε,

προνοίαν ποιεῖσθαι μᾶλλον προσῆκε τῆς τῶν παίδων ἀγωγῆς, ὄντα οὕτως πολύπαιδα, ἢ τοῖς συγγράμμασι τοῖς τῶν λογοποιῶν καὶ τῶν καλλιγραφησάντων τοσοῦτον χρόνον ἐνδιατρῖψαι, τῇ γε τούτων καταλληλότητι ὥσπερ αἰεὶ τῇ τῶν σειρήνων ᾠδαῖς κατακηληθέντα, ταῖς ἐνείσαις θέλκτρον τι παρακαθεκτικὸν τοῖς ἀναγινώσκουσι. τοῦτο γάρ, ὡς ἔοικεν, ἐστὶν ὅ φασι, λῆρον ληρεῖν. ἐπεί τοι καὶ ἡ ἀηδὼν αὐτή λέγεται, ἐπειδὰν περὶ τοὺς νεοττοὺς ἐνασχολῆται, οὐκέτι τὰς ᾠδὰς ἐκείνας τὰς δαιδαλοφώνους μελετᾶν. ἀλλά τί ἂν πράττοιμι. ἐμμενετέον γὰρ ἦν οἷς ἀποδεχόμενος τοσοῦτον χρόνον διετέλεσα· πῶς γὰρ ἐν ἄλλοις μᾶλλον ἂν ἐνασμενίζειν δυναίμην. ἐναποψύξαι γοῦν δέδοκταί μοι καὶ ἐν τούτοις τοῖς εὖ σαφῶς προαιρεθεῖσιν. ἄλλως τε ἐπεὶ ἐν αὐτοῖς τὸ ἐφόδιον τὸ τοῦ γήρως ἔφθην κατορωρυχώς. τῶν δὲ παίδων ἀγωγῆς ἐπιστροφὴν ποιοῦμαι, ὡς οὐκ οἶδ' εἴ τις ἕτερος τῶν μετρίων. μετριότητι μὲν οὖν συζῆν εἰωθώς, καὶ φιλολογίᾳ σύντροφος, εἰκότως ἂν κἂν τούτοις τελείαν τὸ πεπερασμένον. καὶ μὴν καὶ εἱμάρθαί μοι πέπεισμαι πόῤῥω που τῆς πολυπραγμοσύνης περὶ τοὺς λόγους καταζῆν τοὺς σπουδαίους, καλῇ γε δὴ καὶ αὐτάρκει πενίᾳ ἐμφιλοσοφοῦντι. μὴ γένοιτο γάρ,

ſatius eſſet te tanta prolis vberte fœcundum de liberorum tuorum educatone ſolicitū eſſe, quàm tantum temporis conterere in auctorum compoſitéque loquentiū cōmentariis, horum quidē concinnitate veluti Sirenarum cātibus delinitum, qui tenacē quandam oblectationem legētibus immittunt. Etenim iſtud eſt, vt videtur, quod aiunt, nugas agere. Enimverò & ipſa luſcinia fertur, tantiſperdum circa ſuos pullos eſt occupata, non amplius cantiones illas canoras & quaſi Dædalea arte confectas exercere aut meditari. ſed quid agerem: immorandū enim atque inſiſtendum fuit in his quæ tam diuturno tempore commendare non ceſſaui. Quomodo enim aliis in rebus valerem libentiori animo recreari? Certum igitur mihi fuit vt in hoc propoſito conſtanter expirarem vitámque finirem, præſertim cùm in eodē ſenectutis ſubſidium ac viaticum prius defodiſſem. Liberorum autē inſtitutionē educationémque diligēter animaduerto & obſeruo, vt ignorem ſiquis mediocri ſorte alius. Atqui, cùm ego conſueuerim in mediocritate vitā agere, quippe qui cum inſigni doctrina ſum enutritus, meo iure etiā his in rebus abſoluam id quod à parcis mihi præſcriptum eſt: quinetiam certò ſcio, mihi quidem in honeſta ac ſufficienti paupertate philoſophanti, neceſsitate fatali conceſſum eſſe, procul à multorū negociorum implicatione in ſerio bonarū literarum ſtudio conquieſcere. vitámq. traducere. Abſit enim,

cum in bonorum affluentia concepti, & in lucem editi, nec abiecta experti ſumus incunabula, vt indigeamus rebus neceſſariis vitæque quotidianæ idoneis, & ad hoc inſtitutum pertinentibus. denique eius equidem rei gratia me in tuto eſſe cenſeo, talem diuina prouidentia mihi elargiente mentis ſagacitatem, quæ valeat etiam recalcitrare contra fortunæ impetum, illa ſuperuacanea, hominéſque literatos obturbantia condonantis. Ideóq. quorumdam nimiam & immodicam facultatum copiam, vitæque profuſionem ac luxum non valde felicem prædico. Etenim quiſnam è ſtudioſorum bonorúmque numero nedum è vilibus & pernicioſis, protinus affluentibus fortunæ bonis, & literarum ſtudiis, & hominibus literatiſſimis longum vale non dixerit? Quaſi verò non vtique philoſophia è re ſit eorum qui pecunia diteſcere remque ſuã augere incipiũt, vel quodammodo (eadem) ita affecta ſit, vt ex aduerſo his reſpondeat eóſque in varias partes trahat qui facultatibus excellunt. Propterea cum beatitudine maiorem habere affinitatem eos cenſeo, quibus exiguæ quidem ſuppetunt opes: ſapientiáque ciuili temperatæ, ſed ipſos venuſtate perpolitos, nihil indecorè facientes, neque penuriæ gratia incommoda percipientes. Exploratum autem alioqui habemus vnicuique ſtatim nato acquieſcendum eſſe in parcarum ſtaminibus diuiníſque decretis ſeu velimus ſeu recuſemus,

ἡμῖν τῶν ἀναγκαίων τῶν τε καθ' ἡμέραν καὶ τῶν πρὸς τὸ ἐπιτήδευμα τοῦτο ἀπορεῖν, τοῖς τε ἐν εὐπορίᾳ ἀποκυηθεῖσι, καὶ τῶν σπαργάνων μὴ πειραθεῖσιν εὐτελῶν. ἀμέλει καὶ τούτου ἔγωγε ἄδειαν ἔχειν μοι δοκῶ, τῆς προνοίας διδούσης τοιοῦτό μοι τὸ φρόνημα, οἷον καὶ ἀπολακτίσαι τὴν δύναμιν τῆς τύχης, τὴν καταχαριστικὴν τουτωνὶ τῶν περιττῶν καὶ τῶν ἐνοχλούντων τοῖς φιλολόγοις. καὶ δὴ καὶ τὴν ἄγαν ἐνίων περιουσίαν, τήν τε τοῦ βίου πολυτέλειαν οὐ πάνυ τι εὐδαιμονίζω· τίς γὰρ καὶ τῶν σπουδαίων δὴ καὶ τῶν ἀγαθῶν μήτι γε δὴ τῶν φλαύρων καὶ ἀδοκίμων, οὐκ εὐθὺς ἐπιρρέοντος πλούτου πολλὰ χαίρειν τοῖς τε λόγοις τοῖς τε λογιωτάτοις τῶν ἀνθρώπων ἔφρασεν. ὡς οὐ χρησιμεύουσαν δή που τὴν φιλοσοφίαν τοῖς εὐπορεῖσθαι ἐναρχομένοις, ἢ ἔχουσάν γέ πως τὴν φιλοσοφίαν ἀντεστραμμένως τε καὶ ἀνθελκόντως τοῖς περιοῦσι τῶν κτημάτων. διὸ περὶ τῆς εὐδαιμονίας ἐγγυτέρω εἶναι νομίζω τοὺς ὀλίγα μὲν κεκτημένους, καὶ σύμμετρα φιλοσοφίᾳ τῇ πολιτικῇ, αὐτοὺς δὲ ἐν εὐσχημονοῦντας, μηδὲν παρ' ἀξίαν πράττοντας μηδὲ πάσχοντας παρὰ τὸ ἐνδεῖσθαι. ἴσμεν δὲ καὶ ἄλλως ἀγαπητέον εἶναι τοῖς ἐπικεκλωσμένοις γενομένῳ εὐθὺς ἑκάστῳ ἄν θ' ἑκόντας ἄν τ' ἄκοντας,

ὁπηνίκα ὁ θεὸς ἐστὶ τῶν ἑαυτοῦ κύριος ἀνδραπόδων, πασῶν τε τῶν μοιρῶν καὶ τῶν εἱμαρμένων κληρωτὴς αὐτοκράτωρ. καὶ οὐκ ἔσθ' ὅστις τῶν ἀνθρώπων ἰδίαν ἐφ' ἑαυτῷ μοῖραν ἔχει, καίπερ τινὲς ἰσχυρίζωνται φάσκοντες τὸν εὐφυέστατον ἕκαστον τὴν τύχην ἑαυτῷ παρασκευάζειν. ἀλλ' ὥσπερ ἐπὶ τῷ θεῷ ἐστὶ τὸ τῇ οἰκείᾳ τάξει ἕκαστον ἡμῶν προσκληρῶσαι κατὰ τὴν εὐδοκίαν τὴν αὐτοῦ, ἴσως γοῦν καὶ τοῦτό πως ἐφ' ἡμῖν ἐστὶ, καὶ ἐπὶ τῇ φιλοσοφίᾳ, τὸ εὐγνωμόνως τε καὶ εὐκόσμως κατὰ χώραν μένειν τὴν τεταγμένην. ἐπεὶ ἀτακτησόμενοί γε παρὰ τὸ εἱμαρμένον ἡμῖν ἄλλο τι βιαζόμενοι, τουτέστι παρὰ τὸ διεγνωσμένον ὑπὸ τῆς προνοίας τῆς ἐν οὐρανῷ. οὐ γάρ ἐσθ' ὅπως ἀρέσκοισιν οἱ στρατιῶται τῷ στρατηγῷ, μὴ αὐτοὶ ἀρεσκόμενοι τοῖς ἐπιτάγμασιν αὐτοῦ, τοῖς τε κατὰ τὴν παράταξιν, καὶ τοῖς κατὰ τὴν παρεμβολὴν τὴν ποιουμένην τοῖς στρατοπέδοις. ἀλλὰ γὰρ ἴσως ταῦτα μείζω καὶ φιλοσοφικώτερα ἢ κατὰ τὴν ἐπιστολήν. νῦν οὖν ἤδη βαδιοῦμαι ἐπὶ τὸ τῆς ὑπονοίας τῆς σῆς. ἔφης γὰρ δεδοικέναι μή ποτε ἀντιγράψας, καὶ ἀποκρινάμενος, ἔγωγε ταῖς ἐπιστολαῖς σου ἀποκάμω πλουτῶν ἢ ἀποκνῶ, δηλονότι δυσχεραίνοντά τι ἠσθημένος περὶ τοῦ ὀφλισκαίω ῥήματος, τοῦ πάλιν ἠπορημένου ὑπὸ σοῦ ἐν τῇ ἑτέρᾳ ἐπιστολῇ τῇ ἐρωτηματώδει.

quandoquidem deus eſt ſuorum ipſius mancipiorum aſſertor atque dominus, & cuiuſlibet ſortis omniúmque fatalium neceſſitatum ſortilegus ac diſtributor, ſummum habens imperiũ eáſque temperans. Nullúſque mortalium proprium in ſuo arbitrio fatum habet, quamuis nonnulli obnixè contendant dictitãtes benè natum quemlibet ſibi ipſi fortunã cõminiſci ac ſtruere. Sed quemadmodum in poteſtate dei eſt pro voluntate ſua propenſiore quemlibet noſtrûm propriæ ſtationi ſortitò affigere, fortaſſis certè & id aliquatenus in noſtris viribus ſitum eſt, & in philoſophiæ adminiculo, candidè atque venuſtè à pugnandi loco nobis conſtituto pedem non dimouere. Enimuerò præter id quod nobis fatali neceſſitate tributum eſt, nos quidem è claſſe noſtra ſubducemus aliud quidpiam violãtes, hoc eſt vltra cæleſtis prouidentiæ decretum? haud enim fieri poteſt vt milites ſuo imperatori cordi ſint, niſi ipſi in illius iuſſis acquieſcant, ſeu fiant in ipſo conflictu, ſeu in tentoriorum intercalatione metationéque, quam in caſtris factitant. Sed fortè grauiora ſunt iſta, magíſque philoſophica, quàm epiſtolæ materia patiatur. Iam igitur me conferam ad tuam ſuſpicionẽ. Te namque pertimeſcere potuliſti ne aliquando reſcribens ego, tuíſq. epiſtolis reſpondens tandẽ defatiger vel tædio opprimar. Cũ videlicet te aliqua in re hæſitatẽ addubitantémque ſenſerim de verbo ὀφλισκαίω, quod te rurſ[9] ſuſpẽſũ habuit in altera tua epiſtola interrogatiũculis plena.

Neq.enim contentus fuiſti his quæ nos explanantes hoc verbum, reſcripſimus. Quapropter conuerſus ſanè ad obſecrationem dignum cenſes rogáſque propter commune literarum ſtudium, ne reſcribendo quidpiam omittam, neque præuaricer, neque defatiger: nam ſiquidpiam tale cognoueris, te ſanè confeſtim abduces ac diſſociabis à feruido præcipitique Græcarum literarum ſtudio. Dixiſti enim oportere tibi licere ingenuè ac liberè omnia apud amicum dicere, ab eóque poſtulare, hanc nimirum licentiam amicitia continente: ac perbellè tu quidem & commodè iſtud dixiſti. Ergo ne poſthac valeas mecum expoſtulare quaſi verò ſingularem & egregiam animi tui propenſionē abruperim ac inhibuerim, ecce hanc apud me tibi concedo facultatem, vt ius tibi ſit paſſim interrogandi, necnon interrogationem addendi, ac rurſus bis térque interrogandi his de rebus ſi ſic tibi placuerit. Mihi verò èdiuerſo rurſum hanc imperabo neceſſitatem eadem ipſa dicendi meiſque dictis adiiciendi ac ſubinde crebriùs dicendi. tãtum abſum vt animum deſpondeam ac fatiger in obſequendo tibi, ſuúmque beneuolentiæ ius impertiendo. hunc igitur omitte timorem, Et ita de hoc negocio cogitato, me vtique haud quaquam denegaturum, neque tibi reſponſo digna quærenti quidem certè indignaturum. Non enim commendandos puto eos qui

οὐ γὰρ ἔστερξας οἷς ἡμεῖς ἀντεγράψαμεν διασαφοῦντες τὸ ῥῆμα. διὸ δὴ ἐπιστραφεὶς εἰς δέησιν, ἀξιοῖς καὶ παρακαλεῖς πρὸς τῆς φιλολογίας τῆς κοινῆς, μηδὲ ἀνεῖναί με μηδὲν, μηδὲ καθυφεῖναι, μηδὲ καμεῖν ἀντιγράψαντα. εἰ γὰρ τοιοῦτό τι αἴσθοιο, ἀποστῆναι ἂν αὐτίκα δὴ μάλα τῆς θερμῆς τῆσδε σπουδῆς τῆς περὶ τὰ ἑλληνικά. ἔφησθα γὰρ ὅτι ἐξεῖναί σοι χρεὼν ἀφελῶς τε καὶ ἐλευθέρως πάντα πρὸς φίλον εἰπεῖν καὶ παρ' αὐτοῦ αἰτεῖσθαι, ταύτην που τὴν ἐξουσίαν τῆς φιλίας ἐχούσης, καὶ καλῶς τοῦτο σύ γε καὶ ἐν δέοντι ἔφης. ἵν' οὖν μὴ ἐγκαλῇς εἰς τὸ ὕστερον ἔχῃς μοι ὥσπερ ἀποκόψαντι τὴν προθυμίαν σου τὴν περιττὴν καὶ καλήν, ἰδοὺ δὴ ταύτην τὴν ἐξουσίαν παρ' ἐμοῦ δίδωμί σοι, ἐφ' ᾧ τε ἐξέσται σοι ἑκάστοτε ἐρωτᾶν τε καὶ ἐπερωτᾶν καὶ πάλιν προσεπερωτᾶν περὶ τῶν αὐτῶν εἰ οὕτω σοι δοκοίη. ἐμοὶ δ' αὖ πάλιν ταύτην τὴν ἀνάγκην ἐπιτάξομαι τοῦ τὰ αὐτὰ εἰπεῖν τε καὶ ἐπειπεῖν καὶ πολλάκις προσεπειπεῖν. τοσοῦτον ἀποδέω τοῦ ἀπειπεῖν ἐν τῷ χαρίζεσθαί σοι, καὶ τῇ φιλίᾳ δίκαιον ἀπονέμειν. ἀπαλλάχθητι οὖν τουδὶ τοῦ φόβου, οὕτω τε περὶ τούτου τοῦ πράγματος φρόνει, ὡς ἐμοῦ οὐδέποτ' ἂν ἀπαγορεύσοντος οὐδέ σοι ἀχθεσθέντος, ἐρομένῳ γε δὴ ἄξια τῆς ἀποκρίσεως. οὐ γὰρ ἂν ἀποδεξαίμην τοὺς

σμικρολογουμένοις τε καὶ οὐκ εἰς δέον παρενοχλοῦντας. ἔνθα δὴ καὶ τοῦτο οὐκ ἂν εὐλαβοίμην ἐπαγγείλασθαι, ὡσπερεὶ ταύτῃ τῇ ἐπαγγελίᾳ διαφιλοτιμούμενος πρὸς τὸν φίλον τε καὶ ἀδελφόν, οὐ πολλῷ δυσαποκριτώτερά μοι ταῦτα εἶναι τὰ ἀπορήματα τὰ παρὰ τοῖς λογογράφοις ἢ εἰ περὶ τῶν λατινιστὶ συγγεγραμμένων, πύθοιο, εἰ μή που τοῖς ἐσφαλμένοις τῶν βιβλιοτύπων ἢ αὐτῶν δὴ τῶν ἐπανορθωτῶν ἐντεύξῃ, οἷα πολλὰ ἐπιπολάζει ἐν ταῖς τῶν ἑλλήνων βίβλοις, ὡς δὴ καὶ ἐν ταῖς τῶν ῥωμαίων. ἴσθι οὖν ἀδελφὸν καὶ συμμαθητὴν εἰληχὼς συναίρεσθαί σοι τὸν πόνον πρόθυμον καὶ εἰς τοῦτο εὐτρεπῆ. εἰς ἄκρον δὲ τῆς προαιρέσεως, σὺν θεῷ ἢ ἐγγὺς γοῦν ἀφιξόμενος. αὐτὸς γὰρ πρὸς τῷ κεκρατηκέναι ἤδη τῶν δυσαφίκτων μοι δοκεῖν καὶ δυσχερῶν, προσεμφιλοπονήσω δὴ τούτοις τὸ ἀπὸ τοῦδε ἐπιμελέστερον διὰ σέ. θαυμάζεις τάχα που τὸ ἀλαζόνευμα τὸ ἐμόν, καθαπερεὶ ἐπαγγελλομένου πάντα κατανενοηκέναι τὰ χαριέστατα τῆς εὐγλωττίας τῆς τῶν ἀττικῶν, αὐτοδίδακτόν τε σύ γε με εἰδὼς καὶ ὀψιμαθῆ. εἰ μέν τι τὸν νοῦν προσέχοις τῷ πράγματι, οὐδεμίαν ἂν οἶμαι ἀλαζονείας καταγνοίης μου. πῶς γὰρ ἂν κομπάζειν ταῦτα καὶ μάτην ἐνδείκνυσθαι δοκοίην, ὁ περὶ τούτους τοὺς λόγους ὑπὲρ

de exilibus minutíſq. rebus verba faciũt intempeſtiuéque obturbãt. Vbi & iſtud certè profiteri non vererer, non ſecus atque hac pro feſſione oblationéque ſtudioſè contendens apud fratrem & amicum, iſtas quæſtiones apud cauſarũ hiſtoriarúmque ſcriptores haud multò mihi reſolutu atque reſponſu difficiliores eſſe, quàm ſi de Latinis ſcriptis interrogares, niſi librariorum vel ipſorum emendatorum errores offenderis, quales permulti patent in Græcorum quemadmodum & Romanorum libris. Scias igitur tibi ſortitò contigiſſe fratrem ac condiſcipulũ promptum & animoſum, & ad laboré tecum ſuſcipiendum, & ad id [quod à me petis]procliuem, tu alioqui diuino fauore ad propoſiti faſtigium vel ſaltem propè peruenturus. Ego enim ipſe præterquàmquòd iampridem mihi videor captu difficilia moleſtáque obtinuiſſe, accuratiùs certè in poſterum tuo nomine iſtis operam nauabo. Inſolentem fortaſſis meam miraris ſuperbiam, veluti promittentem omneis Atticorum eloquentiæ venuſtates & lepores cognouiſſe, cùm tu quidem non ignores me & ætate maturum & remotis præceptoribus eruditum fuiſſe. Si verò ad hanc rem animũ conuertas, nulla me credo arrogãtia inſimulabis. Quo enim pacto iſta viderer iactatione efferre & incaſſum oſtentare quippe qui ſupra

viginti annos in hiſce Græcorum monumẽtis attritus & irretitus, ac propemodum huic affixus fuerim & adhæſerim contemplationi, cætera negligens: interim quidem dum ſolùm Latinorum voluminibus vacauiſſem. Et quidem certè alioqui gloriantem libertate frui apud virum fratrem & amicũ mihi crede nulla eſt inuidia. Ageſis, ô mi frater, ſine vlla exceptione nulliſq. parcẽdo reb⁹ fruere fratre tuo, qui tibi ingenuè beneuoléq. ſuas ipſius facultates aperiet depromẽtque. Tamen in memoriam reuoces imitari optimos creditores, ac non auſterè à nobis veluti æs alienum exigere, cuicunque ſcrupulo obuius factus fueris priſcorum monumẽta euoluens. Nam bonæ fidei fœneratores non hunc in modũ aſſiduè ſe ſuis ipſorũ debitorib⁹ offerũt & exhibẽt vt quouis modo debitũ abſque intermiſſione petitum ſeu fieri poſſit ſiue non rependere cogant. iureiurando verò, fide nonnumquam vel ſponſione ipſos in præſentia liberant. Iſtud autem affirmare teſtificaríque non abſurdũ nec à ratione alienum puto. Quatenus nonnulla probatiſſimorum hiſtoricorum & oratorum authoritate aſtructa cõſtabilitá que ſunt, quemadmodum apud Romanos ſic etiam apud Græcos. Vale Lutetiæ Pariſiorum decimo nono die Ianuarij menſis, quem Plutarchus Poſideona eſſe apud Atticos aſſerit. hanc ego epiſtolam non dabo perferendam antequàm familiarem quendam virum inuiolabili fide præditum nactus fuero.

BVDÆVS

εἴκοσιν ἔτη ἐνδιατρείψας καὶ μικροῦ δεῖν τῇ σκέψει ταύτῃ προσπεφυκὼς, ἀμελήσας τῶν ἄλλων. μεταξύ γε μόνον συνεσχολακὼς ταῖς τῶν λατίνων βίβλοις. καίτοι γε καὶ ἄλλως ὅ γ᾽ ἐλευθεριάζειν καυχώμενον πρὸς ἄνδρα ἀδελφόν τε καὶ φίλον, εὖ οἶδ᾽ ὅτι οὐδεὶς φθόνος. φέρε δὴ, ὦ ἀδελφὲ, ἀφειδῶς χρῶ τῷ ἀδελφῷ, ἐλευθερίως σοι καὶ εὐνοϊκῶς τὰ αὑτοῦ ἀνοίξαντι καὶ προχειρισαμένῳ. μέμνησο δὲ ὅμως μιμεῖσθαι τοὺς χρηστοὺς τῶν δανειστῶν, καὶ μὴ σκληρῶς εἰσπράττειν ἡμᾶς οἱονεὶ ὀφείλημα ὅτῳ ἂν προσκρούσῃς δυσνοήτῳ διερχόμενος τὰ τῶν παλαιῶν. οἱ γὰρ ἐπιεικεῖς δανεισταὶ οὐχ οὕτω ἑκάστοτε προσφέρονται τοῖς χρεωφειλέταις τοῖς ἑαυτῶν, ὡς τὸ χρέος τὸ αἰτηθὲν ἀμηγέπη ἐκτίσαι ἐάν τε οἷόν τ᾽ ᾖ ἐάν τε μὴ, ἀναγκάζειν. ἐνόρκῳ μέντοι, πίστει, ἔσθ᾽ ὅτε ἢ διεγγυήσει αὐτοὺς ἀφιᾶσιν ἐν τῷ παρόντι. τοῦτο δὲ διαμαρτύρεσθαι οὐκ ἄτοπον ἡγοῦμαι, παρ᾽ ὅσον ἐστὶν ἔνια τῷ τῶν ἐνδοξοτέρων συγγραφέων καὶ λογοποιῶν συνεστῶτα ἀξιώματι, ὡς παρὰ ῥωμαίοις οὕτω καὶ παρ᾽ ἕλλησιν. ἔρρωσο, ἐν Παρισίοις, Ιανουαρίου μηνὸς, ὃν Πλούταρχος Ποσιδεῶνα εἶναί φησι παρ᾽ ἀττικοῖς, ἐννάτῃ ἐπὶ δέκα. ταύτην τὴν ἐπιστολὴν οὐκ ἐπιθήσω πρότερον πρὶν ἢ γνώριμόν τινα ἄνδρα καὶ ἀξιόχρεων εὕρω.

ΒΟΥΔΑΙΟΣ

ΒΟΥΔΑΙΟΣ ΙΑΝΩ ΛΑΣΚΑΡΕΙ τῷ Ῥυνδακηνῷ εὖ πράττειν.

Πολλάκις θαυμάζειν σου ἐπέρχεταί μοι, ὦ φίλη μοι κεφαλή. ἤτοι γὰρ ἀμνησίας τινὸς οὐδὲν τι φιλοπρεποῦς ἐπαιτιῷτ' ἄν σέ τις, ἢ ὄκνου γε τινὸς ὑπερυπτίου, ἀεὶ τὸ ἐγκείμενόν τε καὶ τὸ παραχρῆμα εἰς τὴν ἐπιοῦσαν καὶ τὸ ὕστερον ἐπαναβαλλομένου. οὐδὲν δὲ δὴ πέρα τούτου ἂν κατηγορῆσαί σου τολμώην, ἐξητασμένου γε φίλου καὶ ἀνακεκριμένου πεπληροφορημένως. ἄλλως τε μὴ γένοιτο δεινότερόν τι ἐμὲ περὶ σοῦ ὑποδέχεσθαι, ὃν δὴ μέγα κῦδος ἀχαιῶν ἀποκαλεῖν εἴωθα. φέρε δὴ εἰ πρὸς Δία τὸν φίλιον ἐγγένοιτο ἀγνωμοσύνης προσκαλέσασθαι τῷ Βουδαίῳ τὸν Λάσκαριν, εἴτε τις ἄλλος ἐστὶ νῦν τῶν δικαίων τῶνδε ἔφορος, τίνος ἂν ἀφορμῆς τυχεῖν, ἢ ποίαν τινὰ ἀπολογίαν ἐνστήσασθαι ἂν οἴει. θαυμάζω δ' ἔγωγε ὅτι ποτὲ ὁ Δημοσθένης ὁ σός, εἰ νῦν σοι συνερῶν ἐκ τῶν ὑπογείων διανασταίη, ἀντειπεῖν ἂν ἔχοι μὴ οὐ δεῖν τὴν δίκην σε ταύτην ὀφλεῖν. πῶς γὰρ οὐκ ἂν δεινὰ παθεῖν ἡμᾶς ἀποφαίνοιτο ὁ δικάζων ἐκεῖνος, εἰ οὐδὲ μιᾶς ἐπιστολῆς ἀξιωθῆναι ὑπὸ σοῦ φανείημεν, ἐξ ὅτου δὴ αὐτὸς ἠξίωσαι τιμῆς οὐ τῆς τυχούσης ὑπὸ τοῦ ἰσοθέου. τί δῆτ', ὦ Ζεῦ, καὶ λόγιε, τί εἰπεῖν ἂν ἔχοις αὐτὸς, καίπερ ὢν εἰπεῖν δεινός.

BVDAEVS IANO LASCARI RHYNDACENO Salutem dicit.

MVltoties (ô lepidum mihíque dilectiſſimum caput) vt te incuſarem mihi inceſſit. vel enim obliuione quadam nulla in re amico congruente te quiſpiam criminabitur, vel reſupino quodam torpore, ſemper imminentem moleſtiam atque extemporalem ſedulitatem in conſequentem diem, & in poſterum retorquente. Profectò vltra id nullo te crimine arguere ſuſtinerem aggrederérque, quippe qui cumulatiſſimè exploratus perſpectúſq. amicus es. Abſit alioqui vt ego abſurdius quidpiam de te ſuſpicer, quem certè Achiuorum magnum decus nuncupare cõſueui. Age verò ſi Budæo apud Iouem amicitiæ diſceptatorem liceret cum Laſcare ingratitudinis agere, ſeu quidam alius nunc huius iuris inſpector atque præſes ſit, quámnam ſubſidij rationem te adipiſci, vel qualem defenſionẽ intendere poſſe putas? Demiror equidẽ, tuus ille Demoſthenes ſi nũc ab inferis tibi auxiliaturus exurgeret, quid tandẽ liti offerre poſſet quin par & cõueniens ſit vt hac cauſa cadas. Quî etenim iudex ille non cenſeret nos grauia acerbáque pati, ſi ne vnius quidẽ epiſtolæ digni tibi apparuimus, ex quo ſanè ipſe à pontifice maximo inſignitus es gloria non ignobili. Quid igitur ô Iupiter & tu Mercuri, quid inquam dixeris, quamuis in dicẽdo grauis ſis & vehemens.

Quaſi vero videlicet ſubeunte atque ſuccreſcente proſpera fortuna fidei & officio longum vale extremámque ſalutem dicere conueniat. O peregrinam amicitiam. vereor enim dicere Græcã: Niſi vtique iſtud controuerſiam patiatur vtrum tibi fidus amicus eſſe viderer: cuius tu quidem aliquãdo periculum faciens, nihil vtique abſurdum, nihil vitiatum, ſtolidũ ve ſonare & effutire percepiſti neque ineptum: vt vno verbo abſoluam neque amicitia tua indignum. Non profectò tu id quidem dixeris, certo ſcio. Quinimo neque id dicere tuis rationibus aſtrues, quòd ſanè tibi facultas ſit me eodem vitio recriminandi, nec quòd nunc haud opportunè mihi occurrit ob id te actione conuenire, cùm par eſſet me quidem prius ſcribentem ſic te obiurgare meis literis non ſatisfacientem. Quo enim pacto? Nunquid iſtud expetunt amicitiæ leges, vtercumque amicorum perbellè compos fuerit horum fortunæ bonorum, vt hic quidẽ mox alteri renuntiet, ac recitet? alter verò reſcribẽdo ipſi cõgratuletur & voluptatem capiat proſperæ fortunæ cauſa? Altero verò rurſum aduerſa vtente fortuna, tunc qui cum præclarè agitur officiũ prodat ac præmõſtret? quãdiu iſtud minimè fiat, querulosè vitio vertat is qui ſe putet deſpici, ac bonorum communione ſpoliari. Proinde quod ad te pertinet noſtra videatur euerſa fuiſſe amicitia.

ὥσπερανεὶ δῆθεν εἰσιούσης τῆς τύχης, τῇ πίστει καὶ τῷ καθήκοντι πολλὰ ἐρρῶσθαι φάναι προσῆκον. ὢ τῆς ξένης φιλίας. ὀκνῶ γὰρ εἰπεῖν τῆς ἑλληνικῆς. εἰ μὴ ἄρα που τοῦτο ἀμφισβητεῖται, πότερόν σοι φίλος ἐδόκουν εἶναι πιστός. ὅν γε σύ ποτε διακωδωνίσας, οὐδὲ ἄτοπον δήπου, οὐδὲν κωφὸν ᾔσθου φθεγγόμενον, οὐδ᾽ ἀπίθανον. συνελὼν δὲ φαίην ἂν οὐδὲ τῆς σῆς φιλίας ἀνάξιον. οὐδήπου σύ γε τοῦτο φήσαις ἂν εὖ οἶδ᾽ ὅτι. καὶ μὴν οὐδὲ τοῦτο λέγειν ἂν ἐπιχειρήσαις, ὡς ἄρα ἀντεγκαλέσαι μοι τῆς αὐτῆς τῆσδέ σοι δίκης ἔξεστιν, οὐδ᾽ ὡς νῦν οὐκ ἐν δέοντι ἐγκαλεῖν μοι τούτου παρέστη, δέον ἐμὲ γράψαντα μὲν πρότερον οὕτω σοι κατηγορῆσαι μὴ ἀντιγράψαντός σου. πῶς γὰρ ἄν; ἆρ᾽ οὐ τοῦτο ἀπαιτεῖ τὰ νόμιμα τὰ φίλια, ὁπότερος ἂν τῶν φίλων εὖ ἔχων τούτων τοῦ δαίμονος ἀγαθῶν τύχῃ, τοῦτον μὲν παραυτίκα θατέρῳ ἀπαγγέλλειν; ἐκεῖνον δὲ ἀντεπιστέλλοντα συνήδεσθαι τῆς εὐτυχίας αὐτῷ; δυστυχίᾳ μέντοι αὖ θατέρου χρησαμένου, τότε τὸν εὖ ἔχοντα ὑπάρξαι τοῦ καθήκοντος, ὡς ἐὰν τοῦτο μὴ γένηται, ἐγκαλέσειν τ᾽ ἂν μεμψιμοίρως τὸν δόξαντα παρεῶσθαι, καὶ τῆς κοινωνίας δὲ τῶν ἀγαθῶν ἀφῃρῆσθαι. οὐκοῦν τό γε σοὶ ἐπιβάλλον, καταλελῦσθαι ἡμῶν ἡ φιλία δοκεῖν ἄν.

καί τοι ἀπείπασθαί γε τηλικαύτην τε φιλίαν, οὕτω τε ἀπηρχαιωμένην, πάνυ τι εὐλαβητέον ἐμοὶ εἶναι ἡγοῦμαι, πρίν γ' ἂν ἐπαυτοφώρῳ τῆσδέ σε τῆς αἰτίας ἕλω. καὶ ταῦτα μὲν ταύτῃ εἴτε πεπαίχθω εἴτ' ἐσπουδάσθω, ὁποτέρως ἂν σὺ μᾶλλον ἀποδέξαιο, ἐπείτοι ἐμοῦ γε ἕνεκα ἐξέσται σοι ἑλέσθαι, πότερον ἐμοὶ ἀγανακτοῦντι χρῆσθαι βούλει, ἢ εὐαρέστῳ. ἴσθι γὰρ εὑρήσων με εἰς ἑκάτερον μέρος εὐπρεπῆ, καί- περ ἀναποσπάστως ἔχοντα πρὸς τήνδε τὴν φιλίαν, τὴν γ' οὕτω δεδογμένην ἡμῖν κοινῇ καὶ τῇ πρὸς ἀλλήλους συχνῇ χρήσει κεκυρωμένην. οὐκοῦν ἐπί σοι ἔσται ἢ τὴν ἑταιρείαν ἐμπεδοῦν τὴν εἰκοσέτη, ἢ ἄκυρόν τε αὐτὴν καὶ ὡς οὐκ οὖσαν ποιῆσαι, ὡς δικαστικόν τι ῥῆμα φάναι. ἀλλ' ὅπως μὴ λάθῃς σεαυτόν, ὦ δαιμόνιε, ἀνήκεστόν τι πλημμελῶν εἰς ἄνδρα δριμὺν ἐμέ, καὶ οὐχ ὡς ἂν τύχοι ὀργιούμενον, οὐδ' ἣν ἂν τύχῃ πρόφασιν καταπραϋνθησόμενον. οἶσθα γὰρ δήπου ὡς πᾶσι σχεδὸν τοῖς τῶν Ἑλλήνων παισί, δι' ἕνα τὸν Λάσκαριν αὐτὸς προσεπεπόνθειν πάλαι. οὐ μὴν ἀλλὰ καὶ ἐν ὅσῳ τοῦτό τε διαγινώσκειν καὶ καθιστᾶν ἐφίημί σοι, ἐν τοσούτῳ οὐ μνησικακῶν σοι τῶν προεληλυθότων, ἀξιῶ καὶ τὴν φιλίαν τὴν οὕτω πως ἀπειρημένην, τυγχάνειν τῶν δικαίων, ἵνα γοῦν καὶ τῆσδε τῆς σῆς εὐτυχίας ἀπολαύσω μεταξὺ σκεπτομένου σου.

Atqui tantam abdicare beneuolentiam, & vſqueadeo veterem, magnopere verendum mihi eſſe cēſeo, quin prius apertè te hoc reatu conuicero. Et in his quidem hoc pacto ſiue ludicro ſiue ſerio ſermone vtamur, vtrolibet modo potius admiſeris, alioqui per me quidem ius tibi eſt eligendi, vtrùm me queribundo vel grato amœnóque vti velis. Scias enim te inuenturum me in vtramque partem propenſum atque procliuem, quanquam tenaciſſimè & ſine vlla diuulſione affectum in hanc neceſſitudinem inter nos communi conſenſu ita decretam & crebro pariter vſu cōſtabilitam. Quapropter in tuo ſitum erit arbitrio hanc viginti annorum ſodalitatem firmare ſummáque animi conſtãtia obſeruare, vel eandem quaſi non exiſtentem, & abſentem abrogare, vt iudiciale verbum adhibeam. Verùm ô fortunate ne te ipſum fallas, quidpiam, cui medicinæ faciendæ locus nullus relictus ſit, perperã agens in me virũ acrem & aſperum, ac non quacunque ratione iras geſſurũ, haud quolibet prætextu placandũ. Nam non vtique te latet quemadmodũ omnibus propemodũ Gręcis vnius Laſcaris fauore antea deditus fui. Enimuerò quãdiu huius rei decernendæ conſtituendæque facultatẽ tibi indulgeo, interea haud memor iniuriarum apud te præteritarũ, dignum cenſeo amicitiam hanc ſic quodãmodo defatigatã ius ſuũ obtinere, vt interim dũ tu meditaris, hîc etiã hac tua beatitudine fruar.

Is igitur qui hãc tibi tribuit epiſtolam, Chriſtophorus eſt Longolius, vir à me dilectus. Ille Latinam linguam exactè callet, præterea etiam diſciplinam Græcam non ſummatim guſtauit neque per trãſennam, quemadmodum ego accepi ab his qui cum ipſo conſuetudinem habuerunt. in qua quantum progreſſum fecerit, rectiùs, tu ſubtiliúſque perceperis, ſicubi obuius tibi fiat. Ergo cùm ille delibaſſet Græcæ facundiæ ſuauitatẽ, vſqueadeò inſatiabili cupiditate ſeſe affici protulit, vt cùm non valeret apud nos eiuſdem facundiæ penuria preſſos cumulatè exaturari, vehementer cõmotus adductúsque eſt illuc migrare, vbi profectò Græcorum peregrinorum gymnaſium omnem ipſius cupiditatem poſſet explere. Cùm nobis quidem ſuo in diſceſſu benè precatus eſſet, quibus neceſſarium eſt nos domi continere, & in qualicunque diſciplina conquieſcere, & quod certè commiſeratione digniſſimum eſt, quemadmodum probè noſti, nullius monitoris ope vſa. Iſtud vbi ſtatuiſſet, & quandam occaſionem adeptus eſſet, conſanguineorum quidem ſuorum amicorum carpentium ſuíſque conſiliis peruertentium rationem non habuit. Iam verò rebus ſuis ac ſarcinis compoſitis & in faſciculum coniectis mecum precibus contendit vt ſibi beneuolum compararem Græcorum eloquentiſſimum, Laſcarem, (inquit) amicum tuum: ita enim fertur, qui & Romæ aliis in rebus plurimum valet, tum etiam apud ſummum eccleſiæ antiſtitem literas & diſciplinarũ cultum diſpenſat de eíſque ſtatuit.

ὁ μὲν οὖν τὴν ἐπιστολήν σοι ἀποδοὺς Χριστοφόρος ἐστὶν ὁ Λογγόλιος, ἀνὴρ ἠγαπημένος ἐμοί. οὗτος λατινιστὶ ἀκριβῶς πεπαιδευμένος, πρὸς ἔτι καὶ τῆς ἑλληνικῆς παιδείας ἥπται οὐκ ἀκροθιγῶς, ὥς γε ἀκηκοώς εἰμι τῶν ὡμιληκότων αὐτῷ. ἧς καθόσον ἐφίκετο, βέλτιον ἂν σὺ καὶ ἀγχινούστερον κατανοήσαις, εἴπου τύχοι σοι ἀπαντῶν. γευσάμενος οὖν ὅδε τῆς εὐγλωττίας τῆς ἑλλήνων, οὕτως ἀπλήστως ἔχειν ἔφη, ὥστε ἐμφορεῖσθαι ἀθρόως παρ' ἡμῖν τοῖς ἐνδεέσι ταύτης οὐκ ἔχων, ἐξήρθη τε καὶ παρωρμήθη αὐτόσε πορεύεσθαι, ὅπου δὴ τὸ γυμνάσιον τὸ τῶν ἐπηλύδων ἑλλήνων κατακορέσαι ἂν αὐτοῦ πᾶσαν ἐπιθυμίαν οἷόν τ' εἴη. ἐρρῶσθαί γε ἡμῖν φράσας, οἷς οἰκουρῆσαί τε ἐπάναγκες, καὶ παιδείᾳ δὲ ὁποιᾳδήποτε στέρξαι, καὶ τὸ δὴ οἰκτρότατον, αὐτοδιδάκτῳ, ὡς οἶσθα σύ. τοῦτο δὲ διαγνούς, καὶ ἀφορμῆς τινὸς τυχών, τῶν προσηκόντων μὲν αὐτῷ καὶ φίλων ἐπιλαμβανομένων, λόγον οὐκ εἶχεν. ἐδεῖτο δέ μου ἤδη συσκευασάμενος τὰ ἑαυτοῦ, συστῆσαί οἱ τὸν λογιμώτατον τῶν ἑλλήνων, Λάσκαριν, φησί, τὸν σὸν φίλον (οὕτω γὰρ ὁ λόγος ἔχει) τά τε ἄλλα πολὺ ἰσχύοντα ἐν Ῥώμῃ, καὶ δὴ καὶ διοικούμενον τὰ περὶ τοὺς λόγους καὶ τὴν τῆς παιδείας ἐπιμέλειαν τῷ ἀρχιερεῖ.

αὐτοῦ γοῦν εἰσηγουμένου τὸ γυμνάσιον ἐπιτετήδευται τὸ ἑλληνικὸν καὶ περιβόητον ὄν. εἰ μὲν οὖν ὦ φιλότης ὁ αὐτὸς ὢν νῦν τυγχάνεις τῷ πάλαι μοι δοκοῦντι, καὶ ἀκριβῶς δὴ ἐγνωσμένῳ, τούτῳ τῷ φιλομαθεῖ, ἐρωτομανῶς πως ἔχοντι περὶ τὴν παιδείαν τὴν καλλίστην, ὡσπερεὶ ἐρωμένην αὐτοῦ, ἐπιδέξιος εἶ βοηθῆσαι, μάλιστα μὲν τοῦ τρόπου τοῦ σοῦ ἕνεκα, πάσης τῆς ἀρεσκείας τε καὶ εὐνοίας εἰς πάντας τοὺς φιλολόγους προαιρετικοῦ, ἔπειτα δὲ καὶ δι' ἐμέ, ᾧ δὴ κεχαρισμένον τι ποιεῖν ὁπωσποτ' ἂν προέλοιο. δοκεῖς δέ μοι κἂν συνάψασθαί οἱ τοῦ πόνου ἤν ποτε σχολὴν ἀγάγῃς ἐν πολλῇ ἀσχολίᾳ, ὅς γε καὶ τοῖς ἐπικεκυφόσι τῶν σπουδαίων συνάρασθαι τῶν βαρέων καὶ δυσχερῶν τὴν ἐπιχείρησιν αὐθαιρέτως εἴωθας. ἄξιος δὲ δὴ τῆς βοηθείας σοῦ τυγχάνειν εἶναί μοι δοκεῖ, ὁ ἐνθένδε τὴν παιδείαν μέχρι τῆς Ῥώμης μετιών. γένοιτο μόνον αὐτῷ φανῆναί σοι τοιούτῳ, οἵου ἂν σύγε τῇ φύσει ῥᾳδίως ἀρέσκοις. ἐπὶ τούτῳ γε οὖν ἐγγυᾶσθαι τὴν σὴν, καὶ πάντων τῶν φίλων μου βοήθειαν, οὐκ ἂν εὐλαβοίμην ἔγωγε. πρόσειπέ μοι τὸν πρεσβευτὴν ἡμῶν Βαρμὰν, τὸν βασιλικὸν δικαιολόγον ἐν τῇ βουλῇ τῇ ἀνωτάτω, εἰ ἄρα γ' ἔτι αὐτόθι ἔσται τούτην σου κομισαμένου.

Eo quippe auctore Græcum gymnaſium idémque percelebre ſtudioſè inſtitutum eſt. Ergo (ô mi amice) ſi idem ipſe nunc es, qui antea mihi apparuiſti, exactè porrò exploranti, huic diſciplinæ auido, perditè furibundèque erga præclariſſimam eruditionem non ſecus atque ſuam amicam quodammodo affecto, in ea es opinione vt ſuccurrere poſſis; præſertim quidem morum tuorum gratia, cupidè propenſéque exercentium omnem comitatem atque beneuolentiam in cunctos literarum ſtudioſos, deinceps verò etiam meo nomine, cui profectò gratum quidpiam facere vtcunque lubenti animo volueris. At mihi videris etiam cum ipſo ad laborem acceſſurus ſi quando in ſumma occupatione tibi vacabit, qui quidem conſueueris ſtudioſis, qui literario otio proni incumbũt, tua ſponte ſubleuare rerum onerantium negociáque exhibentium aggreſſionem. Ille autem tuo præſidio dignus mihi apparet eſſe, qui hinc Romam vſque doctrinam ſtudioſè perſequitur. Ipſi duntaxat liceat vt talis tibi eluceſcat, in cuius indole tu minimo quidem negocio conquieſcas: propter hunc igitur tuam amicorúmque omnium opem ſponſione promittere, haud equidem formidarem. Meo nomine ſalutato Barmam noſtum legatum, regium in ſuprema curia cauſidicum, ſi forſitan illic adhuc erit, quum hanc receperis epiſtolam:

ipſum quidem virum elegantem atque eruditionis cupidum inter præclaros & inſignes viros qui in ipſorum ordinem cooptantur, cuius rei gratia hunc ſubinde legationis munia obeuntem tibi aſcitum amicitiæque vinculo copulatum fuiſſe puto. Vt ſummatim igitur dicam ſi quid mearum rerum tibi curæ eſt, ſcias me à valetudine quidem haud proſperè, à mente vero non veſanè diſpoſitum eſſe, liberis procreandis necnon eruditioni ex æquo incumbentẽ. Salutat te per me Franciſcus Deloinus, vir antea tibi exploratus, ſingularíque beneuolentia te proſequens, mihi verò ſexquialter amicus. Vale, & in mei amore permaneas, Pariſiis quarto idus menſis Iunij ánte ſolſtitium æſtiuale.

ἄνδρα μὲν αὐτὸν χαρίεντά τε καὶ φιλομαθῆ ἐν τοῖς πάνυ τοῖς γε εἰς τὴν αὐτῶν τάξιν τελοῦσιν. οὗ δὴ ἕνεκα προσῳκειῶσθαί σοι τοῦτον καὶ πεφιλιῶσθαι ἡγοῦμαι μεταξὺ πρεσβεύοντα. ὡς τοίνυν τελευταῖον εἴ τί σοι μέλει τῶν ἐμῶν, ἴσθι ἐμὲ ἀπὸ τῆς ὑγιείας μὲν, οὐκ εὖ, ἀπὸ δὲ τῆς διανοίας οὐ κακῶς διακείμενον· παιδοποιητικήν τε καὶ παιδευτικὴν ἐξ ἴσου ἐργαζόμενον. προσαγορεύει σε δι᾽ ἐμοῦ Φραγκίσκος ὁ Δηλοΐνος, ἀνήρ σοι πάλαι προσφιλὴς καὶ δεδοκιμασμένος, ἐμοὶ δὲ ἡμιόλιος φίλος. ἔρρωσο, καὶ διατέλει ἡμᾶς στέργων, ἐν Παρισίοις ἑκατομβαιῶνος μηνὸς τῇ δεκάτῃ ἱσταμένου πρὸ μιᾶς τῆς τροπῆς τῆς ἡλιακῆς.

GVLIELMVS BVDAEVS CROCO SALVTEM.

DEbes quidem, ô Croce, haud mediocriter in Græcorũ monimentis procedere & amplificari, qui certè apud me Latinum virum cum Latinus ipſe ſis Græca lingua generoſè profectò atque honorificè vti propoſueris. Quod verò veteris amicitiæ noſtræ memor fueris, nunc apud me implacidè inquietéque affici aſſimilaris poſtremas in amando partes ferens, cùm ad te pertineat primas obtinere, nec mihi ſum conſcius querimoniæ huius petitionis.

ΓΟΥΛΙΕΛΜΟΣ ΒΟΥΔΑΙΟΣ Κρόκῳ εὖ πράττειν.

ΜΕλλεις μὲν ὦ Κρόκε ἀμφὶ τὰ τῶν Ἑλλήνων οὐ μετρίως ἐπιδώσειν, ὅς δὴ πρὸς ἄνδρα λατῖνον ἐμὲ λατῖνος ὢν αὐτὸς, ἑλληνίζειν προῄρησαι τῷ λόγῳ, γενναίως δὴ καὶ ἀξιεπαίνως. ὅτι μέντοι τῆς φιλίας ἡμῶν τῆς παλαιᾶς ἐμνήσθης, δυσφορεῖν τε ἔοικας τὰ ἔσχατα φερόμενος τῆς οἰκειότητος νῦν παρ᾽ ἐμοί, τῶν πρωτείων γε τυγχάνειν σοι προσῆκον, οὐ σύνοιδα ἐμαυτῷ τὴν αἰτίαν τοῦ ἐγκλήματος.

μνημόσυνον μέντοι παρέχεσθαί σε χρὴν καὶ γνώρισμα οὐκ ἀμυδρὸν τῆς ὁμιλίας ἡμῶν. καὶ γὰρ τοῦ Κρόκου ὀνόματος, ὥς γε μοι γνωρίμου ἀνδρὸς καὶ οἰκείως ἔχοντος, οὐ πάνυ τοι γε νῦν ἔχων μέμνημαι. οὐ μὴν τούτου γε ἕνεκα δυσαρέστως σε δεῖ διακεῖσθαι ἢ ὅπως δὴ ἀνιαθῆναι, οὐδέ τινι φθονῆσαι τῶν ὑμεδαπῶν, οὓς ἡδέως τε ἀσπάζομαι διʼ ἐπιστολῶν καὶ διὰ τιμῆς ἄγω, εἰκότως. ἄνδρες γάρ εἰσιν ἐκεῖνοι, ἐμοί τε καὶ πολλοῖς τῶν ἐμοῦ διαφερόντων σοφίᾳ, κεχαρισμένοι. σοί γε μὴν ἔνεστι καὶ τῶν ὁμοίων αὐτοῖς παρʼ ἐμοῦ τυχεῖν, ἤν σοι τοῦτʼ ἐπιμελὲς ᾖ. φέρε δὴ προσεμφερῆ σε τούτοις τοῖς Βρεττανοῖς παρέχου τοῖς σοῖς, ἴσα τε ἀξιέραστον, κἀγώ σοι ἴσα καὶ τούτοις φιλικῶς προσοίσομαι. ἴσθι μὲν δὴ τῇ ἐπιστολῇ ἄνδρα προσκαλεσάμενος οὐκ ἀηδῶς ἀντιξενιοῦντά σοι, εἴπου σοὶ τοῦτο καταθύμιον ἑλληνιστὶ ἀλλήλοις ἀντεπιστέλλειν ἡμᾶς. ἥσομαι γὰρ καὶ ταύτῃ τῇ γλώσσῃ τὴν φιλοπονίαν ἀσκῶν. ἔρρωσο, καὶ τῶν ἐνδόξων τουτωνὶ καὶ λογίων τῶν αὐτόθι, τούς σοι φιλτάτους προσεῖπέ μοι. ἐν Παρισίοις Νοβεμβρίου τρίτῃ ἱσταμένου τῆς νεκυίας τῇ ὑστεραίᾳ.

Operæprecium erat quidem certè te exhibere monimentum ac noſtræ familiaritatis haud dubium nec obſcurum ſpecimen & indicium. Namque nominis Croci, haud ſecus atque mihi perſpecti viri & ſe beneuolum exhibentis, non magnopere nunc memini. Non tamen huius rei gratia te fas eſt offenſo eſſe animo vel quocunque modo excruciari, nec cuipiam veſtorum conterraneorum inuidere, quos literis ſaluto iucundéque amplector & meritò in magno honore ac veneratione habeo. Illi enim viri ſunt mihi atque permultis me ipſo ſapientiæ titulo præſtantioribus, gratiſſimi. Tibi porrò atque ipſis per me licet comparia conſequi, ſi iſtud tibi curæ ſit. Ageſis verò te horum tuorum Britannorum non abſimilem præbeto, ac pari amore dignum, tum ego ex æquo in te atque in illos hoſpitali amore munificus ero. Scias quidem velim te, literis virum tibi non iniucundè ſermone peregrino reſponſurum laceſſiuiſſe, ſicubi iſtud tibi ſit ex animi ſententia, vt mutuas inter nos Græcè ſonantes demus epiſtolas. Nam eadem ipſa lingua meas lucubrationes exercens lætitia perfundar. Vale, & horum præclarorum virorum doctrináque perpolitorum illic agentium, tibi amicitiæ vinculo deuinctiſſimos meo nomine ſalutato. Lutetiæ Pariſiorum tertiò nonas menſis Nouembris poſtridiæ Funeraliorum.

GVLIELMVS BVDAEVS Chriſtophoro Longolio Salutem.

SExto nonas huius ineuntis menſis tuas ego accepi literas, cùm eas mihi tradidiſſet quidam domeſticorum Bartolini abbatis adoleſcens, qui, vt mea fert opinio, vnicè diligendus eſt charitatis beneficio, tum in te, tum in alios literarum præconio inſignes. Has vero tuas literas hilariter in primis præ lætitia oculis luſtraui, & præterea perlegi. Aliquantulum poſtea certè eas percenſui, cùm tuis ſcriptis exhilaratus potiſſimum Græcè ſonantibus, tum gliſcens affectánſque de tuis rebus certior eſſe. haud profectò domi me continens tuam accepi epiſtolam, ſed mihi per vrbem feſtinanti allata eſt quàmprimùm in meam villam profecturo, quandoquidem ego ſtatim præ læticia reſcripſiſſem. Nō enim me coërcuiſſem quominus te cōparibus ſubinde literis ex illa hora cōpenſaſſem, te inquā me laceſſentē in hunc cāpum ad meorū equorū agitationē nō ita difficilē, vt puto. Nono verò die in vrbem regreſſus, cùm de rebus meis domeſticis ſtatuiſſem, & negociis ante omnia animaduertēdis perfunctus eſſem, rurſum incœptaui literis intentus eſſe. Ac primùm quidē iam mihi otioſo, cogitantíque à quonā exordirer, in mētem venit tuas denuò ſchedas recognoſcere, vbi verò eas percenſuiſsē, ſtatim tibi quidē gratulat[9] ſum propter ſtudiū vehemēnſque in Græcorum diſciplina incrementum.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ ΧΡΙστοφόρῳ Λογγολίῳ εὖ πράττειν.

Ἐκομισάμην σου τὴν ἐπιστολὴν δευτέρα τούτου τοῦ μηνὸς ἱσταμένου, ἐπιδόντος του τῶν ἀπὸ τῆς οἰκίας κοινοβιάρχου τοῦ Βαρτολίνου νεανίσκου γ' ἐμοὶ δοκεῖν ἀξιεράστου τῆς εὐνοίας ἕνεκα τῆς τε πρός σε καὶ τοὺς ἄλλους πεπαιδευμένους. Ταύτην δὲ τὴν ἐπιστολὴν ἡδέως πρῶτον ὑπὸ τῆς χαρᾶς ἐπῆλθόν τε καὶ προσεπῆλθον· εἶτ' ἠρέμα δὴ ἀνέγνων, τοῦτο μὲν, τοῖς γράμμασι ἐνασμενίζων τοῖς σοῖς καὶ τοῖς ἑλληνιστὶ φθεγγομένοις, τοῦτο δὲ γλιχόμενος μανθάνειν τὰ περὶ σοῦ. οὐ μὲν τοι οἴκοι ὢν τὴν ἐπιστολὴν ἐδεξάμην, ἀλλὰ δὲ τὸ ἄστυ σπεύδοντί μοι παρεδόθη, ὅσον τε οὐδέπω εἰς ἔπαυλιν ἐξιόντι, ἐπεὶ παραυτίκ' ἂν ἐγὼ ὑφ' ἡδονῆς ἀντεπέστειλα. οὐ γὰρ ἂν ἰσχόμην μὴ οὐχί σε τοῖς ἴσοις γοῦν γράμμασι παραυτόθεν ἀμείβεσθαι, τόν γε προκαλούμενον ἐμὲ εἰς τουτὶ τὸ πεδίον οὐ δυσηλατώτερον, ὥς γέ μοι δοκεῖ. δι' ἐνάτης δὲ δὴ ἡμέρας εἰς πόλιν ἐπανιὼν, τά τε οἴκοι διαθέμενος, καὶ τῶν παρέργων ἀπαλλαγεὶς, πρὸς τοῖς λόγοις αὖ ἠρξάμην εἶναι πάλιν. καὶ τὸ μὲν πρῶτον σχολὴν ἤδη μοι ἄγοντι, ὅτου τε ἀρξαίμην σκεπτομένῳ, τὰ γράμματά σου πάλιν ἐπιλέξασθαί μοι ἐπελθὸν συνηδόμην γε σοι εὐθὺς τῆς σπουδῆς τῆσδε ἀναγνοὺς, καὶ τῆς ἐπιδόσεως τῆς ἄγαν ἐν παιδείᾳ τῇ ἑλληνικῇ.

πῶς γὰρ οὐκ ἂν συνέχαιρον, ὅς γε σοὶ τῆς προαιρέσεως ταύτης ἐσηγητὴς, σύμβουλος συναινέτης ἐγενόμην, καὶ δὴ καὶ ἐνθένδε ἀπελθόντι συστατικὴν ἐπιστολὴν ἐγχειρισάμην πρὸς ἄνδρα ᾧ μάλιστα συσταθῆναι σὺ ἐπεθύμεις. καὶ μὲν δὴ καὶ τοῦτο προσθείην ἂν (ἀπείη δὲ φθόνος) ὅς γε τοῦ τὴν γνησίαν τῶν γραμμάτων σπουδὴν ἐκπονεῖν, καθηγητὴς τοῖς σπουδαίοις τοῖς ἐλευθεροπρεπῶς τε καὶ ὁλοσχερῶς γ᾽ ἐνταῦθα γέγονα. καλοῦ τε τοῦ ἐπιτηδεύματος τοῖς κελτοῖς κατ᾽ ἐμὲ κατῆρξα. οὗ δὴ ἕνεκά τις ὑπάρξειν εἰς τοὐπιὸν προσδοκῴην ἄν, εἴγε τῶν ἀποδεχομένων τὰ αὐτῶν ἐτύγχανον ὤν. ἀλλ᾽ ἔγωγε μὲν ὁρῶ τὴν παιδείαν ἐξίσου σχεδὸν σοί τε κἀμοὶ εἶναι περισπούδαστον. ἀμέλει τὸ ἐς ἐμὲ, οὐδενὶ οὐδὲν ἂν παραχωρήσαιμι, οὐδ᾽ ὑφείμην ἂν οὐδὲν οὐδενὶ τῶν σπουδαστῶν, τοῦ μὴ οὐχὶ ἀτεχνῶς τε καὶ ἀφθόνως τούτῳ τῷ πράγματι αὐτὸς προσεστηκέναι δοκεῖν, δυσαποσπαστότερόν τε ἢ τῇ μοι γημαμένῃ συμβιῶναι καί περ κεχαρισμένῃ. σὺ μέν τοι μέγαν τε πόνον ἄρασθαι φὴς, λιπαρῆ τε σπουδὴν ἐπιτετηδευκέναι, σκοπῶν καὶ μεριμνῶν ὅπως χρόνῳ μὲν ὑστερήσας, ἐπιμελείᾳ δὲ χρησάμενος ὑπερμεγέθει, τοὺς προλαβόντας ὅσον αὐτίκα καταλήψῃ. εὖγε τῆς προαιρέσεως τῆς σῆς ὦ φίλε, γενναίας τε καὶ ἀξιεπαίνου.

Quî enim gauiſus non fuiſſem, qui quidem huius propoſiti dux, conſiliarius, monitor tibi extiti; ac protinus hinc abeunti conciliatricem epiſtolam dedi ad virum cum quo tu conciliari ſociaríque percupiebas. At verò iſtud adiunxerim (ſit procul autem à nobis inuidia) qui quidem hiſce noſtratibus ſtudioſis ſuaſor inſtitutórque fui, ingenuè decoréque ac penitus elaborandi in legitimo humanitatis ſtudio, præclaríque huius exercitij Celtis meis contemporaneis auctor extiti, eíſque initium præbui. Cuius rei ſanè gratia poſthac in ſpem vocarer me quempiam fore, ſi quidem eſſem ex eorum albo qui res ſuas commendant approbántque. Verùm equidem doctrinam cerno propemodum ex æquo tibi mihíque ſtudioſè affectatam. Atqui quantum in me eſt, nemini quicquam ceſſerim, nec cuipiam ſtudioſo remiſerim, quo minus ſine fuco largiſſiméque ipſe huic literario negocio addictus videar, idque tenacius quàm cum mea coniuge mihi alioqui obſequentiſſima gratiſſimáque conuixerim. tu quidem certè & magnum laborē ſuſcepiſſe aſſeris, accuratámque diligentiam exercuiſſe contemplās curioſéque perpendens quemadmodum tempore quidem poſterior, immenſa verò ſedulitate vſus, præcedētes præoccupātéſque quā celerrimè vincas. Euge, ô mi amice, generoſi laudabilíſque tui propoſiti cauſa.

D

At tu quidem rurſum exploratum habeas, te hoc ſermone meum ſtudiũ abundè adauxiſſe: haud enim me latet ad quod diſcrimen deuenerim, cùm tu certè riualis & competitor eſſes meæ amicæ, cuius nomine ſuperiori tempore valdè gloriari ac non mediocria mente concipere videbar. Ecquid? numquis hoc negocium veluti maximum damnum exiſtimarit, hac nunc me penè vietum atque caducum celebritate ſpoliari à viro non ita pridem hominibus oſtenſo, cuius tot annos minimè contentioſè fructũ elicuiſſem? Enimuerò quemadmodum athletarum ſtrenuiſſimi haud palmam præripere geſtiunt, in certamine adæquandorum defectu nullo tunc ipſis reluctante ac renitente, propterea quòd magis eſt expetendum qualiſcunque virium præſtantiæ ſpecimen præbere, quã curriculo quidem hominibus deſtituto citra ſudorem præmium certaminis tanquam deſertum reportare. Et athletæ feroces ac animoſi vehementéſque referto ſtadio alacriùs vtique diſponuntur tanquam ipſis quidem tum liceat fortitudinem antehac labore confectam excultámque exercere. Sic profectò & ego mihimet ipſi congratulor, intelligens haud paucos in præſentia ad illum ſcopum diligenter ſeſe conferre, quem quidem aſſequi mirificè concupiui, vt ignorem ſi quis alius noſtrorum temporũ. Tu porrò currendi peritus & quidã è noſtratib. alij videlicet qui ante triuiales haud dubiè ac ſe mediocriter gerẽtes exilitis ac perniciter emergitis, meum quidẽ ſtudiũ

καί τοι τούτῳ γε αὖ τῷ λόγῳ ἴσθι σὺ τὴν ἐμὴν σπουδὴν ἐπιεικῶς ἐπιτεταχώς. οἶδα γὰρ οἷ κινδύνου καθέστηκα, σοῦ γε δὴ ἀντεπιθυμητοῦ ὄντος μοι τῆς ἐρωμένης ἐμῆς, ἐφ' ᾗπερ ἐν τῷ πρόσθεν χρόνῳ ἀγάλλεσθαι λίαν καὶ οὐ μέτρια φρονεῖν ἐδόκουν. τί δέ; ἔστιν ὅστις οὐκ ἂν συμφορὰν ὡς μεγίστην τὸ πρᾶγμα τοῦτο ποιοῖτο, τῆς εὐκλείας ἀφῃρῆσθαι νῦν σχεδόν τι παρηκμακώς, ὑπ' ἀνδρὸς νεοφανοῦς, ἣν ἔτη τοσαῦτα ἀναμφισβητήτως ἐκαρπωσάμην; οὐ μὴν ἀλλ' ὥσπερ οἱ γενναιότατοι τῶν ἀθλητῶν τὴν νίκην οὐκ ἂν ἥδοιντο ἀνῃρημένοι, μηδενὸς αὐτοῖς τότ' ἀνταιρομένου ἐνδείᾳ τῶν ἀντιπάλων, ἐπεί τοι τὴν δύναμιν εὐκλεέστερόν ἐστιν ὁποιανδήποτε ἐνδείκνυσθαι, ἢ τοῦ γε σταδίου λειπανδροῦντος ἀνιδρωτὶ τὸ ἆθλον φέρεσθαι ὡσανεὶ ἐγκαταλελειμμένον. καὶ οἱ νεανικοὶ δὲ ἀγωνισταί, καὶ δεινοὶ πληθύοντος τοῦ σταδίου φαιδρότερον δήπου διάκεινται, ὡς ἐξόν γε τότε αὐτοῖς τὴν ἰσχὺν ἔμπροσθεν ἐκπεπονημένην ἀσκεῖν. οὕτω δή τοι καὶ αὐτὸς ἐμαυτῷ συνήδομαι οὐκ ὀλίγους νυνὶ μαθὼν εἰς ἐκεῖνο τὸ πέρας κατὰ σπουδὴν ἱεμένους, οὗπερ ἔγωγε ἐφικέσθαι, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν ἐφ' ἡμῶν, ὑπερεπεθύμησα. σύ γε μὴν ὁ δρομαῖος, ἄλλοι τε τινὲς τῶν ἐνθάδε, περὶ τῶν ἐγκυκλίων δηλαδὴ καὶ μετρίως ἐχόντων ἐκθορόντες, τὴν σπουδήν γε τὴν ἐμὴν

τῷ ὄντι παροξύνετε, δεδιότος δήπου μὴ παρηκολουθηκότων ποδῶν ὑμῶν, βραδυτῆτα πολλὴν ὄφλω, ὅγε πρότερον αὐτὸς τῶν ὀξέων εἶναι καὶ πρωτευόντων δόξας. οὐ γὰρ ἂν οἶμαι καταλάβοιτέ με δραμόντες, μὴ οὐχὶ αὐτίκα δὴ μάλα μετ' αἰσχύνης ἂν ἀπολιπόντες. ὅμως μέντοι οὐκ ἀγνοεῖν ὑμᾶς δεῖ, μέγα τὸ μεταίχμιον εἶναι τὸ διὰ μέσου, ὅπερ ὑμῶν διανυτέον ἐστὶν, εἴγε εὐθὺ δραμεῖν τοῦ τέρματος ἀπὸ τῆς βαλβῖδος ἐγνώκατε, παρὰ πόδας δῆθεν ἀκολουθοῦντες ἐμοί. ἀλλὰ γὰρ φήσειέ τις ἂν ὑμῶν, ὡς οὐκ ἂν ἀναδύοιτο κατ' ἴχνος σοι κατακολουθεῖν, ὅς γε οὐδενὸς ἀκούσας διδασκάλου οὐδενί τε οὐδέποτε πεπλησιακὼς τῶν ὁπωσοῦν ἐμπείρων, ἄττων δὴ τῇδε κἀκεῖσε ὑπὸ τῆς προθυμίας, καὶ περινοστοῦντι ἐοικὼς, βραδίως ἄρα καὶ τὴν δὴ διὰ μέσου ἐφικέσθαι, μήτε δὴ τὴν ἐσχάτων ἠδυνήθης. ἡμεῖς δὲ οἱ εἰς τοῦ διδασκάλου φοιτῶντες, ἢ ἄλλως γέ πως τυχόντες καθηγεμόνος, τήν τε τῆς παιδείας μέθοδον ἀνύοντες οὐ κατὰ ποδὸς βάσιν οὐδέ γε ὅπως δὴ καὶ τυχόντως ὁπιδόντες, ἀλλὰ κατὰ τάξιν μὲν, ἀθρόως δὲ τὰ ἐφεξῆς μετιόντες ἀλλήλων ἐχόμενα, πῶς οὐκ ἂν τὸ πλεῖστον τοῦ χρόνου τε καὶ πόνου κερδήσαιμεν,

proculdubiò ſtimulatis, quippe qui formido ne tandem cùm vos me ſumma contentionē aſſectati fueritis, ingentis damner ſegnitiei, qui quidem ipſe priùs ex acrium albo eſſe apparuerim, & eorum quibus primus locus attribuendus deferendúſque ſit. Non enim opinor me currendo celeritate viceritis, quo minùs ſtatim cū erubeſcentia relinquatis. Veruntamen haud vos ignorare fas eſt, amplam in medio planiciem interiectam eſſe, quæ quidē vobis curſu eſt abſoluēda, ſi ſaltē recto tramite à carceribus ad metam currere decreuiſtis, ſcilicet me è veſtigio cōſequentes. Enimuerò quiſpiam veſtrûm protulerit, quis non tergiuerſetur te ſecundum veſtigia ſequi, qui quidem nullius monitoris auditor fueris, nullíque vnquam qualitercunque literarum Græcarum vſum callenti adhæſeris, huc & illuc certè præ animi alacritate proſiliens, ac oberranti expatientíque ſimilis, proculdubiò etiam lentè mediocria cōſequi nedum ſumma potuiſti. Nos verò in doctoris ædes pergētes, vel alio quouis modo deductorem ac præceptorem conſecuti, eruditioníſque methodum non pedum greſſui inſiſtendo, abſoluentes, nec quomodocūque & plebeiorū ritu progreſſum facientes, ſed habita quidem ratione noſtri ordinis & qualitatis, cumulatè autem ad ea quæ deinceps mutuam habent conſequentiam, aggredientes, quî fieri poteſt quin permultum temporis atque laboris lucrifaciamus,

in quibus tu quidem ſolitarius vehementer vexabaris, non tantùm moderatoribus, verum etiam tuo labori ſeruientibus condiſcipulis carens. Heu me miſerum quæ mihi ſors in literario ſtudio obtigit? Tu verò præterquàm quòd me naturæ bonitate præſtantior es, & in hoc certè nobis omnibus hîc agentibus antecellis, propterea quòd præceptorum penuria non laboras, nec eorum qui ſigillatim tibi priſcorum ſapientum ſcripta exponant. Et ex animi tui ſententia optimis libris potitus, nondum vlla pauperie preſſus, nec inferior effectus es, vt hîc nunc fert hominum exiſtimatio. Me verò fortaſſis apparentem affatim habere rerum ad quotidianum vſum neceſſariarũ & ad hanc ſtudij literarij impenſam, in aliis quidem fortuna imminuit temporúmque cõſtitutio, ante omnia quidẽ ad librorum inopiam vtique redactũ, deinceps præceptorum, præterea etiam condiſcipulorum, quod certè maximum eſt. Meum autem in ſtudẽdo impetum multoties coërcentes ac temperantes medicos ſilentio prætermitto, exitium comminantes, niſi quàm primùm victus rationem commutarem, & à libris me ſubtraherem. Age verò, infirmitatem illam mihi propinquitate iũctã, ſicuti dixerit aliquis, copioſa admodum continuáque mihi negocia faceſſentem, quo pacto putas me propulſaſſe ab alacri affectu, deterruiſſéque fermè ſemper exiſtimantem illico è vita migraturum? Quid tandem?

ἐν οἷς σύ γε μονάζων δεινῶς ἐκακοπάθεις, οὐχ ὅπως τῶν ἡγουμένων, ἀλλὰ καὶ τῶν συμφιλοπονούντων ἀμοιρῶν. οἴμοι κακοδαίμων, οἵαν λῆξιν ἐγὼ περὶ τὰ τῆς φιλολογίας εἴληχα; σὺ μέν τοι πρὸς τῷ διαφέρειν μου τῇ εὐφυΐα, καὶ τοῦτο δὴ πλεονεκτεῖς πάντων ἡμῶν τῶν ἐνθάδι, ὅτι τῶν καθηγησαμένων εὐπορεῖς, καὶ τῶν ἐξηγησαμένων δέ σοι τὰ παρὰ τοῖς πάλαι σοφοῖς. βιβλίων τε τῶν βελτίστων τυχὼν κατὰ γνώμην, μηδὲν μηδέπω καταδεὴς μηδ' ὑποδεὴς γεγονώς, ὥς γε λόγος νῦν ἐνταῦθα. ἐμὲ δὲ τῶν μὲν καθημέραν καὶ τῶν πρὸς τὴν χορηγίαν τὴν δὲ τὴν εἰς φιλολογίαν, ἴσως ἂν εὐπορῆσαί που δοκοῦντα, τἄλλα γε ἡ τύχη ἠλάττωσε καὶ τῶν καιρῶν ἡ κατάστασις, ἀπορούμενον δήπουθεν, πρῶτον μὲν βιβλίων, εἶτα διδασκάλων, πρὸς δὲ, καὶ συμμαθητιώντων, ὃ δὴ μέγιστον. ἐῶ δὲ λέγειν πολλάκις μου ἀπεσχηκότας τὴν ὁρμὴν τοὺς ἰατροὺς, ἐξώλειαν ἐπαπειλοῦντας, εἰ μὴ παραχρῆμα μεταθησοίμην τὴν δίαιταν καὶ τῶν βίβλων ἀφησοίμην. εἶεν, τὴν δὲ δὴ νόσον ἐκείνην, ὡς ἂν εἴποι τις, ἐμοὶ συγγενῆ, συχνά μοι πάνυ πράγματα καὶ συνεχῆ παρέχουσαν, πῶς οἴει ἀνακόψαι με τῆς ὁρμῆς, καὶ ἀποσπεῦσαι, ὅσον οὔπω οἰόμενον διὰ παντὸς τεθνήξεσθαι; τί δαί;

τῶν φίλων καὶ προσηκόντων τοὺς πάνυ τοί με ἐπιχειροῦντας τῆς ἑλληνικῶν λόγων σπουδῆς, οὐδὲν πλέον ἕξειν με φάσκοντας ἀπὸ τῆς γνώσεως αὐτῶν, ὁπηνίκα ἐν τοῖς Κελτοῖς οὐδέποτε τούτων οὐδεὶς λόγος ἔσεσθαι μέλλοι, οὐδὲν ἐμποδὼν οἴει γενέσθαι; τὰ τοίνυν τοῦ τοῦ ἀγῶνος πρότερον μὲν, διαφερόντως ἐμοί τε καὶ σοὶ εἶχεν. εἰς δὲ τὰ μετὰ ταῦτα σκοπουμένῳ, ἐν ταυτῷ σχεδὸν καθεστῶτα δοκοίη ἄν. καὶ γὰρ τοι αὐτὸς δοκεῖν εἶναί τις φθάσας τοῖς πολίταις τοῖς ἐμοῖς ἐπὶ τῇ τῶν ἑλληνικῶν λόγων ὁποιατινοῦν ἐπιστήμῃ, ὥστε οὐκ ἔσθ᾽ ὅπως εἴτε ὑπὸ σοῦ ποτὲ παρευδοκιμούμενος, εἴτε ὑπό του τῶν ἔναγχος ἐπὶ τῷ ἐπιχειρήματι τούτῳ γνωρίμων οὐκ ἂν ἀμαθίαν ὄφλοιμι, οὕτω τοι καὶ σὺ κινδυνεύεις που τῶν σεμνολόγων ἀκούειν εἶναι καὶ μικρόν τι πρὸς, εἰ μὴ δι᾽ ἔτους τρίτου δεῖγμά τι καὶ γνώρισμα ἐκδιδοίης παιδεύσεως οὐ τῆς τυχούσης. τοῦτο γὰρ ποιεῖν ἐπίδοξος εἶ, ἐκδοθέντος οὐκ οἶδ᾽ ὅπως τοῦ λόγου ἀνὰ πᾶσαν τὴν πόλιν τὴν ἡμετέραν. ἄλλως τε καὶ διὰ στόματος ὢν τῇ πόλει ἐπὶ τῇ ἀποδημίᾳ τεθρυλλημένῃ καὶ μεγίστῃ περὶ σοῦ ἐλπίδι οὐκ οἶδ᾽ ὅπως ἐγηγερμένῃ, κατανοεῖς γοῦν οἶδ᾽ ὅτι οὐ καλῶς οὐδ᾽ εὐδοκίμως ἂν ἀπαλλάξας τῆς τῶν ἡμετέρων περὶ σοῦ ὑπολήψεως, μὴ οὐχὶ αὐτὸς ἀττικουργές τι φιλοπόνημα εἰς τὸ κοινὸν κριτήριον οὐκ εἰς μακρὰν παριστῶν.

familiarés ac conſanguineos, vt ego à Græcarum literarū ſtudio ceſſarē enitentes, nulláne in re mihi obuios ac me remoratos fuiſſe putas? cùm crebris ſermonibus vſurparēt, me nihil amplius ab ipſarum notitia obtenturum, quandoquidem inter Gallos harum nullus vnquam futurus eſt ſermo. hoc proinde certamen prius quidem apud me & te vehemens erat: ad ſubſequentia verò animum mihi deflectenti ad eundem ſtatum propemodū redacta videri poſſunt. Ideóque ipſe aſſecutus ſum, quò ciuibus meis in quantulacunque Græcarū literarum ſcientia aliquis eſſe viderer, ita vt nullo pacto ſiue tandem à te ſuperatus, ſiue ab aliquo ex recentibus in hoc conatu inſignibus me ineptum nec inſcium exhibuerim, ſic & tu propè accedit vt audias, te iactatorem eſſe & parum quidpiam amplius, niſi poſt hoc triennium doctrinæ non ignobilis ſpecimen & indicium quoddam publicaueris. In opinione enim es id facere poſſe hac fama per vniuerſam noſtram ciuitatem haud noui quo pacto diuulgata. Quum præſertim in ore ſis huic ciuitati propter vulgò diſperſam peregrinationem, & ob eximiam de te expectationem me latet quo modo exurgentem, & excitatam. intelligis enim vt probè noui te non pulchrè nec ſpendidè liberari poſſe à noſtratium de te ſuſpicione, quin Attica facūdiæ elucubratū quoddam opus propediem communi iudicio exhibeas.

Atqui ego etiam hoc iam altero anno rei familiaris curis impeditus, quandiu tu fortunatus inſtanter, vt intellexi, hiſce literis operam dederis, ſed certè priſcas commentationes non ſecus atque vetera præſepia (vt eſt in prouerbio) & memorabile ſplendidúmque ſtudium repetam, cùm primùm dabitur occaſio, quatenus certè per commodum vitæ fortunæque ſucceſſum perpetuò mihi licebit domeſticis ſolicitudinibus & curis liberari, aut qualitercunque quidpiam ex his quæ ad hanc rationem ſpectant remittere. Pro meis porrò omnibus laboribus, & elapſis & ſubſequentibus, libenter admiſerim me ipſum domũ non deſerendo haud minorem nominis celebritatem adeptum eſſe his qui procul à patriis laribus migrarunt, quíque hoſpitio excepti ſunt à Græcorum celeberrimis, & qui ciuitates hominum frequẽtia inſignes luſtrarunt, quas meritò inſtructas eſſe præſertim ad politiores literas nouiſſent. Atque haſce ingenuas artes altiùs quidem & à principio quantum in me maximè ſitum fuit expoliens ſeu repugnante ſeu fauente fortuna, aduerſus neminem decus quæſiui, cùm nimirum tunc non eſſet apud nos hoc certamẽ litigioſum: deinceps mihi cenſeo ſumma cum æmulatione decertandũ eſſe, tanquam certè iam vobis tot ac tantis quidem viris ſim opponendus, qui mihi repente viſi eſtis multùm nunc plauſibilis certaminis æmuli eſſe.

ἔγωγέ τοι καὶ ταῖς κατ᾽ οἰκονομίαν φροντίσιν ἀπησχολημένος τοῦτ᾽ ἔτος ἤδη δεύτερον, ἐν ὅσῳ σὺ ὁ εὐτυχὴς προσεσχημένως ὡς ᾐσθόμην, τῶν γραμμάτων τούτων μεταπεποίησαι, ὅμως μέντοι ἐπὶ τὰς πάλαι φροντίδας καθαπερεὶ εἰς τὰς παλαιὰς φάτνας, τὸ λεγόμενον, καὶ τὴν ἀγλαὴν σπουδὴν ἐπανήξειμι. ἐπὴν πρῶτον ἐγχωρήσῃ, καθόσον γε δὴ ἀπὸ τῆς εὐημερίας καὶ τύχης ἐς ἀεὶ ἀφέσθαι μοι ἐξέσται τῶν οἴκοι ἐπιστάσεων, ἢ ὁπηδήποτέ τι ἀνεῖναι τῶν ἐπὶ τὸν λόγον τοῦτον ἐπιβαλλόντων. ἀντὶ πάντων γε μὴν τῶν πόνων ἐμῶν, τῶν τε οἰχομένων καὶ τῶν εἰσαῦθις, δεξαίμην ἂν ἄσμενος, οὐκ ἐλάττω που δόξαν οἰκουρῶν αὐτὸς εὑρέσθαι, τῶν ἀπὸ τῆς πατρίδος ἀποδημησάντων, καὶ τοῖς ὀνομαστοτάτοις τῶν ἑλλήνων ἐπιξενωμένων, ἐνδόξους τε πόλεις διελθόντων, ἃς ἂν οἰκείως ἔχειν μάλιστα πρὸς τὰ μαθήματα εἰδῶσι. τὰ μὲν δὴ ἀμφὶ τοὺς λόγους τουτουσί, ἄνωθεν μὲν ἄρα διαπονούμενος, ὡς οἷόν τε μάλιστα, ἄντ᾽ ἀτυχῶν, ἄντ᾽ ἐπιτυχῶν, φιλοτιμησάμενος δὲ πρὸς οὐδένα, οὐκ ὄντος δήπουθεν ἐφαμίλλου τοῦ ἀγῶνος τουδὶ τηνικαῦτα παρ᾽ ἡμῖν, τἀπὸ τούτου ὑπερφιλοτίμως διαγωνίσασθαι δοκῶ μοι, ὡς δὴ ἀντεξετασθησόμενος ἤδη πρὸς ὑμᾶς τοσούτους ἢ τηλικούτους γε ἄνδρας, ἐναμίλλους δὴ ἐξαίφνης μοι φανέντας πολυκρότου νῦν ἀγῶνος.

καὶ μὴν καὶ ἔγωγε τοσαύτην σπουδὴν ἐνθυμούμενος σοῦ τε καὶ τινῶν ἄλλων τῶν ἐνταῦθα ἑλληνιζόντων, ὀλίγου δέω ἡγεῖσθαι αὐτὸς ἐπ' ἐμαυτοῦ λογιζόμενος, ὡς ἄρα ποτὲ κατ' ἐμοῦ συγκρότημά τι συστάντες πεποίησθε, ἁμιλλώμενοί μοι δῆθεν περὶ τῆς ὁποσησδήποτε δόξης. μὴ γὰρ δὴ βασκαίνοντές μοι καλλίστης προαιρέσεως. τάχα τοίνυν σὺ ταύτην τὴν ἅμιλλαν αὐτὸς κατὰ σαυτὸν μεμελέτηκας, περιττῇ γε τῇ φύσει σου πεποιθὼς, καὶ τῷ ὑπερβάλλοντι τῆς σπουδῆς. ἅμα δὲ καὶ τῇ τῶν αὐτόθι διδαξόντων ῥᾳδιουργίᾳ ὧνπερ σὺ ὁσημέραι ἀκροώμενός τε καὶ κατὰ γνώμην αὐτοῖς ἐντυγχάνων, τί οὐκ ἂν κατορθώσαις. ὡς μὲν οὖν ἐγὼ τὰ καθ' ὑμᾶς συνιεὶς καὶ λογιζόμενος, ἑστήξειν ὅμως ὀρθῶς καὶ βεβαίως πέπεισμαι ἀνταγωνιζομένων ὑμῶν, οὐκ ἂν εἴποιμι. οὐ γάρ τοι τοῦτό γε πρὸς ἀνδρός ἐστιν ἑαυτὸν ἐγνωκότος. ὡς δὲ προθύμως ὁμόσε χωρήσω ἐπιχειροῦσιν ὑμῖν οὐδὲν οὐδ' ἀθυμήσας οὐδ' ἀποκαμὼν, οὐδὲ δὴ παραιτούμενος ἄχρι τοῦ περὶ τῶν ἐσχάτων ἀποπειρᾶσθαι, εἰπεῖν οὐκ ἂν εὐλαβοίμην. τῶν δὲ δὴ κρατίστων ἴσως καὶ ἐπιεικῶν ἔργον ἔσται ἀνθρώπων, ὑπενδοῦναί τι καὶ ὑφεῖσθαι πάντως θανατῶντί μοι, εἴγε μέλλω τῆς τάξεως ἀποστερηθήσεσθαι, ἣν πρὸ ὑμῶν ἐτάχθην,

debeo,in quem ante vos adoptatus fui,

Quinetiam tantam equidem tuã, quorundámque aliorum, qui hîc literis Græcis nauant operam, ſedulitatem animaduertens, parum abeſt, quin ipſe opiner apud me coniectans, quod tandem effecti eſtis veluti contra me conſpirationem,quandámque vnanimen aggreſſionẽ adſtruentes, mecũ vt pote de quãtacunque gloria certatim contendentes:dij meliora quàm vt mihi ob pulcherrimum inſtitutum inuidioſè indignemini. Hanc igitur fortaſſis contentionem tu ipſe pro facultate tua meditatus es,ſingulari quidem eximióque tuo fretus ingenio, ac ſtudiorum abundãtia excellentiáque, & præterea illic docentium facilitate, quorum tu ſingulis diebus auditor es, cúmque ex animi tui ſentẽtia cum ipſis frequens verſeris, cuiúſnam negotij non compos euades? Quòd vtique res veſtras animaduertens probéque examinans, tamen perſuaſum habeam me conſtanti animo permanſurum, vobis ſcitè acritérque reluctantibus, haud dixerim ego. Non enim iſtud decorum eſt viro ſeipſum cognoſcenti. Sed quòd alacriter obuiam iturus ſim vobis me adorientibus inuadentibúſque, nulla in re animum deſpondens neque defatigatus, nec certè renuens donec etiam in extremis periculum faciam, dicere non verer. Porrò autem præſtantiſſimorũ fortaſſis & manſuetorum virorum opus fuerit, quidpiam condonare, viréſque ſubmittere mihi omnibus modis mortem optanti,ſi meo gradu ac ordine orbari ſpoliaríque

multis quidem adſtipulantibus,cõpluſculis verò eorum qui ſunt cum auctoritate & imperio,confirmantibus.Nec ſanè rurſus veritati quicquam denegauerim. Namſi mihi concedatis pariter ac vobis in poſterum incrementum facere proficeréque:(Iam enim abſque doctore puto me rerum difficilium compotem euaſurum) Atque ſemper poſt hac perſeueraturum tanto me ipſo potentiorem fieri, quanto vos ſingulis diebus præſtantiores vobiſmetipſis euaſeritis, in animum meum inducam ea quæ ſpectant ad hanc induſtriam egregiè mihi & fortunatè ſucceſſura. Atqui nemo veſtrûm dixerit, me minimè pari quidem vſurum animi propenſione,paulatim quoque perinde ac vos incrementum ſuſcepturum. Cùm ergo vos ætate præuenerim, nemini ſtudiorum amore inferior atque ſecundus, à nullo veſtrûm quãdiu viuam ſuperabor, etiamſi mihi ſuperſtites fueritis. id enim eſto quantum ad me attinet: longiùs ſanè exiſtimatione doctrináque progreſſi ſitis. Atque iſta quidem certè hunc in modum ludibrio habeantur. pro more namque habemus ad amicos ſcribentes huiuſmodi rebus iocoſis capere voluptatem:Nec te velim nec quépiã ex his qui in eas incident, interlegedum iſtas excipere ac interpretari, tanquam à me ſummo ſtudio obſeruatas & elaboratas. Quo pacto enim in his (inquam) rebus ſerium ſtudium adhibuiſſem:quippe qui & coniuge & pueris me moleſtia afficientibus ac obturbãtibus, domeſticíſque ſolicitudinibus

τῶν πολλῶν μὲν ψηφισαμένων, ἐπιψηφισαμένων δὲ οὐκ ὀλίγων τῶν ἐν ἀξιώματι. οὔτε μὴν αὖ πάλιν τἀληθὲς οὐκ ἂν φαίην. ἢν γὰρ δῶτέ μοι παρίσως ὑμῖν ἐπιδοῦναι ἂν τὸ ἐπὶ τούτῳ (ἤδη γὰρ καὶ ἄνευ παιδεύοντος οἴομαι κεκτῆσθαι τῶν χαλεπῶν) καὶ τοσούτῳ ἐμοῦ κρείττονα γιγνόμενον εἰς τὸ ἐπιὸν ἀεὶ διατελεῖν, ὅσῳ περ ἂν ὑμεῖς καθημέραν κρείττους ὑμῶν αὐτῶν γίνησθε, καλῶς μοι καὶ ἐπιτυχῶς ἡγήσομαι τὰ κατὰ τὴν ἐπιτήδευσιν τήνδε φέρεσθαι. ὑμῶν τοίνυν οὐδ' ἂν εἷς φαίη γε ὡς οὐ μὴ ἐγὼ οὐδ' ὁμοίᾳ προθυμίᾳ χρησάμενος, καὶ δὴ ὁμοίως ὑμῖν αὐξήσεσθαι ἐκ προσαγωγῆς. προτερήσας ἄρα τῇ ἡλικίᾳ ὑμῶν, οὐδενὸς δὲ φιλοπονίᾳ ὕστερος ὤν, οὐκ ἔστιν ὅτου ὑμῶν ζῶν γ' ἀπολείψομαι, κἂν ἐμοὶ ἐπιβιῶντες. ἔστω γὰρ τοῦτο ἐμοῦ γε ἕνεκα, πορρωτέρω που τῆς φήμης τε καὶ παιδείας προβεβηκότες τύχητε. καὶ ταῦτα μὲν δὴ τοῦτον πεπαίχθω τὸν τρόπον· χαίρειν γὰρ εἰώθαμεν ἐπιστέλλοντες πρὸς φίλους τοιουτοισὶ πανηγυριώδεσιν. οὐδ' ἂν σε βουλοίμην οὔτε τινὰ τῶν ἐντευξομένων, ταῦτ' ἐκλαβεῖν ἀναγνόντα ὡς ἐμοὶ ἐσπουδασμένα. πῶς γὰρ ἂν ταῦτα σπουδαιολογησαίμην, ὅς γε τῆς τε συνοικούσης καὶ τῶν παίδων παρενοχλούντων, οἰκείων τε φροντίδων

ἐπαλλήλως προσεπιφυομένων, οὐχ ἕξειν οἶμαι εἰς τὸ ὕστερον ὅπως πῆ μὲν τῇ περὶ τοὺς λόγους σπουδῇ, πῆ δὲ τῇ περὶ τούτους δυνάμει τε ἡδονῇ τε χρήσομαι. οὐδὲ δὴ ἔστι κατ' ἐμέ, οὐδ' εἰ σχολὴν ἄγοιμι, τοιούτοις ἀνταγωνισταῖς ἶσα βαίνειν, τοῖς τῶν ἄκρων καὶ δυσεφίκτων μαθημάτων νεανικῶς ἀντεχομένοις. ἄλλως τε μὴ γένοιτό μοι μηδ' ὅστις ἐμοὶ φίλος, ἐν τῇ ἐνδεικτικῇ ταύτῃ τῶν λόγων ἀσκήσει, καὶ ἐν τοῖς τῆς γνησίας φιλολογίας προπαιδεύμασι τελέως παρακμάσαι, μὴ ὅτι γε ἐναποθανεῖν. οἶσθα γὰρ οἶμαι ἐμοῦ ἀκούσας, ὡς εἴποτέ μοι ἐκγένηται τὰ περὶ ἐμὲ κατὰ νοῦν εὖ τίθεσθαι, πρὸ πάντων ἂν ἀξιωσαίμην τοῖς ἱεροῖς λόγοις ἐξεῖναί μοι ἐμφιλοσοφεῖν, καὶ τῶν ἄλλων μεθίεσθαι τῶν εἰς τὰ ἐπίγεια καθηκόντων. σὺ δέ, ὦ φίλε, τῆς φιλοπονίας τῆς ἐπιτηδευθείσης, τῆς τε ἐπιδόσεως τῆς εὐχωρούσης ὄναιο. καὶ γάρ τοι εἰ μηδὲν ἄλλο, τοῦτο γοῦν ἔγωγε ἀπολελαυκέναι δόξω τῆς ἄγαν διαπονήσεως, ὅτι τοῖς ἑλληνικοῖς σταθερῶς ἐμφιλοπονῶν, ὑμῶν τῶν εἰς κλέος φερομένων ὁρμὴν τοιαύτην ἐξανέστησα, διατειναμένων δῆθεν πρὸς τὸ παρακολουθεῖν ἐμοί, τοσοῦτόν γέ τοι προκεχωρηκότι, ὅσον δή τις τῶν εὖ πρὸς ταῦτα πεφυκότων, οὐδ' ἀπνευστὶ οὐδ' ἀνιδρωτὶ ἐφίκοιτ' ἄν,

alternis vicibus inſuper exorientibus, haud me poſtea aſſecuturum puto quemadmodum partim quidem ſtudio quod eſt in diſciplinis humanioribus, partim verò facultate & lætitia circa eas verſante fruar. Nec profectò eſt è viribus meis, (neque ſi otioſus eſſem) cum talibus hoſtibus & æmulis æquali gradu incedere, acriter & elatè ſingularibus captúq. arduis diſciplinis adhæreſcentibus. Alioqui ne mihi eueniat, nec cuipia mecũ amicitiæ vinculo iuncto in hac quæ oſtentatione ſcatet literarum exercitatione, atque in his minimè fucati literarum amoris preuiis inſtitutionibus ingeniorúmque præparationibus vt omnino conſeneſcam, nedum immoriar. Noſti enim credo, vt à me accepiſti, quod ſi aliquando mihi daretur vt mea negotia ex animi ſentẽtia cócinnè digererentur atque componerẽtur, ante omnia dignum eſſe pronunciarem in diuina auguſtáque doctrina fas mihi eſſe operam ſtudiúmque collocare, & alia prætermittere ad res terreſtres ſpectantia. Tu porrò (ô mi amice) induſtria, cui operam dediſti, progreſſúque feliciter procedente vtinam fruaris. Atque ideò ſi nihil aliud, iſtud ſubinde equidẽ ob immodicum laborem adeptus eſſe videbor, quia Græcis literis cóſtanter operam nauans, huiuſmodi veſtrum appetitum, cùm ad nominis ſplendorem tendatis, excitaui, vtpote qui neruos intenditis quò me concomitemini, adeò quidem certè progreſſum, quantũ ſanè quiſpiam ex his qui bonis auibus ad ipſas literas Græcas naturâ ſunt comparati, & abſque reſpiratione & citra ſudorem attigerit,

nec vtcunque ſors obtulerit ipſas contentioſè ſtudioſéque ęmulatus. Cæterùm admiratione ducor quid tandem eſt quòd nil penitus memineris Iani Laſcaris, qui cùm olim mihi beneuolus perfamiliaríſque eſſet, haud compertum habeo quî fas nunc eum appellare. Iſtud nāque haud magnopere deprehendi ex his quæ ipſe reſcripſit ad ea quæ à me literis ſignificata fuerāt. Is tamen per me ſtudioſè ſalutetur. Etenim accepi à Barma nūc in ampliſſima curia præſule, hunc (pro viribus) tibi omnibúſque Gallis gratificari ſolere. Porrò in meum fauorem ſalutentur amicorum præceptorúmque tuorum excellentiſſimi gratiſſimíque. Nimirum artibus ingenuis immodicè deuotus equidē in ſapientum mitiſſimos & æquiſſimos beneuolè ſum affectus. à quibus redamari plurimi ducerē. Atqui vel complures inſignes viros alloquutus, vel litetis cum illis agēs, mihi perſuadeo omnium fauorem emeruiſſe. Quem certè res meas enumerans, in primis ac pretioſiſſimis meis facultatibus colloco. Ruſæus communis eximiorum hominum egregiorúmque amicus te per me ſalutat: inſuper & Deloïnus, hic quamuis tibi ſuccenſeat, cùm certè literas ad te dederit, ac minimè à te viciſſim acceperit. Vale, Octobris decimoquinto die.

οὐδ᾽ ὡς ἂν τύχῃ φιλοτιμησάμενος. ἀτὰρ οὕτω θαυμάζω ὅτι ποτ᾽ ἐστὶν ὡς οὐδὲν ὅλως μέμνησαι Ἰανοῦ τοῦ Λασκάρεως, ὃν πάλαι ποτὲ προσφιλῆ μοι ὑπάρχοντα, οὐκ οἶδ᾽ ὅτι νῦν χρὴ καλεῖν. τοῦτο γὰρ οὐχ ἱκανῶς κατανενόηκα ἐξ ὧν αὐτὸς ἀντέγραψε τοῖς ὑπ᾽ ἐμοῦ ἐπισταλεῖσιν. ὅμως δ᾽ οὖν οὗτος προσρηθήτω παρ᾽ ἐμοῦ ἐπιμελῶς. ἤκουσα γὰρ τοῦ Βαρμᾶ τοῦ νῦν προεδρεύοντος τῆς πάνυ βουλῆς, σοί τε καὶ πᾶσι τοῖς κελτοῖς χαρίζεσθαι, τοῦτον φιλεῖν ὡς ἔχει δυνάμεως. προσρηθήτων δέ μοι καὶ οἱ χαριέστατοι τῶν σῶν φίλων καὶ καθηγησαμένων σου. ἀμέλει παιδείᾳ προσαποπονθὼς ἔγωγε πρὸς τοὺς εὐγνωμονεστάτους δὴ τῶν σοφῶν εὐνοϊκῶς διάκειμαι. ὑφ᾽ ὧν ἀντιφιλεῖσθαι περὶ πολλοῦ ποιοίμην ἄν. καί τι οὐκ ὀλίγοις τῶν ἐνδόξων ἤτοι διὰ λόγων ἐντυχὼν ἢ διὰ γραμμάτων προσσυνενεγμένος, χάριν ἐνέχεσθαι πείθω με παρὰ πάντων. ἣν δὴ τὰ ἐμὰ καταλεγόμενος, ἐν τοῖς πρώτοις καὶ ἐντιμοτάτοις τῶν κτημάτων τίθεμαι τῶν ἐμαυτοῦ. Ρουζαῖος ὁ κοινὸς τῶν καλῶν κἀγαθῶν φίλος, προσαγορεύει σε δι᾽ ἐμοῦ. ἔτι δὲ καὶ Δηλοΐνος, εἰ καὶ οὗτος ἄχθεταί σοι, δεδωκώς γε πρός σε γράμματα, καὶ μὴ ἀντιλαβὼν παρά σου. Ἔρρωσο, Πυανεψιῶνος πέμπτῃ ἐπὶ δέκα.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ ΓΟΥλιέλμῳ τῷ Μαίνῳ εὖ πράττειν.

Χθὲς μὲν ἀπολαβὼν τὴν ἐπιστολὴν τὴν σὴν ἐχάρην. ἀναγνοὺς δὲ, ἀπεδεξάμην τὴν εὐμάθειαν τὴν περὶ τὰ ἑλληνικὰ, ἐν εἷς περ ἔγωγε προβιβάσαι τὴν εὐφυΐαν σου γλίχομαι. ἠχθέσθην μέντοι ὅτι οὐκ ἐξήρκει μοι σχολὴ εἰς τὸ ἀντεπιστέλλειν σοί τε καὶ ἄλλοις γράψασί μοι. ἐν μεγάλῃ δὲ ὅμως ἀσχολίᾳ, καὶ τῶν ἐμῶν σκευῶν συνθέσει θορυβούμενος δεῖ, τὸ γοῦν ἐπελθὸν ὡρμήθην ὁπωσδήποτ' οὖν γράψαι, ἐπειδὴ ἐπιστολῆς τινὸς καὶ ὁποιασοῦν παρ' ἐμοῦ λίαν ἐδόκεις ἐφίεσθαι, ἵνα γε μὴ ὀλιγώρως ἔχειν τῶν οἰκείων δοκοίην ἀποδημῶν. τηλικαύτῃ γε μὴν στενοχωρίᾳ κατειλῆφθαί μοι τοῦτο διανοουμένῳ συνέβη, ὥστε τῶν γραμμάτων φάκελλον δεξάμενος ἤδη μέλλων ἀποκοιμήσεσθαι, ὑπὸ ῥεύματός τε ὀφθαλμιῶν, μόλις ἀποσημηνάμενος τὰ γράμματα, καὶ διελθὼν μεταξὺ νυστάζων, κατεκλίθην εὐθύς. τῇ δὲ ὑστεραίᾳ πρῲ ἐγερθεὶς τοῦ τε λέκτρου ἐκθορὼν καὶ ἐπιμελῶς τὸ ἱμάτιον ἠμφιεσμένος, ἐνόσῳ γράφειν ἐπιβάλλομαι, ἰδοὺ δὴ ἐξιτητέον εἶναι τῆς πόλεως τῆσδε αὐτίκα δὴ μάλα ἤκουσα. τυχόντι παραχρῆμα ταῦτά γε μεταξὺ συσκευαζόμενος τὰ ἐμὰ, ἔγραψα. ὅπως οὖν

GVLIELMVS BVDÆVS GVLIELMO MAINO Salutem.

NVper quidem tuas cùm accepiſſem literas, oblectatus ſum. his autem à me perlectis, tuam in diſcendo literas Græcas facilitatem admiſi, in quibus ingenij tui præſtantiam incitare ac promouere equidem ſtudioſè appeto. Quanquam indignè tuli eò quòd mihi otium haud ſuppetierit, vt tibi atque aliis qui epiſtolas ad me dederant literis ſatis facerem. In magno attamen impedimento, meorúmque ſuppellectiliũ turbulenta cõpoſitione, quod ſubinde venit in mentem incitatus fui quocunque modo literis prodere, quandoquidem à me quãdam etiam qualemcunque epiſtolam apprimè videbaris appetere, ne abſens meos familiares neglectui habere viderer. Iſtud porrò animaduertenti mihi euenit tanta occupari anxietate, vt accepto literarũ faſciculo, cũ mox deberem ſomnum capere, propter fluxum ac diſtilationem oculorúmque ægritudinem, vix tandẽ literas reſignans, & inter dormitãdum percurrens, continuò cubitum iui. Poſtridie autem ante lucem expergefactus & è lecto repentè diſcedens ac ſedulò togam veſtitus, dum incepto ſcribere, ecce iam exeundum eſſe quamprimũ ex hac vrbe reſciui. Ergo iſta quidem repentè literis mandaui interim dum res meas in ſarcinas componerem. Tu quidẽ quouis modo

epiſtolium id exquiſitæ epiſtolæ loco admittes, magnitudinémque iuſtam ac legitimam habentis. literas darẽ ad meum tuúmque Draconem, ſi vt dixi, in otio eſſem. Quem maximè inter tuos diſcipulos cuperem tibi curæ eſſe ob animi generoſitatem. ſed operæpretium eſt modum obſeruare in ipſius educatione, ſic vt neque patiaris tempus iuuentutis ingenio pollentis euaneſcere, nec moleſtè nec ſæuè illius naturæ imbecillitatem infirmitatémque ſolicites: verùm permitte quidpiam ipſi, & curam reſpectúmque valetudinis habe. Alternatim itaque animum relaxent pueri ac per vrbem deambulent, quò & corpore vigeant viciſſim, itémque diſcant homines conuenire & alloqui. Vale tu, valeant porrò & ipſi. Lugduni, mẽſis Aprilis decimo ſexto die.

τὸ ἐπιστόλιον τουτὶ ἀντὶ ἀκριβοῦς ἐπιστολῆς δέξῃ σύγε, καὶ γνήσιόν τε ἐχούσης τὸ μέγεθος καὶ δίκαιον. ἐπέστελλον δ' ἂν τῷ Δράκοντι τῷ ἐμῷ τε καὶ σῷ, εἰ σχολὴν, ὡς ἔφην, ἦγον. ὃν μάλιστα τῶν μαθητῶν βουλοίμην ἂν εἶναι σοι ἐπιμελῆ διὰ τὴν εὐφυΐαν. δεῖ δὲ τῶν μετρίων ἔχεσθαι ἐν τῇ ἀγωγῇ αὐτοῦ, ὡς μήτι οἴχεσθαι τὸν καιρὸν τῆς ἡλικίας ἐᾶν τῆς εὐμαθοῦς, μήτε ἐπαχθῶς τε καὶ δυσπεπτικῶς κατεπείγειν τὸ ἀσθενὲς τῆς φύσεως. ἀλλ' ἐνδοῦναί τι αὐτῷ, καὶ λόγον τῆς ὑγείας ἔχειν. παιζόντων οὖν ἀμοιβαδὸν οἱ παῖδες καὶ δι' ἄστεος περιπατούντων, ὥστε τε σῶμα ῥωσθῶσι τῇ ἀμοιβῇ, καὶ ἅμα ἐντυγχάνειν τοῖς ἀνθρώποις μάθωσιν. ἔρρωσο σὺ, ἐρρώσθων δὲ καὶ αὐτοί. ἐν Λουγδούνῳ, Ἀπριλίου μηνὸς ἕκτῃ καὶ δεκάτῃ ἡμέρᾳ.

BVDÆVS MAINO BENE AGERE.

EPiſtolas ſcribens ex viciſſitudinéque percenſens, conuerſationis quæ hîc eſt tædium acerbitatémque leuare & conſolari poſſem, ſi tabellariis literas dans perferendas, alternis vicibus iiſdem regredientibus ipſe tot ſimiléſque acciperem. Nunc autem tantopere me auidum præbeo intelligendi quidpiam de familiaribus & propinquis, ita vt copioſas literas cùm ſcripſerim, haud ſcio quo pacto

ΒΟΥΔΑΙΟΣ ΜΑΙΝΩ εὖ πράττειν.

Ἐπιστολὰς ἐπιστέλλων ἐξ ἀμοιβῆς καὶ ἀναγινώσκων, τὴν ἀηδίαν παραμυθήσασθαι ἐδυνάμην ἂν τῆς ἐνταῦθα διατριβῆς, εἴγε τοῖς γραμματηφόροις γράμματα ἐπιδιδοὺς, ἐν μέρει λάβοιμι αὖθις καὶ ἴσα καὶ τοσαῦτα αὐτόθεν ἐπανιόντων, νῦν δὲ οὕτως ἐπιθυμητικῶς ἔχω τοῦ ἀκοῦσαι τὰ περὶ τοὺς οἰκείους καὶ προσήκοντας, ὥστε συχνὰ γράμματα γράψας, οὐκ οἶδ' ὅπως

μοι δοκῶ σπάνια ἀντικομίσασθαι, καὶ ἐνίοτε ἄχθομαι ὥσπερεὶ ὑπὸ τῶν φίλων τῆς ἀμοιβῆς ἐστερημένος, καὶ τῶν ἴσων οὐ τυχών. ὅμως μέντοι τρίτην τήνδε τὴν ἡμέραν ἐδεξάμην γράμματα παρά τε σοῦ καὶ τῆς συνοικούσης μου καὶ ἄλλων τινῶν φίλων, δευτέρᾳ ἱσταμένου τοῦ μηνὸς τούτου γεγραμμένα. ταῦτα δὲ δείλης ὀψίας λαβών, μέλλων ἐπὶ δεῖπνον ἀνακλίνεσθαι παρά τῳ τῶν ἐπιφανῶν, ἀνεβαλόμην τὴν ἀνάγνωσιν αὐτῶν. μετὰ δὲ τὸ δεῖπνον μεθιστάμενος, καὶ γεγηθότως ἀναγνούς, εἶτ' ἀπιὼν οἴκαδε καὶ ταχυγραφήσας, τὴν δεσμὴν τῶν γραμμάτων βαθείας ἤδη νυκτὸς τῷ δρομεῖ ἀντεπέδωκα παραυτίκα οἰχησομένῳ, ἀλλ' ἅτε σπουδῆς ἔχων δήπου μὴ ἡττᾶσθαι δοκεῖν τῆς ἐπιμελείας ὑμῶν. περὶ μὲν οὖν τοῦ Ἐράσμου ἀνδρὸς ἐμοὶ ἠγαπημένου ἥσθην ἀναγνοὺς ὃ ὑπὸ σοῦ διηγγελμένον, ὡς ἄρα αὖθις τῷ Φάβρῳ ἀνδρὶ ἀξιεράστῳ πάλιν ἐφιλιώθη. ὅτι δὲ τὴν ἐπιστροφήν σου τὴν ἀμφὶ τοὺς παῖδας τοὺς ἐμούς, τηλικαύτην μοι καὶ τοιαύτην κατεπήγγελσαι, οἵαν καὶ τὴν ἐμὴν ὑπερβάλλεσθαι προσδοκίαν τε καὶ ἀξίωσιν, τοῦτο δὴ ὑπερήσθην. ἵνα κρίνῃς βέλτιον τὴν διάνοιάν μου συνίδῃς, ἀναγνωστέον σοι καὶ τὰ πρὸς Δράκωνα γράμματα ἐν τῷδε τῷ φακελλίῳ συνδεδεμένα. δεῖ γάρ σοι εἰς τοῦτο οὐ μιᾶς τι καὶ ἁπλῆς φροντίδος καὶ προστασίας, ὁπότε πρὸς τῇ εὐμαθίᾳ τῶν παίδων,

mihi videor raras recepiſſe, & aliquoties grauiter fero tanquam à meis neceſſariis mutua penſatione fraudatus, & æquales nō aſſecutus. Attamē literas abhinc tribus dieb. & à te & ab vxore mea nonnulliſque aliis meis amicis accepi, ſecundo huius ineuntis menſis die ſcriptas. Eas autem veſpertino crepuſculo recepi, cū deberem cœnæ intereſſe apud quendam præclarum & inſignem hominem, ipſarum lectionem prorogaui. A cœna autem digrediens, eáſque alacriter legens, poſtea domum reuerſus ac ſedulò ſcribens, literarum manipulum multa iam nocte curſori mox profecturo reddidi, nimirum dans operam ne vinci à veſtra ſolicitudine vigilãtiáque apparerem. Porrò delectationem capio agnoſcens id quod à te de Eraſmo viro mihi dilecto literis ſignificatū eſt, quòd certè ipſe Fabro viro amari digno rurſum in concordiam ſit reſtitutus. ſed quia tuã circa liberos meos curam ſolicitudinémque tantam mihi ac talem effuſè promiſeris, talem (inquam) vt meam etiam expectationem atque petitionem excedat, huius certè rei gratia mirificè lætatus ſum: vt autem meam meliùs ſententiam perſpicias, legendæ tibi ſunt etiam literæ ad Dracone miſſæ in eodem faſciculo collectæ. Tibi enim opus eſt ad id non vnica ſimplicique cura & auctoritate, quum vltra docilitatem puerorū,

inſuper opus ſit graui ingenuáque eorundam inſtitutione. Quæ quidem ſi tu ipſis abſoluta præſtiteris, rem planè gratam mihi feceris. Vale, Monſpeſſulani, decimo die ineuntis menſis Scirrhophorionis, quem Maïum vocitant Romani.

BVDÆVS MAINO.

CVm iam præuenerim bis ad te ex aduerſo literas dare earum vice quas tu ad me miſiſti, nunc etiam tertio ego ipſe ad te ſcribendum cenſui: vt appaream te hac amœna mihi compenſatione me prouocantem ſatis ſupérque remuneraſſe. Iſtud porrò animaduertens, nihil autem rerum quidem egregiarum ſpendidarúmque in promptu habens quod ſcriberem, haud indecẽs iſtud arbitratus ſum, quod in mentem venit literis mãdare: Ergo cuiuſcunque rei compos fuero improuidè inconſideratéque agens, eam quidem pro literarum argumento exhibere viſum eſt mihi præſertim apud te virum me vt ſcriberem exorantem, nempe vt tuam incitarem affectionem, vergentem ad linguam, vt conſtat, Græcam. Ideóque certum eſt mihi, (ſi aliquando diuino inſtinctu domum rediero, mihi autem facultas adſit ceſſandi ab iſtis obturbantibus negotiis, cum noſtro bonarum artium ſtudio nulla in re conuenientibus, quod certè eadẽ ſibi ipſi imponi patitur acerbè) continuò quidem ad literas animũ reuocare,

προσδεῖ καὶ σεμνῆς καὶ γενναίας αὐτῶν ἀγωγῆς. ἅπερ εἰ αὖθις ἀποτελεσθέντα σύ γε παράσχοις, κεχαρισμένον τῷ ὄντι πρᾶγμα ἔσῃ μοι πεποιηκώς. ἔρρωσο, ἐν Μονσπεσουλάνῳ, δεκάτῃ ἱσταμένου τοῦ σκιρροφοριῶνος, ὃν μάϊον καλοῦσιν οἱ Ῥωμαῖοι.

ΒΟΥΔΑΙΟΣ ΜΑΙΝΩ.

ΔΙΣ ἤδη ἀντεπιστεῖλαί σοι φθάσας ἀνθ' ὧν ἐμοὶ σὺ ἐπέσταλκας, καὶ τρίτον νῦν αὖθις γράψαι σοι διέγνωκα. ἵν', ὑπεραποχρώντως ἀμείψασθαί σε δοκῶ τὸν προκαλεσάμενον ἐμὲ τῇδε τῇ ἡδείᾳ μοι ἀμοιβῇ. τοῦτον δὲ διανοηθεὶς, ἔχων δὲ μηδὲν πρόχειρον ὅτι γράψαιμι, τῶν γε δὴ σπουδαίων καὶ ἀξιολόγων πραγμάτων, οὐκ ἀπρεπὲς οὐδὲ τοῦτο ἡγησάμην, ὃ παριστάμενον γράψαι, ὅτου οὖν τύχοιμι αὐτοσχεδιάζων, τοῦτό τοι ὑπόθεσιν ποιήσασθαι γραμμάτων ἐδόκει μοι πρὸς ἄνδρα σε μάλιστα γράψαι με δεδεημένον, ἐφ' ᾧ παροξῦναί σου τὴν ὁρμὴν δῆθεν, τὴν ἐπὶ τὴν γλῶτταν, ὡς ἔοικε, τὴν ἑλλάδα φερομένην. δέδοκται τοίνυν ἐμοί, ἤν ποτε μὲν σὺν θεῷ οἴκαδε ἐπανέλθω, σχολὴν δὲ ἄγειν ἐξῇ μοι ἀπὸ τῶν παρενοχλούντων τουτωνὶ τῶν πραγμάτων, τῶν οὐδὲν καθηκόντων τῇ ἡμετέρᾳ φιλολογίᾳ, ἣ δὴ ταῦτα βαρύνεται ἑαυτῇ ἐπικείμενα, εὐθὺς μὲν ἀνακαλέσασθαι εἰς τὴν τῶν λόγων ἔννοιαν,

πολλῷ ἤδη χρόνῳ τῆς τάξεως ἀφεστηκότα τε καὶ ἀποπλανησάμενον. σοὶ δὲ τὰ τῆς παιδείας παραδιδόναι τῆς ἑλληνικῆς καθηγεμονικώτερόν τε καὶ τεχνολογικώτερον, ὅσων γε καὶ ἡμεῖς αὐτομαθῶς ἐφικόμεθα. ἀλλὰ γὰρ δείλαιος ἐγὼ πάλιν ὀῤῥωδῶ μὴ πράγματα ἐμοὶ ἡ νόσος ἐκείνη ἡ ἐπίτριπτος παράσχῃ, ἣ ἐμοὶ μὲν πόνους καὶ βασάνους πρόπαλαι ἐπιφέρουσα, τοῖς ἐμοῖς δὲ φιλτάτοις ἑαυτὴν ἐπιζήμιον παρασχομένη, ἔτι δὲ, καὶ πάντῃ τὸν οἶκόν μου δασὺ σκότος φέρουσα, καὶ ἀφαίρεσιν δὴ πολλὴν τοῦ ὀνόματος προσετρίψατο. ἀλλὰ μὴν τοῦτο ἡ μοῖρα μὲν εἰδείη, ἥ τήνδε μοι δυσχέρειαν τοῦ βίου βαρέως ἐπικλώσασα πολλῶν κακῶν οὖσαν πρόξενον. ἐμοὶ δὲ τὸν θυμὸν ἡ πρόνοια ἐπιῤῥωννύναι κατὰ τῆς τύχης δοίη, ἡ πάντα δυναμένη, πάσῃ τε τῆς ζωῆς ἐγκαρτερεῖν ταλαιπωρίᾳ εὐγνωμόνως τε καὶ εὐσταθῶς. σοὶ δὲ δὴ ἔστω ἐπιμελὲς ἐν τοῖς μάλιστα καὶ τοῦτο, ὅπως τὴν ἐμὴν παρακαταθήκην διαφυλάξῃ ἐγρηγορότως, ἣν παρ' ἐμοῦ ἀποδημοῦντος ἐπιτέτραψαι, τὰ τέκνα μου λέγω τὰ πιστευθέντα τῇ ἐπιστασίᾳ τῇ σῇ. *Vale ad Petram latam, qui vicus citra Auenionem. 10. calendas Maïas.*

ex multo iam tēpore à certo ratóque munere auerſum atquæ aberrantem: tibi porrò ea que ſpectāt ad Græcam eruditionem exactiori institutione artéque maiori prodere, quæ quidem & nos marte noſtro ſumus conſequuti. At enim miſer ego iterum trepido ne mihi negotia infeſtus ille morbus exhibeat: qui quidem mihi labores & cruciatus iampridem inferēs, quinetiam meis dilectiſſimis ſeipſum noxium præbens, ac toti meæ familiæ horridam afflictionem adducens, ingentem etiam meo nomini labefactationem inurat conciliétque. Enimuerò iſtud quidem ſors intelligat, quæ mihi moleſtè hanc vitæ incommoditatem cùm fatali neceſſitate conſtituerit frequentium incommodorum conciliatricem. mihi autem animum erectum habere aduerſus fortunæ inconſtantiam dei prouidentia largiatur, prouidentia inquam nihil non valēs, omnémque vitæ ærumnam candidè atque conſtanter vt tolerem. Tibi porrò curæ ſit in primis & iſtud, vt meum depoſitum cuſtodia teneas & obſerues vigilanter; quòd à me peregrè agente tibi commiſſum eſt, filios meos dico tuæ animaduerſioni inſpectioníque creditos. Vale ad Petram Latam, qui vicus citra Auenionem. 10. calendas Maïas.

BVDÆVS ERASMO BENE AGERE.

SVaue mihi admodum fuit tuas accepiſſe literas. iamdiu enim huius rei deſiderio detentus eram. Nec verò ipſæ literæ patefactæ mihi primùm quidem legenti vſqueadeò ſuaues fuerunt. Atqui eo die Chriſtophorus Longolius vir haud multo pòſt ex eorum numero futurus qui ob eruditionem, ſplendorem aſſequuntur, per villam meam tranſierat, cum quibuſdam certè vrbanis viris in Britanniam profecturus. hac lege tamen vt ſe tibi in congreſſum colloquiúmque daret, ac Louanium ciuitatem certè viſurus in ipſo itinere prout mihi aſſeuerabat. Ergo ſole ad occaſum vergẽte mihi circa ingenuas artes verſanti & occupato, meorũ domeſticorũ quiſpiam retulit, quẽdam adoleſcentem ante fores atrienſes eſſe equo inſidentem. Ac repentè mihi deſcendenti iuuenis ille obuius factus eſt ſuperuenítque, poſtquàm me ſalutauit literas ab Eraſmo, & à quodam alio ex meis familiaribus & amicis perferre dicens. hunc autem audiens, haud noui quo modo præ lętitia diſpoſitus erã, ſubinde percipiens cor proſiliens in præcordiis meis. Ideóque eas vbi recepiſſem patefeciſſémque, vt ſtatim Græcè ſonans primordium cognoui, ob rem ſanè inſuetam delectatus ſum, poſteà celeriter propter curam animíque contentionem pertractare commemoraréque exorſus, interea dum legerem,

ΒΟΥΔΑΙΟΣ ΕΡΑΣΜῼ εὖ πράττειν.

ἩΔΥ μοι πάνυ ἐγένετο τὰ γράμματά σου λαβεῖν. ἐτύγχανον γὰρ ἐκ πολλοῦ τούτου ἐφιέμενος. οὐ μὴν δὲ οὕτως ἡδέα μοι τὰ γράμματα αὐτὰ ἀνεῳγμένα τό γε πρῶτον ἀναγνόντι, γέγονε. ἐκείνῃ μὲν οὖν ἡμέρᾳ Χριστοφόρος ὁ Λογγόλιος ἀνὴρ οὐκ εἰς μακρὰν ὑπάρξων τῶν ἐπὶ παιδείᾳ εὐδοκιμούντων, διὰ τῆς ἀγροικίας τῆς ἐμῆς μεταβεβήκει, σὺν τισι δὴ χαρίεσιν ἀνδράσιν εἰς Βρεττανίαν ἰών. ἐπί γε μὴν τῷ συγγενέσθαι σοι, καὶ Λοβάνιον δὴ πόλιν ὀψόμενος ἐν τῇ ὁδοιπορείᾳ, ὥς γέ μοι ἔφασκε. περὶ δείλην οὖν ὀψίαν ἔχοντί μοι περὶ τὰ τῆς φιλολογίας, ἀπήγγελέ τις τῶν οἰκείων νεανίσκον τινὰ περὶ τὴν αὔλειον θύραν εἶναι ἵππῳ ἐποχούμενον. καὶ παραχρῆμα καταβαίνοντι μοι νεανίσκος οὗτος ἐπέστη, μετὰ δὲ τὸ προσειπεῖν ἐμέ, γράμματα ἀπὸ τοῦ Ἐράσμου κομίζειν φάμενος, καί τινος ἄλλου τῶν φίλων. τούτου τοίνυν ἀκροώμενος, οὐκ οἶδ᾽ ὅπως ὑπὸ χαρᾶς διεκείμην, μεταξὺ δὴ αἰσθανόμενος τῆς καρδίας ἀλλούσης ἀνὰ τὰς φρένας ἐμάς. κομισάμενος οὖν αὐτὰ καὶ ἀνοίξας, ὡς ἑλληνιστὶ φθεγγομένην εὐθὺς εἶδον τὴν ἀρχήν, τὸ ἀήθες δὴ ἠγάσθην, εἶτ᾽ ὀξέως ὑπὸ σπουδῆς διεξιέναι ἀρξάμενος, μεταξὺ ἀναγινώσκων,

ἐρυθρὸς

ἐρυθρός, ὠχρός, ὑπομειδιῶν, σεσηρώς, δυσχεραίνων ἐν μέρει καὶ εὐγνωμόνως ἔχων, διακεχυμένος, συγκεχυμένος, διαποίκιλος, παντοῖος. καὶ τί γὰρ οὐκ ἐγινόμην, ἀπαλλαξείων δῆθεν τοῦδε τοῦ ἀγῶνος ὁτὲ μὲν, ὁτὲ δὲ πάλιν πολεμησείων. μετὰ δὲ τοῦτο, τὸ πρᾶγμα ἐπ' ἐμαυτοῦ σκεπτόμενος, εἶτ' ἐπὶ βραχὺ ταλαντευόμενος τὴν γνώμην, διασπώντων δῆθεν τῇδε κἀκεῖσε τὸν λογισμὸν ὑπεναντίων παθῶν ἀλλήλοις, εἰς συνοχήν τινα καθέστηκα συμφιλοσοφῶν ἐμαυτῷ, ἄχρι δὴ τελευτῶν ἀπὸ τοῦ τῆς διανοίας ἰσοῤῥόπου ἐπὶ τὸ εὐάρεστον κατέῤῥεψα καὶ ἐπιεικές, τῆς φιλίας δήπουθεν ἐχόμενος τῆς ἄγαν ἐμοὶ κεχαρισμένης. οὐ τοσοῦτόν γε σου τὸ ἐπιτιμητικὸν ὑπολογιστέον εἶναι ἀναμιμνησκούσης με ταύτης, ὅσον χρὴ τιμᾶσθαι τὸ εὐμενὲς καὶ προσφιλὲς τῆς ψυχῆς. ἅμα δὲ καὶ ἐπῄει τοῦτό μοι τηνικαῦτα ἐπισκεψαμένῳ εἴποτέ τι κατὰ τοῦ φιλίου θεοῦ πεπλημμέληται ὑπ' ἐμοῦ. συμβαίη γὰρ ἂν τοιόνδε τί που ἐν τῷ παιγνιώδει ἐκείνῳ τῆς ἀληθοῦς συμβολῆς ἀπεικονίσματι, τῷ ἐν ταῖς ἐπιστολαῖς ἡμῶν. τοῦτο δὴ ἐκπρίασθαι δεῖν ἐμὲ ἱεροθύτῳ τινὶ οὐ τῷ τυχόντι, οὐδ' ὡς ἂν τύχῃ ἱερουργηθέντι. ὅτι τοίνυν οὐδ' ἂν ἑνὶ ἱερείῳ τὸν πλημμελούμενον θεὸν εὐχαρέστεροι ἐξιλασαίμεθα, ἢ παρὰ τῇ τῶν ἡ-

rubicundus, luteus, ſubridens, indignabundè & acerbè ridens, addubitans, partim me candidum & patientem præbens, hilaritate diffuſus, conturbatus, verſicolor, omni colore affectus: ecquid enim non factus fui, vt pote ab hoc certamine nunc quidem diſcedere cupiens, nunc verò ex aduerſo bellaturiens. Poſtea autem, negotium apud me tractans, mox parumper conſilium ac iudicium examinans & veluti trutina quadam expendens, huc & illuc prope cogitationem dirimentibus inuicem oppoſitis ac diſſidentibus perturbationibus, in quadam intentione mentis conquieui mecum cogitans: donec tandem ab ingenij æquilibrio ad reconciliationem atque modeſtiã lenitatémque fui propenſus, nimirum cum amicitia mihi apprimè chara coniunctus. hac me admonente non tantùm quidem ducendam ac reputandam eſſe tuam increpationẽ, quantùm fas erat manſuetudinem, animi que tui ſuauitatem æſtimari. Interea porrò mihi & iſtud ſubiit tum obſeruãti ſi vnquam quidpiam contra Deum beneuolentiæ & charitatis præſulem à me perperam actum eſt. Nam quidpiam huiuſmodi in illo veri prælij ludicro ſimulachro ſignóve fictitio, quod in noſtris epiſtolis, poſſet contingere vſúque euenire, vt id ſanè ritu quodam ſacrato nõ triuiali, nec vtcumque inter ſacrificandũ oblato redimere me oporteret. Quòd autem nulla victima Deum iniuria laceſſitum commodiùs propitium placatúmque reddiderimus, quàm peccato-

rum confeſſione necnon pœnitentia, inter vos diuinis literis operam nauantes veriſimile & conſentaneum eſt. Quapropter, vir beneuolentiſſime, te quidem me prouocantem ad quandam venuſtiorem amicóque conuenientiorem mutuarum literarum formam ac materiam, manſuetudinis ergo animíque tui querimoniarum oſoris vſqueadeò commendo vt in offenſionum obliteratione & iniuriarum ſempiterna obliuione à te lege ſancita magnopere etiã acquieſcam, voueámque me perſeueraturum in ea ſubſiſtendo. Scito itaque iam inde habiturus tuum Budæum amicitiæ inſtitutis morigerentem, ſi quépiam certè etiam alium tuorum probatorum exploratorúmque amicorum. Quinetiam, non equidem verebor hunc in modum de amicitia cogitans hoc vnum à te implorare. tu verò hoc vt opinor nimirũ mihi exigenti indulgere concederéque nõ opprimeris, vt facultatem habeam ſoſpite & incolumi rerum præteritarum obliuione perpetua, nec prorſus coërcita violatáque tranquillitate hac quidem in re recordari eorum quæ antè acta ſunt, quatenus obteſtari liceat mihi, in conſpectu vniuerſorum ſiue inimicorum, ſiue neceſſariorum meorum necnon tuorum, quæcunque ſint & cuiuſmodi appareãt quæ à me olim de te & ad te ſcripta dictáque ſunt, ea profectò eueniſſe à contentione quidem fortaſſis haud ſcio quo pacto in animum meum obrepente, irámque exacuente, forſam verò

μαρτημάτων ἐξομολογήσει τε καὶ μετανοίᾳ, ὁμολογούμενόν ἐστιν ἐν ὑμῖν τοῖς ἐμφιλοσοφοῦσι τοῖς θείοις. τοιγαροῦν ἄνερ προσφιλέστατε, σὲ μὲν προκαλούμενον ἐμὲ εἰς χαριεστέραν τινὰ καὶ φιλοπρεπεστέραν τὴν ἀμοιβαίων γραμμάτων ἰδέαν τε καὶ ὑπόθεσιν, οὕτως ἀποδέχομαι τῆς τε εὐγνωμοσύνης καὶ τῆς μισεγκλήμονος ψυχῆς, ὥστε τῇ νενομοθετημένῃ ὑπὸ σοῦ ἀμνηστίᾳ κομιδῇ τε ἀρέσκομαι, διατελέσειν τε ὑπισχνοῦμαι αὐτῇ ἐναπομένων. ἴσθι οὖν τὸν σὸν Βουδαῖον ἕξων ὃ ἀπὸ τούτου τοῖς φιλίας νομίμοις πειθαρχοῦντα, εἰ καὶ ἄλλον τινὰ δὴ τῶν δοκίμων σοῦ καὶ ἐξητασμένων φίλων. οὐ μὴν ἀλλὰ οὐκ ὀκνήσω ἔγωγε οὕτω περὶ φιλίας φρονῶν, καί σου δέεσθαι μίαν δέησιν τήνδε. τὸ δὲ δὴ ταύτην, οἶμαι, οὐκ ἂν βαρυνθεὶς αἰτουμένῳ μοι συγχωρεῖν, ἵν᾽ ἐξῇ μοι σωζομένης τῆς ἀμνηστίας, οὐδ᾽ ὁπωσοῦν τι βιαζομένης τῆς ἡσυχίας τόγε τοσοῦτον μεμνῆσθαι τῶν προεληλυθότων, ὅσον διαμαρτύρεσθαι ἐναντίον ἁπάντων τῶν τ᾽ ἐχθρῶν τῶν τε φίλων ἐμῶν τε καὶ σῶν, ἅττ᾽ ἂν ᾖ καὶ ὁποῖ᾽ ἅττ᾽ ἂν δόξῃ τὰ ὑπ᾽ ἐμοῦ ποτὲ περὶ σοῦ τε καὶ πρός σε γεγραμμένα τε καὶ εἰρημένα, ταῦτα δὴ γεγενῆσθαι ἀπὸ φιλονεικίας μὲν ἴσως οὐκ οἶδ᾽ ὅπως τῇ ψυχῇ παρεισδυσάσης, καὶ τὸν θυμὸν ἀκονησάσης, ἴσως δέ που

ἔτι προσδιαφθαρείσης δὴ τὸ τελευταῖον (οἷα φιλεῖ τοῦ θυμοῦ τὰ ὁρμήματα εἰς χεῖρον ἐπιτείνεσθαι) οὐκ ἔτι δέ πη ἀπὸ τῆς δυσειδοῦς φιλονεικίας καὶ ἁμίλλης τῆς κακόνου. οὐ μὰ τὴν φιλοσοφίαν, ἧς τὸ θεῖον ἡμῖν σεπτὸν τυγχάνει ὂν καὶ σεβάσμιον. καὶ μὲν δὴ καὶ τούτου μάρτυρα ἀνακαλέσαι τὴν αὐτοαλήθειαν οὐκ ἂν ὀκνοίην αὐτός, τὴν τῶν εὖ φιλοσοφούντων προαίρεσιν κατευθύνουσαν, καὶ καρδιῶν τῶν ἡμετέρων ἔφορον· καί τοι οὐκ ἀδεῶς ἔγωγε οὐδ᾽ ὅτε ἔτυχε διόμνυσθαι εἰωθώς, οὐδὲν νῦν, ὡς οἶμαι, πιστώσασθαι τὴν εὔνοιαν ἡμῶν ἐδεόμην, εἰ μὴ οἱ φίλοι οἱ σοί, τάχα δὲ καὶ οἱ ἐχθροὶ οἱ ἡμέτεροι, μᾶλλον δὲ οἱ τὴν ἡμετέραν φιλοκαλίαν δυσχεραίνοντες, πιστῶσαί με σιγῇ ἐδόκουν, καὶ τουτονὶ τὸν ὅρκον ὀρκῶσαι, δυσμένειαν τινα δήπου ὑφορώμενοι ἐν ἡμῖν, ταύτῃ τε ἐφηδόμενοι, ἐξ ὧν ἠκροβολισάμεθα πρῴην ὅδε μελετητικῶς. σύγγε μὴν, ὦ δαιμόνιε, εἰ τοιόνδε τι καὶ σοὶ σύνοισθα εἰργασμένῳ, περί γε τῆς ἐφαμίλλου τῆσδε φιλονεικίας τῆς χωρούσης πόρρω τοῦ ἀποχρῶντος εἰδείης ἂν εἰ καί σοι καθαρτέον ἐστὶν ὧδέ πως τὰς φρένας σοῦ. οὐ γὰρ ἂν ἐν δέοντι θείη τις τῶν χρηστῶν καὶ προσφιλέστερον ἐχόντων, τὸ ἀπομνημονεύειν νῦν ἐκεῖνα, ὧν ἔγωγε τυγχάνω τεθαυμακὼς ἐν τῇ σῇ ἐπιστολῇ, δεξιῶς μὲν καὶ σοφῶς, φιλαιτίως δέ πως ἑρμηνευθέντων, καὶ δὴ καὶ πέρα τοῦ δέοντος

tandem clanculum etiam adueniente: vt animi impetus conſueerunt in deterius augeri & inoleſcere: non id porrò ex litigioſa ferocitate æmulationéque maleuola: nõ per ſapientiæ ſtudium, cuius numẽ nobis adorandum auguſtúmque eſt. Itaque huius rei teſtem implorare veritatem ipſam ego non vererer, ſtrenuè philoſopantium propoſitum dirigentem, cordiúmque noſtrorum præſidem. Atqui minimè audacter equidem nec dum fortè euenit iureiurando aſſerere ſolitus, nulla in re modo, ni fallor, noſtram cõfirmare amicitiam neceſſe haberem, niſi tui amici, forſan verò etiam inimici noſtri, quin potius noſtræ amicitiæ elegantiam acerbè indignéque ferentes, me iureiurãdo aſtrixiſſe clanculum cenſerent, & in hoc ſacramento fidem interpoſuiſſe, hoſtilitatem quandã nimirum inter nos occultè obſeruantes, ipſáque inſultantes, ex eo quòd dudum meditando leuiter dimicauerimus pugnæque præludia fecerimus. Tu verò, ô fortunate, ſi tibi etiam conſcius es aliquid huiuſmodi perpetraſſe, quantum ad hanc certè æmulam diſceptationem vltra modum procedentẽ, cognoſcas nũm etiam tibi hoc pacto expianda luſtrãdáque ſit mens tua. Non enim tempeſtiuè quiſpiam benignus & in me beneuolè animatus cenſuerit me, nunc illa literarum monumentis prodere, quæ quidem ſum admiratus in tua epiſtola, eruditè quidem ſapientérque, litigioſè quodammodo expoſita, atque etiam præter decorum

expreſſa, vt à viro certè malorum obliuionem repétè irritam facturo. Etenim opus erat lenienti potius ſermone permulcentíque quò me diſponeres obſequentem, legémque tuam vt candidè admitterem. Quandoquidem ſi ipſe me pugnacem acrémque præbens hanc altercationẽ controuerſiámque perſequens adſtruxiſſem feroci, & cõtentioſo animo meo indulgentiùs ignoſcere, nequaquam res finem cõſequuta fuiſſet. Deinceps ex hac vehementi duorum amicorum æmulatione, Ilias quædam infauſtæ pertinaciæ emerſiſſet, nempe ius ſuum vtroque ſibi perpetuò conſeruante, quo iure quáque iniuria. Atqui oblector equidem quoniam ipſe aſſequutus ſum vt eſſem mei ipſius compos, quoad etiã in tua commoda amabilíque malorum obliteratione patienter acquieui, nimirum clementior cùm euaſerit, ni in illa queruloſa epiſtola ipſam ſuperinduxiſſes, hæc & illa anxius indagante, quæ apparent à me violata, deprauatáque propter immoderationem in decertando. Non enim inficior meam culpam, veluti non me pudet meas offenſas exponere vbicumque mihi oblata fuerit occaſio, veniámque exorare eorum quæ haud opportunè facere cœpi. Præterea verò etiam iſtud certè ex tua in dicendo vi & ſuauitate mihi comparaui, quòd [te ipſum] mihi inſtituta præſcribentem tolerare iam decenter ac ordinatè me aſſuefaciam,

ἠκριβολογημένων, ὥστε δὴ ὑπὸ τοῦ ἀνδρὸς ἀμνηστίαν παράγγελμα προφέροισοντος. ἔδει γάρ τοι πραϋντικοῦ μᾶλλον λόγου καὶ κατακηλητικοῦ, ἐφ᾽ ᾧ τε παρασκευάσαι με πειθήνιον, καὶ εὐμενῶς τὸν νόμον ἐνδεξόμενον τὸν σόν. ἐπεὶ εἰ αὐτὸς ἀγωνιστικῶς ἔχων ταύτῃ ἐπεχείρησα τῇ διαδικασίᾳ ἐπεξιὼν θυμοειδεῖ τῇ ψυχῇ μου χαρίζεσθαι ἐμπαθέστερον, οὐκ ἂν τὸ πρᾶγμα αὐτὸ πέρας ἔσχεν οὐδέποτε. εἶτ᾽ ἐκ τῆς ἄγαν ἁμίλλης τῆσδε δυοῖν φίλοιν, ἰλιάς τις κακῶν φιλονεικίας ἀνεφαίη ἄν, ἑκατέρου δήπουθεν τὸ δίκαιον ἑαυτῷ περιποιουμένου ἐσαεί, καὶ δικαίως κἀδίκως. ἐγὼ μὲν ἔγωγε συνήδομαί μοι ἀνθ᾽ ὧν αὐτὸς ἐμαυτοῦ ἔφθην εἶναι αὐτεξούσιος, ὅσα καὶ τῇ φιλόφρονι σοῦ ἀμνηστίᾳ εὐγνωμόνως ἐπαναπαύσασθαι, ἐπιεικεστέρα δ᾽ ἂν δήπου καὶ ταύτῃ γενομένῃ, εἰ μὴ πρὸς ἐγκληματικῇ ἐκείνῃ τῇ ἐπιστολῇ αὐτὴν ἐπεισήγαγες, πολυπραγμονούσῃ γε τά τε καὶ τὰ ὑπ᾽ ἐμοῦ παρανενομῆσθαι δοκοῦντα ὑπὸ τοῦ ἀσυμμέτρου ἐν τῷ ἀγωνίζεσθαι. οὐ γὰρ ἔξαρνός εἰμι τὸ κατ᾽ ἐμὲ ὑπαίτιον, ὥσπερ οὐδ᾽ ἂν αἰσχυνθείην διατίθεσθαι τὰ ἐσφαλμένα μοι ὅπῃ περ εἴκοι, συγγνώμην τε παραιτεῖσθαι ὧν ἔφθην ποιήσας οὐκ ἐν δέοντι. πρὸς δὲ τοῖς ἄλλοις καὶ τοῦτο δὴ ὠνάμην τῆς δεινότητος τῆς σῆς, ὅτι σὲ νομοθετοῦντά μοι φέρειν ἤδη κοσμίως τε καὶ τεταγμένως ἐθισθήσομαι.

καὶ νουθετοῦντος εὐλαβῶς ἀκροᾶσθαι, μέχρι δὴ καὶ τοῦ κρατεῖν δυσκαθέκτου παθήματος, καὶ μάλιστα τῶν ἁπάντων πρὸς τὸν λογισμὸν ἀπαυθαδιζομένου. οὐ γάρ ἐστιν ὅτι τῶν παθῶν ἧττον ὑπήκουσε τοῦ λόγου, οὐδὲ δυσχερέστερον ἐπειθάρχησε τῇ ἐγκρατείᾳ, τῆσδε τῆς ἀνταγωνιστικῆς ὁρμῆς, καὶ ταῦτα διαφιλοτιμουμένης περὶ τοῦ δικαιολογεῖσθαι δοκεῖν. Σὸν δὲ δὴ ἔργον ἐστὶν, ὦ φιλότης, καὶ πρόνοιαν ποιήσασθαι τοῦ μὴ δοκεῖν σε ἀνεπιεικέστερον τούτου ἀπαλλάξαι τοῦ ἀγῶνος. ὅπου γε καὶ αὐτὸς ὁρῶν σε περὶ τῇ φήμῃ μου δεδιότα, ὡς ἔφης, πρὸς τοῦ καθήκοντος δὴ τοῦ ἐμοῦ ᾠήθην εἶναι, τῆς δοκήσεως ἀντεπιμελήσασθαι τῆς σῆς. Τί οὖν πρὸς θεοῦ, ἐστιν ὅστις τῶν κοινῶν ἡμῖν φίλων ἐν καλῷ τοῦτο θήσεται, ὅτι τριῶν παρ' ἐμοῦ γραφεισῶν ἐφεξῆς ἐπιστολῶν, μιᾷ μὲν μόνον σύ γε τῇ χείρει καὶ ἤδη ἀπηρχαιωμένῃ ἐπεξιὼν, ἅπαντα ταύτης μέρια ἀηδῶς γε ἔχοντα, πάντη πάντως μετιὼν, ἐπῃτιάσω, οὕτω τοι παρερμηνεύσας, ὡς ἀκατανόητά μοι εἶναι τὰ παρ' ἐμοῦ ἐπεσταλμένα. δυεῖν δὲ ταῖν προσφιλῶς καὶ εὐνοϊκῶς ἐχούσαιν, οὐδ' ὅλως ἐμνήσθης οὐδὲ πώποτε. οὐδὲ γὰρ ἐκείνη γε ἡ περιεργία τὴν πικρίαν τε καὶ ἀτοπίαν ἐπανακυκλοῦσα τῆς ἐμῆς ἐπιστολῆς, τῆς ἄγαν γλυκυθυμίας ὄζει. οὐδὲ δὴ τῶν ἀπομνημονευτέων ἐκείνων τῶν εὖ καὶ φιλικῶς ἐχόντων.

& inſtitutori cautè auſcultare, quouſque etiam imperium habeam in inſolentem ac temerarium affectum, maximè omnium contra rationem ſe proteruè exacerbantem eandémque repudiantem. Nulla enim animi commotio minùs rationi obtemperat, neque moleſtiùs temperantiæ obſequitur, quàm hic contentioſus & pugnax impetus, maximéque cum ſummo ſtudio conatur vt appareat ius ſuum defendere. Tuæ porrò erunt partes, ô amice, etiam prouidere ne videaris tu iniuſtiùs ab hoc certamine diſcedere. Vtpote cùm & ipſe cernẽs te meo nomini timentem, vt aiebas, officij certè mei eſſe cenſui, etiam tuæ æſtimationis ex aduerſo curam ſuſcipere. Quid igitur quæſo per Deum, aliquis ne cõmuniũ nobis amicorum iſtud in honeſto decoróque collocabit, quòd tribus à me ordine ſcriptis epiſtolis, in vnam duntaxat tu quidem viliſſimam iámque antiquatam & obſoletam irruens, omnes eiuſdem particulas inſuauiter quidem procedentes, vſquequaque aggrediẽs, incuſaſti, ita præpoſterè exponens, vt à meo intellectu aliena ſint ea quæ à me literis mandata ſunt. Duarum porrò ſeſe humanè beneuoléque habentium haud quaquã anteà meminiſti. Nec enim iſta quidem nimiùm affectata curioſitas amaritudinem atque abſurditatem meæ epiſtolæ reuoluens & inculcans nimiam redolet hilaritatẽ. Ac nec etiam cõmemorãdarũ illarũ appoſitè amicéq. procedẽtiũ

literarum ſilẽtium tuum aſſeueraſ-
ſe mihi apparet amicitiam conſtã-
tem quantum in te eſt. Tu enim
cùm dixeris te eundem qui anteà
fueris ſemper eſſe quoad amicitiã,
te ſuſpectum haberi non formidas
tantam tuam malorum elapſorum
memoriam arguens. At interim
iſtud cùm priùs feceris, in tuã ſen-
tentiam adducere alios opinaris te
omnia pulchrè compoſuiſſe quo-
modocunque dixiſſe præueneris?
Quopacto enim? Qui in crimina-
tionum commemoratione inſul-
tans callidè atque ſordidè, & om-
nia quæ à me literarum monumẽ-
tis tradita ſunt increpans mordi-
cus, inculpatum te vſquequaque
declarare conatus es. Iſtud verò
non mihi perſuadebis, nec ſi per-
ſuaſeris, vt comici verba referam.
Equidem certè, ô amice, culpam
meam ingenuè palam prædicans,
mihi veniam condonari rogo, ſi
indignè ferens rigidam ſeuerám-
que tuam & vltra modum exactã
obiurgationem, omnino quidem
cùm te ipſum innoxium præbue-
ris, hactenus hunc ſermonem pro-
duxi, quamuis prorſus quidem per-
ſuaſum habeam, te verum apertũ-
que eſſe amicũ, méque charũ ha-
bentem. Ambo enim forſitan con-
taminatum corruptúmque animũ
præ ſtudio habemus, ob cæcum
noſtri amorem, nempe vehemen-
tiori cum affectu hæreſcentem,
qualia conſueuerunt eſſe hominũ
negocia. Enimuerò contrà perti-
meſco ne falſus fuerim ſtudiosè
excitam à me pœnitentiam di-
ſturbans. Quem enim pœnitet
contentionum & querelarum,

γραμμάτων ἡ ἀποσιώπησις ἡ σὴ πιστώ-
σασθαί μοι δοκεῖ τὰ περὶ φιλίας τῆς
εὐσταθοῦς τὸ σὸν μέρος. σὺ γὰρ ὁ αὐτὸς ἀεὶ
εἶναι τὰ μετὰ τὴν φιλίαν φήσας, ἀπιστεῖ-
σθαι οὐ δέδοικας τηλικαύτην σοῦ τὴν
μνησικακίαν κατεγνωκώς; εἶτα τοῦτο
ποιεῖν φθάσας, ἀναπείσειν οἴει τοὺς ἄλλους
πάντα σε εὖ τίθεσθαι ὅπως τι οὖν εἰρῆ-
σθαι φθάσαντα; πῶς γάρ; ὅς γε τῇ τῶν
ἐγκλημάτων διεξόδῳ ἐντρυφῶν δεινωτι-
κῶς τε καὶ σμικρολόγως, πάντων τε τῶν
ὑπ' ἐμοῦ γεγραμμένων ἐπιλαβό-
μενος ἀπρὶξ, ἀνεπίληπτόν σε πάντα-
πασιν ἀποδεικνύναι ἐγκεχείρηκας. τοῦτο
μέντοι οὐ πείσεις οὐδ' ἢν πείσῃς, τὸ τοῦ
κωμικοῦ. ἐγὼ μὲν δὴ ὦ φίλε τὴν ἁμαρ-
τίαν τὴν ἐμὴν εὐήθως ἀνομολογού-
μενος, συγγινώσκεσθαι ἀξιῶ, εἰ βαρυν-
θεὶς τὴν αὐστηράν σου καὶ ὑπερακριβῆ ἐ-
πιτίμησιν, δήλου γε σεαυτὸν ἀθωώσαν-
τος, μέχρι τοῦδε παρεξέτεινα τὸν λόγον,
εἰ καὶ πάντως γε πέπεισμαι ἀληθῆ σε
φίλον εἶναι, καὶ εὐνοϊκῶς ἔχοντα. ἄμφω
γὰρ ἴσως που δεδεκασμένην γνώμην
ὑπὸ σπουδῆς ἔχομεν, τῆς φιλαυτίας,
ὡς ἔοικεν, ἐχομένης ἐμπαθέστερον, οἷα φιλεῖ
τὰ τῶν ἀνθρώπων εἶναι. ἀλλὰ μὴν αὖθις
αὖ δέδια μὴ ἔλαθον τὴν ἐπιτετηδευ-
μένην ὑπ' ἐμοῦ μετάνοιαν διαταράττων.
ᾧ γὰρ μεταμέλει τῶν ἠμφισβητημένων,

αὐτὸς εἰ μὴ εἰς τοὐπιὸν τὸ παράπαν ἀναδύοιτο τὰ τῆς ἀμφισβητήσεως, οὐκ ἂν φθάνοι περὶ τὸ αὐτὸ πταῖσμα πάλιν καλινδούμενος. τοὐντεῦθεν οὖν ἤδη ἀνεπιστρέπτως μετανοοῦντά με παρέχομαι, καὶ εἰς ἅπερ ἂν βούλῃ πρόθυμον καὶ εὐτρεπῆ, ἀλλ᾽ ὥστε οὐκ ἀπηλλαγμένως φύσει διακείμενον τῆς ἀστειοτέρας τε καὶ χαριεστέρας ἀμοιβῆς, εἰς ὃ δὴ πεδίον σύγε ἡμᾶς προκαλῇ, ὁ ταῖς χάρισι σύντροφος. ἔστω δὴ σὺν θεῷ ὁ ἀμνηστίας νόμος ὁ ἀπὸ τοῦδε κύριος, ὁπότερος δ᾽ ἂν ἡμῶν τῶν ἀφειμένων ἑκατέρωθεν ὁτιοῦν ἀνανεώσηται, αὐτὸς ἐπὶ τῇ τῆς παρανομίας δίκην φεύγειν, καὶ ζημίαν δὴ οὐ μικρὰν προσοφλέτω, τὴν τῶν κοινῶν φίλων ἔχθραν δηλονότι. ἰδοὺ δὴ τῆς νομοθεσίας συνεπιλαμβάνομαί σοι, καὶ συνεπιψηφίζω δὲ τὸ δόγμα καὶ συνεπικυρῶ τῆς βουλῆς σου, τὸ διαγράψον τε, ὡς ἐλπίς, καὶ ἀναιρῆσον πάντα τὰ ἐγκεκλημένα. ὅπως οὖν μνησθεὶς ὧν σὺ εἰσηγητὴς γέγονας, πιθανοῦ τινὸς εἴδους καὶ κομψοῦ προκατάρξῃ, οἵου καὶ τὰ προδεδογμένα καλῶς θέσθαι. ἐν Μαρλιανῷ τῷ ἡμετέρῳ, μαιμακτηριῶνος πέμπτῃ ἐπὶ δέκα. ἔρρωσο, καὶ διατέλει εὐτυχέστατα πράττων.

ipſe niſi deinceps prorſus reſpuerit altercationes, haud effugiet quin aſſiduè verſetur in eodem errore. Poſteà ergo me pœnitentem iam citra reuocationem præbeo, & ad quæ volueris promptum atque paratum, alioqui non abhorrentem aſpernantémve naturam præ me ferendo, vrbanioris elegantioriſq. viciſſitudinis gratia, ad quem certè campum tu quidem nos prouocas, qui gratiarum alumnus es. Iam inde deo fauente hæc elapſorum malorum obliuionis lex ſanè firma ratáque eſto. Vtercunque verò noſtrûm vtrinque omiſſorum ſeu delictorum quiduis renouauerit, hic propterea quòd præuaricationis reus effectus ſit, inſuper mulctetur etiam pœna haud certè exigua communibus & amicis ſcilicet inuiſa infeſtáque. Ecce profectò tibi opitulor in huius legis ſanctione, iſtúdque tui conſilij edictum confirmo ſanè atque comprobo, & quod abrogabit, vt ſpes eſt, atque deſtruet omnes querelas. vtcunque memor eorum quorum tu inſtitutor auctórque fuiſti, veriſimilem quandam ſpeciem & elegantem auſpicaberis, quæ talis ſit vt valeat conuenienter quæ antè acta ſunt conſtituere cōponeréque. In Marliano noſtro, Septembris decimo quinto die. Vale, & perſeuera fortunatiſſimè agere.

GVLIELMVS BVDÆVS PETRO AMICO BENE AGERE.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ Πέτρῳ τῷ Ἀμίκῳ εὖ πράττειν.

VIr quidem quiſquis ille ſit, mediocriter primùm verſatus in his politioribus diſciplinis, quibus nunc tu perſeueras aſsiduam operam nauare, deinceps autem ad reip. gubernacula migrans, iam iam deueniet ac delabetur, vt cõpertum habeo, in ingẽtem calumniam & infamiam, & ipſe porrò malè audiet apud homines ibi degentes. ſed quid, in interiores ac ſecretiores aulæ partes qui ſe inſinuant, quid tandem non audirent iſti apud eos qui opinantur in aliquo ab ipſis contemni vel violari. Eos vtique expoſitos eſſe opinor his qui propenſiores ſunt ad detrectandum, quandoquidem & iſtud quidẽ apud plurimos qui inchoarunt aulam frequentare præiudicatum prædamnatúmque eſt: itaque præterquàmquòd inuertunt vitam accuratéque dant operam rebus ad viuendi rationem ſpectantibus, continuò ipſi in ſubdolos infidóſque mores recidunt, ex præteritis frugalibus ac probis. Tu verò exploratum tenens quemadmodum nunc ſeſe habent mea negotia, meritò ſuperſedeas indignari ſtomacharíq. meæ ſiue ceſſationi, ſiue mei ipſius obliuioni, ſeu pigritiam nuncupare fas ſit, dij meliora [quàm vt vocemus] amicorũ necnon ſtudioſorum faſtum. hîc enim verſans, vt eſt in prouerbio, lupum auribus tenenti compar & ſimilis ſum. qui quidem neque ab hoc comitatu ſolui ac liberari, nec

ΑΝΗΡ μὲν ὁστισοῦν μετρίως μὲν πρῶτον ἐνδεδιητημένος τοῖς κομψοῖς τοῖς λόγοις οἷς νῦν σὺ διατελεῖς ἐμφιλοσοφῶν, εἶτα δὴ εἰς τὰ πολιτικὰ διαβάς, οὐκ ἂν φθάνοι εὖ οἶδ' ὅτι περιπεσὼν εἰς πολλὴν διαβολήν, καὶ κακῶς δὲ αὐτὸς ἀκούσας ὑπὸ τῶν ἐκεῖ ἐμμενόντων ἀνθρώπων. τί δαί, οἱ εἰς τὰ εἰσωτέρω που τῆς αὐλῆς εἰσφθειρόμενοι, τί δῆτ' οὐκ ἂν ἀκούσαιεν οὗτοι ὑπὸ τῶν ὀλιγωρεῖσθαί τι ὑπ' αὐτῶν ἢ ἀγνωμονεῖσθαι οἰομένων. ἦ που γε τούτοις ἐγκειμένους εἶναι τοῖς διασύρειν προθυμουμένοις οἴομαι, ἐπεὶ καὶ τοῦτό γε παρὰ τοῖς πολλοῖς προκατέγνωσται τῶν αὐλίζειν ἐναρξαμένων, τὸ ἅμα τῷ μεταβαλεῖν τὸν βίον καὶ μετεπιτηδεύειν τὰ κατὰ τὴν δίαιταν, καὶ δὴ συμμεθεστηκέναι αὐτοὺς εἰς τὰ ὕπουλα τῶν ἠθῶν, ἐκ τῶν ἀφελῶν τῶν πρόσθεν καὶ σπουδαίων. σὺ μέντοι τὰ ἐμὰ ὡς νῦν ἔχει εὖ εἰδώς, εἰκότως ἂν παύσαιο δι' ὀργῆς ἔχων τὴν ἐμήν, εἴτ' οὖν ἀπραξίαν, εἴτ' ἀμνηστίαν ἐμαυτοῦ, εἴτ' ἀκηδίαν δεῖ καλεῖν. μὴ γὰρ δὴ τὴν φίλων τε καὶ σπουδαιολόγων ὀλιγωρίαν. ἐνταῦθα γὰρ διατρίβων, λύκου ἐκ τῶν ὤτων φασὶ λαμβανομένῳ ἔοικα. ὅς γε οὐδὲ τῆσδε τῆς ἀκολουθίας ἀφίεσθαι, οὔτ'

αὖ περιέχεσθαι αὐτῆς πλείω χρόνον οἷός τ' εἰμί. εἰ μή γε ὁ θεῖον τελευτῶν πρᾳέσιν ὀφθαλμῷ καθεωρακώς τ' ἔσται τὰ ἡμέτερα, καὶ τὰ ἀτάκτως νῦν διακείμενα, εἰς κόσμον καὶ τάξιν εὖ μάλ' ἐπαναγηοχώς. καὶ μὴν καὶ ἐν διόδῳ νυνὶ καθεστηκὼς ἔγωγε τῶν λογισμῶν, οὐκ οἶδ' ὅποι ἵνα τράπωμαι. καί τοι γ' εἰ τἀληθὲς δεῖ εἰπεῖν, εὔηθες πάμπαν τοῦτ' ἐστιν, ἄνδρα μὲν ἑαυτὸν τῇ αὐλῇ ἤδη ταύτῃ κεχρωμένον τε καὶ χρῆσθαι ἐκδεδωκότα ὅ,τι δόξαι προσῆκον εἶναι αὐτῷ καὶ πρέπον, νῦν ὥσπερ αὐτεξούσιον ὄντα ἑαυτοῦ, ὁπότερόν ποτε προέληται σκέψασθαι, ἢ μένειν ἢ ἀπαλλάττεσθαι, δέον, εἰ μεταμέλει αὐτῷ τοῦτο κακῶς βεβουλευμένου καὶ θορυβωδῶς, ἀπολοφύρεσθαι μᾶλλον ἐπὶ τῇ οἰχομένῃ ἐλευθερίᾳ, ἣν οὐκ ἂν ἀνακτήσασθαι δυνηθείην νῦν, μὴ οὐχὶ αὖθις λίαν περιττῶς ζημιωθησόμενος, καὶ προσέτι ἀσυστασίαν ὀφλήσων. ὢ τῆς ἀνηκέστου δυστυχίας ἢ ἀβουλίας. ἀλλὰ γὰρ αὖθις αὖ τί ὄφελος ἂν εἴη δυσπαθείας καὶ σχετλιασμοῦ. ἐμμενετέον οὖν εὐγνωμόνως τε καὶ ὅπῃ ἂν ἐγχωρείη συντεταγμένως, ᾗ τύχης ἡμᾶς καὶ μοίρας ὁ χρεὼν κατέστησεν, ἄχρις ἂν αἰσιώτερόν τι φανῇ, ὃ εἰς τὴν πρόσθεν ἐλευθερίαν τε καὶ εὐθυμίαν ἡμᾶς ἂν ἐξ ὑπαρχῆς ἀποκαταστήσει. προσαγορευέσθω σοι παρ' ἐμοῦ Ραβέλαισος ὁ συνεταιρού-

è diuerſo ipſi animum applicare ampliori tempore poſſum. Niſi quidem ſupremum numen tandem manſueto placidóque oculo ſuo nos noſtráque conſpexerit, & quæ nunc inconditè inornatéque diſpoſita ſunt, in concinnam digeſtionem & ordinem optimè reſtituerit, quinetiam in biuio cogitationum impræſentiarum equidem conſtitutus, haud noui quò deflectam. Quanquam ſi verum par eſt dicere, ignauum ac rude planè iſtud eſt, virum quidem ſe ipſum huic iam aulæ ſubiicientem necnon vtendum tradentem quacunque in re viſum fuerit conſentaneũ ſibi eſſe atque congruum, nunc tanquam ſit ſui ipſius compos ac liber, meditari vtrũ eligat, vel manere vel hinc proficiſci & effugere: cùm decens ſit, ſi ipſum pœniteat huius rei quæ ineptè ac turbidè deliberata ſtatutáq. eſt, lamentari magis propter pereuntem libertatem, quam reparare modò non valerem, quominus ipſe ſupra modum validéque mulctandus, & præterea inconſtantia damnandus eſſem. O inexpiabilem calamitatem aut temeritatem. At enim cõtrà quodnam emolumentum fuerit gemitus & indignationis meæ. Patienter itaque & compoſitè obtemperandum eſt quomodocunque ſors obtulerit, quò fortunæ nos fatíque neceſſitas perduxerit, quouſque quidpiam magis auſpicatum & proſperum apparuerit, quod in priſtinam libertatẽ necnõ ingenij ſecuritatem nos ex integro reſtituerit ac reſtaurauerit. Salutetur à te per me Rabelæſus ſoda-

lis tuus, & literarum conſors: atque vnà Finetus, ob quem exulto reſciſcés iſtic apud nos [eum] in virum clarum euadere. Vale, Heduorum in vrbe, Auguſti decimo quarto die.

μένος σοι, καὶ τῶν λόγων κοινωνός. σὺν δὲ καὶ ὁ Φίνετος, ὃν χαίρω ἀκούων παρ' ἡμῖν αὐτόθι εὐδοκιμοῦντα. Ἔρρωσο, ἐν τῇ ἐδούων πόλει, σεξτιλίου τετάρτῃ ἐπὶ δέκα.

BVDÆVS BRIXIO.

SPontanei miniméque rogati, aiunt, boni bonorũ ad conuiuia ſeſe conferunt. Ego porrò non ibo neque inuitatus quidẽ: heri nempe memini conſtituiſſe me prandendi gratia ad vos profecturum. hodie verò ſubiit mihi eundũ eſſe ad conuiuium puerperæ cuiuſdam, cùm non ita pridem conſpiratum ſit à nobis & propinquis & his qui ob connubium conſanguinitate iuncti ſunt in hunc ipſum diem. Iſtud namque ſolemne eſt quemadmodum noſti tu quidem, à longo iam temporis interuallo conſuetudinẽ habens cum huius regionis habitatoribus. Quinetiam quia non magnæ id iniuriæ querimoniam habet, minimè ſe obuium præbere ad diem vadimonij & ob quamcunque demum cauſam conſtitutum, negabit nullus, nimirum propter puerperam condictum. Et enim ſi iſtud ab aliis quidem violatum & improbè admiſſum apparet in leges ciuiles, mihi certè quidem culpam implacabilem inferet veniáque indignam. Et criminoſè accuſabor quidem vt ea quæ imperiti ſtudioſè obſeruant, ipſe floccipendens præ diſcendi auiditate, & refugiens conſuetudinem illiteratorum, atque etiã ſuperbire videbor.

ΒΟΥΔΑΙΟΣ ΒΡΙΞΙῼ.

ΑΥτόματοι, φασὶν, ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴενται. ἐγὼ δέ τι οὐκ εἰμὶ οὐδὲ κεκλημένος γε. χθὲς μὲν οὖν ἰέναι ὡς ὑμᾶς ἀριστήσων μέμνημαι συνθέμενος. σήμερον μέντοι ἐπῆλθέ μοι ἰτητέον εἶναι πρὸς συμπόσιον παρά τινι τεκούσῃ, πρῴην συγκεκροτημένον ἡμῖν τε τοῖς προσήκουσι καὶ τοῖς κατ' ἐπιγαμίαν οἰκείοις εἰς αὐτὴν ταύτην τὴν ἡμέραν. νενόμισται γὰρ τοῦτο, ὡς οἶσθά γε σύ, πολὺν ἤδη χρόνον ὡμιληκὼς τοῖς ἐνθάδε. καὶ μὴν ὡς οὐ μεγάλου ἀδικήματος τοῦτ' αἰτίαν ἔχει, τὸ μὴ ἀπαντῆσαι εἰς τὴν κυρίαν καὶ ἐφ' οἵᾳ δήποτ' αἰτίᾳ συγκειμένην, οὐδεὶς ἔξαρνος εἴη, ἤ που γε ἐπὶ λεχοῖ συγκροτηθεῖσαν. καὶ γὰρ εἰ τοῦτο ἐπὶ μὲν τῶν ἄλλων πλημμελεῖσθαι δοκεῖ καὶ παρανομεῖσθαι κατὰ τῶν νομίμων τῶν πολιτικῶν, ἔμοιγε δὴ αἰτίαν ἀπαραίτητον ἐπάξει καὶ ἀσύγγνωστον. καὶ ἐγκεκλήσομαί γε ὡς ὧν οἱ ἀπαίδευτοι δι' ἐπιμελείας ἄγουσιν, αὐτὸς καταμελήσας ὑπὸ τῆς φιλομαθείας, καὶ ἀποτροπιαζόμενος τὴν ὁμιλίαν τῶν μὴ φιλολογούντων, καὶ δὴ καὶ ἀλαζονεύεσθαί που δόξω.

ἀποδέξῃ οὖν τὴν πρόφασιν ταύτην ἱκανὴν καὶ αἰτίαν οὐκ ἐπιτηδευτήν. καὶ συνεργὸς ἐμοὶ πρὸς Ἰάνον τὸν Λάσκαριν, ἄνδρα μοι, φιλικώτατα διακείμενον τῶν ἐμοὶ προσῳκειωμένων ἀπὸ χρήσεως καὶ συνηθείας. πρὸς οὗ δὴ καὶ τὴν συνηγορίαν γε ταύτην ὑφειμένου καὶ καταπροδόντος σου, συγγνώμην ἂν θᾶττον εὑροίμην ἀσυνηγορήτως, ἢ παρὰ τοῦ τὴν λοχείαν ἑστιάσοντος τῆς αὐτοῦ συνοικούσης ὁτιοῦν προφασισάμενος. ἔρρωσο.

Admittes itaque hãc excuſationem ſatis idoneam ac rationem minimè affectatam: mihíque patrocinaberis apud Ianum Laſcarim, virum mihi amiciſſimè affectum ex his qui à me aſciti ſunt propter conſortium familiaritatémque. Apud quem certè etiam patrociniũ quidem iſtud negligente ac deſerente té, erroris condonationẽ citiùs adipiſcerer remoto ſuffragio, quàm ab eo qui cum apparatu celebraturus eſt fœturam ſuæ vxoris quiduis in excuſationem afferens. Vale.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ
Γερμανῷ τῷ Βριξίῳ εὖ πράττειν.

Κομισάμενος σήμερον τὰ γράμματά σου, τήν τε εὔνοιαν τὴν σὴν συνιεὶς, ἥσθην μὲν δήπου ἀπὸ τῆς ἀναγνώσεως αὐτῶν, καὶ περιχαρὴς δὴ ἐγενόμην. ὁρῶν δὲ καὶ σκοπούμενος τήν τε δεινότητα καὶ τὴν καλλιγραφίαν τῆς ἐπιστολῆς τὴν τὸν χαρακτῆρα τὸν ἐμὸν ἀμαυροῦσαν, οὐκ οἶδ᾽ ὅπως πάλιν ἐλυπήθην τῆς ἀγνοίας τῆς ἐμῆς ἕνεκα. οὐ γὰρ ἂν φαίην τῆς εὐμαθίας τῆς σῆς. τοῦτο δὲ λογιζόμενος, ξενίζειν πρός σε δοκῶ μοι, ὅπως ἂν τῇ ξένῃ γλώσσῃ οὐχ ἥττων εἶναι φανῶ. χάριτας μὲν οἶδά σοι καὶ ὁμολογῶ, πρῶτον μὲν τῆς ἐπιστολῆς σου, εὐνοίας δῆθεν γεμούσης καὶ ἐξαιρέτου φύσεως, ᾗ πάντας σχεδὸν τοὺς ἡμεδαποὺς τούς γε καθ᾽ ἡμᾶς παρευδοκιμεῖς.

GVLIELMVS BVDÆVS
GERMANO BRIXIO BENE AGERE.

Recipiens hodie literas tuas, beneuolentiámque tuam animaduertens, cepi quidem voluptatem nimirum ex ipſarum lectione, & oblectatione effuſus profectò fui. Cernens porrò & obſeruãs grauitatẽ elegantiámque tuæ epiſtolæ meum dicendi genus infuſcantem & extinguẽtem, haud ſcio quo pacto rurſum mœrore affectus fui ignorationis meæ gratia, non enim dicere auſim ob tuam in percipienda doctrina facilitatem. Iſtud autem cogitatione perpendens, peregrino ſermone vti apud te ſtatuo, quò aliena lingua ſaltem minimè deterior eſſe appaream. Tibi verò gratias habeo, palámque prædico, in primis quidem ob tuã epiſtolam, vt pote quæ ſcatet beneuolentia eximiáque natura, qua omnes propemodum noſtrates æquales quidem claritate vincis:

Deinceps autem propter nuntium præmiis non triuialibus & aſpernãdis dignum, mihíq. iucundum. Si porrò concupiſcis noſſe quidpiam de noſtris rebus, aulicus prætor qui eſt tanquam auris & oculus principis, quem magnum magiſtrum dicimus: meritò fortaſſis magnus gubernator regiarum nominaretur. Hic quidem malè affectus fuit ex renum dolore, neque emittere lotium potuit hactenus hos duos dies. Me autem iſta tibi ſcribente, omnia quidem vrinam incitantia medici qui ſunt circa ipſum excogitarunt molitíque ſunt, multitudo quidem non infrequens, tantum eſt huiuſce & ciuitatis ob medendi artem celeberrimæ, & accolarum emolumentum: nihil adhuc ſplendidum mouerunt. Nos verò qui ipſius comites clientéſque ſumus, nihil aliud quàm eiuſdem nomine intercedimus. Quanquam Hiſpaniæ legati nuper cum aduenerint, hunc heri officioſè inuiſerunt veluti domi ſe continentem, incedentem nihilominus aliquoties quomodocunque. At legationis principium vtraque ex parte rectè & pacificè ſe habere apparuit. Hodie verò nihil, vt opinor, commemorabile tranſactum abſolutúmque eſt, propter ipſius magni, infirmitatem, qui nuſquam debuit tantam legationem experiri, multis quidem morbis ac odioſis obnoxius cũ ipſe ſit. Porrò omnes hominẽ lugent huius inſanabilis cõditionis & iam morituræ cauſa,

ἔπειτα δὲ καὶ τῆς εἰσαγγελίας, τῆς τ' εὐαγγελίων οὐ τῶν τυχόντων ἀξίας, καὶ κεχαρισμένης ἐμοί. εἰ δὲ σὺ ὀρεγόμενος τυγχάνεις εἰδέναι τι τῶν ἡμετέρων, ὁ τῶν αὐλικῶν ἔπαρχος, ὁ τὰ ὦτα καὶ ὀφθαλμοὶ τοῦ ἄρχοντος, ὃν μάγνον μάγιστρόν φαμεν, (τάχ' ἂν ὀρθῶς ἁρμοστὴς μέγας ἀποκαλοῖτο τῶν βασιλείων) οὗτος μὲν κακῶς εἶχεν ἀπὸ τῆς νεφρίτιδος, οὐδὲ ἀφιέναι τὸ οὖρον ἠδυνήθη μέχρι τῆσδε τὰς δύο ἡμέρας ταύτας. ἐμοῦ δὲ ταῦτά σοι γράφοντος, πάντα μὲν διουρητικὰ οἱ ἰατροὶ οἱ περὶ αὐτὸν μεμηχάνηνται, πλῆθος μὲν οὐκ ὀλίγον, ὅσον δὲ τῆσδέ τε τῆς πόλεως τῆς ἐπὶ ἰατρικῇ περιβοήτου, καὶ τῶν περιοίκων ὄφελός ἐστιν, οὐδὲν δέ πω κεκινήκασιν ἀξιόλογον. ἡμεῖς δὲ οἱ ἀκολουθοῦντες αὐτῷ, οὐδὲν ἄλλο ἢ ὑπερευχόμεθ' αὐτοῦ. οἱ γὰρ μὴν τῆς Ἱσπανίας πρεσβευταὶ πρῴην ἀφικόμενοι, τοῦτον χθὲς ἐπεσκέψαντο καθηκόντως ὡσπερεὶ οἰκουροῦντα, περιπατοῦντα μέντοι ἐνίοτε ὁπωσδήποτε. ἡ μέντοι ἀρχὴ τῆς πρεσβείας ἑκατέρωθεν καλῶς ἔχειν καὶ εἰρηνικῶς ἔδοξε. σήμερον δὲ οὐδὲν (ὡς οἶμαι) ἀξιομνημόνευτον διήνυται, διὰ τὴν ἀρρωστίαν τοῦ μάγνου, ὃς μήποτ' ὤφελε τηλικαύτῃ τῇ πρεσβείᾳ ἐγχειρεῖν, πολλαῖς γε νόσοις αὐτὸς καὶ φορτικαῖς ἔνοχος ὤν. πάντες δὲ τὸν ἄνθρωπον οἰκτείρουσι τῆσδε τῆς νοσηρᾶς καταστάσεως καὶ θανατώσης.

ὅσγε παρὰ τὴν δύναμιν βιάζεται ἐφ᾽ ᾧ τὰ τῆς πρεσβείας διαπεράξεται τῷ βασιλεῖ. ἀλλὰ περὶ τῶν δημοσίων, μέχρι τοῦδε εἰρήσθω. πῶς δὲ ἔχει μοι τὰ πρὸς τὸν ἄνδρα τόν σοι περὶ ἐμοῦ κεκοινολογησάμενον, εἴσῃ ἐξ ὧν τῷ Δηλοΐνῳ ἔγραψα. προσαγορεύσω σοι οὓς προσειπεῖν με ἀπό σου ἐκέλευσας, ἄνδρας ἤδη μοι φιλιωθέντας. εἰ δὲ δὴ σὺ προσερεῖς μοι Λάσκαριν τὸν ἡμέτερον φιλοφρόνως τε καὶ δεόντως, ὑπέρμεγα ἔσῃ μοι πεποιηκὼς εὐεργέτημα. οὐδενὸς γὰρ τῶν ἀνθρώπων οὕτω τὴν φιλίαν ὡς τὴν αὐτοῦ ἀποδέχομαί τε καὶ τιμῶ. ἔρρωσο ἄνερ μοι προσφιλέστατε, καὶ διατέλει τούς τ᾽ ἐμοὺς φίλους ἀγαπῶν, καὶ τοῖς ἐχθροῖς οὐκ ἀρεσκόμενος τοῖς ἐμοῖς. σκιρροφοριῶνος τρίτῃ ἱσταμένου. ἐν Μοσπεσούλῳ πόλει Ναρβωνίτιδος, ἔτει ἀπὸ τῆς θεογονίας χιλιοστῷ ἐννεακαιδεκάτῳ.

qui vltra facultatem vrgetur, vt legationem regi perficiat & exequatur. verùm de repub. hactenus dictum ſit. Quo pacto autem mecum agantur ea quæ ſpectant ad hunc virum qui tecum congreſſus ac de me collocutus eſt, intelliges ex his quę Deloïno literis ſignificaui. in tuam gratiam ſalutabo quos tuo nomine ſalutare me hortatus es, viros iam mihi dilectiſſimos. Si verò tu in meum fauorem ſalutaueris Laſcarem noſtrum vt amico congruit necnon decẽter, immenſum in me promeritum contuleris. Nullius ſi quidem hominum vſqueadeò amicitiam quemadmodum ipſius commendo atque magnifico. Vale vir mihi chariſſime, ac perſeuera diligendo meos amicos, inimicóſque meos minimè probando. Maij die tertio ineuntis mẽſis: in Mompeſſulo oppido Galliæ Narbonenſis, anno à dei natiuitate milleſimo [quingenteſimo] decimo nono.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ

Γερμανῷ τῷ Βριξίῳ εὖ πράττειν.

Ἀκηκοότος γ᾽ οὖν σου τὰ κατ᾽ ἐμὲ καὶ τὴν αὐλήν, οὐδεμίαν ἣν τιν᾽ ἔχω ὑπόθεσιν δήπου ὑποτίθεσθαι σπουδαίας τινὸς ἐπιστολῆς. ἣν γάρ σου πεπαιχότος ἐκεῖνα τὰ κατ᾽ ἀρχὰς τῶν γραμμάτων σῶν, καὶ κατειρωνευσαμένου τῆς τύχης ἤδη φθασάσης ἐμοὶ συμβῆναι λαμπροτέρας, σπουδαιολογίαν,

GVLIELMVS BVDÆVS

GERMANO BRIXIO BENE AGERE.

CVm iam reſciueris ea quæ ad me aulámque ſpectant, nullam poſſum propoſitam materiam certè meo ſtilo ſubiicere cuiuſdam egregiæ epiſtolæ. ſi enim cùm tu iocoſè finxeris illa quæ ſunt in primordio tuarum literarum, & aſtutè irriſeris fortunã quæ cœpit iam mihi contingere luculentior, compoſita ſpecioſáque vti oratione

nunc dignum cenſeo tibi reſpondens, ac formido ne mihi accidat vt ſim vilia verba effutiens riſúque dignus, viciſſim iocando quidem aduerſus ea quæ à te lepidè ac facetè ſcripta ſunt, cúmque incurioſè nunc & minimè anxiè ſim diſpoſitus,& quaſi inſultans ego in multa quæ in vrbe [viget] voluptate atque vita vndequaque otioſa curíſque vacua, pertimeſco quominus viro decorum eſſe cenſeatur dimicanti ac de vitæ ſtatu periclitanti. Verum enimuerò quî ipſe valerem modò ex aduerſo nugari apud te feſtiuáque dicta capeſſere, me impotenter ac difficulter gerẽs,quoad pulchrè aptéque ex hoc certamine diſcedam, in quo quidem,vt aiunt, quanta mus in pice tuli. Et verò in periculo verſantur quantum ad me attinet non modò quæ à me parta ſunt in hac litigioſa exercitatione, verumetiam fama & gloria quantamcunque hactenus comparaui indaganti excogitantíque ſimilis, ipſa ſanè in nouaculæ aciem nunc mihi redacta eſt, vt vulgari fertur parœmia. Atque noui in dedecus cõfeſtim certè me deuenturũ non plebeium & vulgare, ſi iſtud negotium inauſpicatò ſubuertatur, quamuis haud à me præoptatum, quemadmodum exploratum habes, quod profectò eſt indigniſſimum. Atqui iſtud animo voluentem te, mecum quidem angi opinor, meiſque doloribus commoueri, quemadmodum conueniens eſt viro probo ac beneuolo,

νῦν ἄξιον ἀποκρινόμενός σοι, δέδια μὴ ψυχρολόγῳ εἶναι μοι συμβῇ καὶ γέλωτος ἀξίῳ, ἀντιπαίζειν μέντοι πρὸς τὰ σοι πεπαιγμένα, ἀφροντίστως τε νῦν καὶ ἀμερίμνως διακειμένῳ, καὶ οἱονεὶ ἐντρυφῶντί μοι ἐν πολλῇ τῇ κατὰ τὴν πόλιν ῥᾳστώνῃ τε καὶ βίῳ πάντοθεν ἀμερίμνῳ, δέδοικα μὴ οὐ πρὸς ἀνδρὸς εἶναι δοκῇ ἀγωνιζομένου καὶ κινδυνεύοντος περὶ τῆς τοῦ βίου καταστάσεως. ἐπεὶ πῶς ἂν αὐτὸς ἀντιχαριεντίζεσθαί σοι καὶ τῶν κομψῶν ἅπτεσθαι νῦν ἔχοιμι, ἀμηχάνως τε καὶ δυσκόλως ἔχων περὶ τοῦ ἀπαλλάξαι καλῶς καὶ ἐπιτίμως τουτουὶ τοῦ ἀγῶνος, ἐν ᾧ περ, ὥς δή φασιν, ὅσα μῦς ἐν πίσσῃ πέπονθα. καὶ μὴν δὴ καὶ παρακινδυνεύεταί μοι οὐ μόνον τὰ ὑπάρχοντα ἐν τούτῳ τῷ ἀγωνίσματι, ἀλλὰ καὶ ἡ φήμη καὶ δόξα, ὁποσηνδηποτοῦν ἄχρι τοῦδε κέκτημαι φιλοσόφου τινὶ ἐοικώς, αὕτη δὴ εἰς ξυροῦ ἀκμὴν νῦν ἐμοὶ καθέστηκεν, ὥς φησιν ἡ παροιμία. οἶδά τε εἰς ἀτιμίαν αὐτίκα δὴ μάλα περιπεσούμενος οὐ τὴν τυχοῦσαν, ἢν τοῦτο τὸ πρᾶγμα ἀτυχῶς περιτραπῇ, καίπερ οὐχὶ ὑπ' ἐμοῦ προῃρημένον, ὡς οἶσθα σύ, ὃ δὴ σχετλιώτατον. τοῦτο τοίνυν διαλογιζόμενόν σε ἐμοὶ μὲν συναλγεῖν οἶμαι καὶ συμπεπονθότως ἔχειν, ὡς προσῆκόν ἐστιν ἀνδρὶ ἀγαθῷ τε καὶ εὔνῳ,

μή τι δὴ συνήδεσθαι, ὅπερ σὺ εἰρωνεύῃ. σοῦ δὲ τὴν ἄγαν ἀσφάλειάν τε καὶ ἡσυχίαν παρ' ἀλλήλως σκεψάμενον, εὐδαιμονίζειν ταύτην τὴν εὐθυμίαν ἀστικὴν καὶ ταῦτα εὐπορευμένην, ἧς σὺ τυγχάνεις ὢν ἐπικρατής. ἀλλὰ μὴν τί ἂν πάθοιμι νυνὶ εἰς τοσοῦτο κινδύνου φθάσας προβεβηκέναι, ὅπου οὐκ ἔτι Προμηθέως ἔργου, ἀλλ' Ἐπιμηθέως χρείαν ἔχω. οἶσθα δὲ ὡς ἄρα ἡ τύχη οὐκ ἄγαν ἐμοὶ εὔνους τὰ πρὸ τοῦδε εἶναι δοκοῦσα, εἰς τοῦτο παίγνιον ἐπέσπασέ με, οὐχ ὅπως ἐπιτετηδευκότα τὰ καθεστηκότα μεταθέσθαι, ἀλλ' οὐδέ τι τούτων τῶν γεγενότων ὑποπτευόμενον. ὥστε οὐδεὶς τῶν σπουδαίων τε καὶ εὐγνωμόνων ἀνδρῶν, οὐδὲν οὐδ' ὅλως αἰτιῷτ' ἄν με τούτου ἕνεκα, εἰδώς γε δὴ τὸ πρᾶγμα οἷόν ἐστιν. ἐλεοίη μέντοι γε δικαίως ἐμὲ, τὸν κύβον ἐρρίφέναι δοκοῦντα περὶ τῶν τηλικούτων οὐκ αὐθαιρέτως, ἤν γε τὸ πέρας τῆς παιδιᾶς ἀποτυχόντως μοι περιέλθῃ. ἐπὶ θεῷ γὰρ κεῖται οὐκ ἐφ' ἡμῖν, τὸ τυχεῖν καὶ κατορθῶσαι. ἔρρωσο, ἐν Βλαισοῖς τῇ τεσσαρεσκαιδεκάτῃ τῶν καλενδῶν τῶν ἰανουαρίου μηνός.

nedum congaudere, quod tu diſſimulas: tuam porrò vehementem cautionem tranquillitatémque cōpoſitè & concinnè prouidendo, fortunatam prædicare credo hanc hilaritatem vrbanam & potiſſimū affluentem, in qua tu ſuperior es. Enimuerò quid facerem modò in tantum periculum cùm cœperim deuenire, vbi non amplius Promethei.i.prouiſoris, verùm Epimethei hoc eſt poſt acceptum malum ſapientis opera indigeo. Porrò noſti quòd ſcilicet fortuna non admodum mihi ſecunda antehac ſit viſa, in iſtud ludibrium me adduxit, non modò inſtituentem compoſita conſtitutáque reuocare, ſed nec quidpiam eorum quæ euenerunt ſuſpicantem. Itaque egregiorum atque candidorum virorum nullus, vlla in re omnino me carpſerit huius rei gratia, intelligens certè quidem negotium quale eſt. Miſericordia moueatur meritò quidem propter me, qui teſſeram iactaſſe cenſeor de rebus tantis haud ſponte, ſi certè exitus ioci mihi malis auibus euenerit. In dei namque poteſtate ſitum eſt non in nobis, conſequi [quod intédimus] ac perficere. Vale, Blæſiis decimo quarto die calendarum Ianuarij menſis.

ΒΟΥΔΑΙΟΣ ΒΡΙΞΙΩ εὖ πράττειν.

Ἀναγνοὺς τὰ γράμματά σου ὦ Βρίξιε σοί τε καὶ ἐμαυτῷ συνήσθην, σοὶ μὲν ὡς ἐκ τῆς νόσου ἤδη ἀνακομιζομένῳ

BVDÆVS BRIXIO BENE AGERE.

PErlectis tuis literis (ô Brixi) tibi atque mihi ipſi congratulatus ſum: tibi quidem tanquam ex morbo iam conualeſcenti

in noſtro Sammauriano prædio: mihi ipſi verò, vt qui villam illam proſperam & auſpicatam ædificauerim, debiles ex morbo amicos refocillantem, & quæ viuendi regulam corroboratricem habeat. Nullius quippe rei ſuauioris fructum obiter percipere vel iuuari valerem ex hac domo ruſtica, quæ ædificata eſt prope hortum ibi ordinatim conſitum, quàm vt tali commoditate fruar ex ipſa villa, non modò me meóſque familiares, verumetiam beneuolo in me animo affectos ſubleuante. Etenim adæquandum hoc reuera præmiũ eorum quæ à nobis elaborata ſunt habeo, & in plantationis quæ ibi eſt, & in ipſius ædificij locatione, [operariis] mercede conductis indiuulsè & inſeparabiliter opus proponens, quamuis, O dij, multa mihi negotia faceſſentibus. In quo enim non cẽſes me vexatum fuiſſe, quid verò non exhauſiſſe moleſtiæ atque indignationis manualem operationem vtpote exigere volentem intra præfixum ac determinatum diem, atque alia mihi exhiberi flagitantem ex his quæ cautione conſcripta erant. Cui profectò curæ ac ſedulitati continuò adhærebat apparatus totius agreſtis habitationis, quaſi quoddam ſic expolitũ opus ædificij, compoſitio videlicet ipſius prædij, ac digeſtio domeſtica omnium quæ vtilitatẽ opportunã & cõgruentẽ ſuppeditatura ſunt. Cuiꝰ curioſitatis gratia, ſicuti noſti, duorũ annorũ mihi otiũ ex ſtrenuo labore ſellulario firmiſſimóq. accidit,

ἐν τῷ ἡμετέρῳ Σαμμαυριακῷ. ἐμαυτῷ δὲ, ὡς τὴν οἰκίαν ἐκείνην αἴσιον οἰκοδομησαμένῳ, τῶν παρειμένων ἐκ νοσήματος φίλων ἀναληπτικήν τε δίαιταν καὶ ἐπιῤῥωστικὴν ἔχουσαν. οὐδὲν γάρ τοι ἥδιον παραπολαῦσαι ἂν ἢ ὀνίνασθαι οἷός τ' εἴην ταυτησὶ τῆς οἰκίας προσῳκοδομημένης πρὸς τῷ κήπῳ τῷ αὐτόθι στοιχηδὸν καταφύτῳ, ἢ ὡς τοιάνδε τινὰ χρείαν καρπώσασθαι ἐξ αὐτῆς τῆς ἀγροικίας, οὐ μόνον ἐμὲ καὶ τοὺς οἴκοι, ἀλλὰ καὶ τοὺς εὐνοϊκῶς μοι ἔχοντας ἂν ὠφελήσασαν. ἀντάξιον γάρ τοι τοῦτο τῷ ὄντι μισθὸν τῶν ἡμῖν διαπεπονημένων ἔχω, ἔν τε τῆς φυτείας τῆς ἐκεῖ, καὶ τοῦ οἰκοδομήματος ἐκδόσει τοῖς μισθουμένοις τὸ ἔργον προστιθέμενος ἀναποσπάστως, καίπερ ὦ θεοὶ, πολλά μοι τούτοις πράγματα παρέχουσι. τί γὰρ οὐκ οἴει με κακοπαθῆσαι, τί δ' οὐκ ἐξαφύσασθαι ἀηδίας τε καὶ ἀγανακτήσεως τὴν ἐργολαβίαν δήθεν εἰσπράττεσθαι θέλοντα ἐμ προθεσμίας, καὶ τ' ἄλλα παρέχεσθαί μοι ἀξιοῦντα ἐκ τῶν συγγεγραμμένων. ἧς δὴ ἐπιμελείας εὐθέως εἴχετο ἡ ἐξάρτυσις τῆς ἐπαύλεως ἁπάσης, οἱονεὶ ἐπεξεργασία τις οὖσα αὐτῆς τῆς οἰκοδομῆς, ἡ κατασκευὴ τοῦ χωρίου, καὶ διάταξις οἰκονομικὴ πάντων τῶν χρείαν ἐπίκαιρον καὶ πρέπουσαν παρεξόντων. ἧς τινὸς εἵνεκα πολυπραγμοσύνης, ὡς οἶσθα, διέτης ἐμοὶ σχολὴ ἀπὸ τῆς φιλοπονίας τῆς ἑδραίας ἐγένετο, καὶ

καὶ δὴ καὶ τῆς ἐμῆς φιλολογίας εἰς τοσοῦτον ἐκπομπή, καίπερ ὑπεραγαπωμένης. μεταξὺ μέντοι τῷ πρὸς τὴν ὑγιείαν καὶ εὐρωστίαν θεραπεύοντι, καὶ πόῤῥω τῶν μαθηματικῶν φροντισμάτων κεκακωμένην ἕξιν ἀναῤῥωννῦντι. αἰτίαν γὰρ εἶχεν ἡ φιλολογία τηνικαῦτα ὑπὸ ἰατρῶν, καὶ δὴ καὶ κακῶς ἤκουσε ὑπὸ τῶν ἐμοὶ ἐντυγχανόντων σχεδὸν πάντων, ὥς με φύσει εὔσωμα τοιαῦτα λυμηναμένη καὶ εἰς μαρασμὸν ἄγουσα. ἀλλὰ μὴν ὦ ἑταῖρε ἴσθι κεχαρισμένον μοι πρᾶγμα πεποιηκώς σύγε καὶ κομιδῆ φιλοπρεπές, τὴν χάριν τε ταύτην αἰτούμενος πρὸς τῆς συνοικούσης μου, ἐνδεδομένῃ τε χρώμενος εἰς τὸ δέον, τὴν ἐπίδοσιν δὴ ταύτην προσθείς, καὶ ἐπικύρωσιν οὐ τὴν τυχοῦσαν τῆς προτέρας ἡμῶν εὐνοίας καὶ οἰκειότητος. ἔῤῥωσο, τῇ ὑστεραίᾳ τῶν Σεπτεμβρίων καλενδῶν. ἐν Θρήκαις πόλει τῆς Καμπανίας.

tum verò mei in bonis artibus ſtudij tantum repudiũ, tametſi ſupra modum dilecti:[mihi inquam] ſubinde ſanè iis quæ ad valetudinem ac ſanitatem ſpectant indulgenti, & procul ab ingenioſa doctáque meditatione vitiatum corporis habitum reficienti. Nam crimini obnoxia erat ea tempeſtate literarũ dilectio apud medicos, atque etiã malè audiuit apud eos qui mecum verſantur penè omnes, tanquam me natura viribus valentem affli-ctans & in flacciditatem inducens. Atqui, ô mi ſodalis, ſcias te quidem rem mihi pergratam feciſſe & admodum amico conuenientẽ, hócque meritum poſtulans ab vxore mea, condonatóque tempeſtiuè vtens, hanc certè acceſſionem adiiciens, & confirmationẽ non triuialem prioris noſtræ beneuolentiæ ac neceſſitudinis. Vale, poſtero die Septembris calendarum. Trecis, quæ ciuitas eſt Campaniæ.

ΒΟΥΔΑΙΟΣ ΒΡΙΞΙΩ
εὖ πράττειν.

ΠΟλλὴν μὲν καὶ βαθεῖαν εἶναί μοι σχολὴν (ὥσπερ σὺ φὴς ἐπιστέλλων) οὐ μέμνημαί ποτε γράψας, οὔτε σοι, οὔτε τῳ ἄλλῳ. ἐνασχολεῖσθαι μέντοι ἐμὲ οὐκ ἔφην ἴσως ἄγαν τοῖς σπουδαίοις τῶν πραγμάτων ἐνθάδε καταγινόμενον, οὐδὲ ταῖς ἀμφὶ τὴν φιλολογίαν φροντίσιν ἐπέχεσθαι,

BVDÆVS BRIXIO
BENE AGERE.

ASſiduam quidem & amplam mihi eſſe ceſſationem, quod tu ais me literis certiorem faciens: haud memini tandem ſcripſiſſe nec tibi nec alteri. Me verò hîc verſantem in multùm ſeriis negotiis minimè occupari forſitan denuntiaui, nec commẽtationibus meditationibúſque in ingenuarum diſciplinarum ſtudio inhærere,

nobis aliquando iucundis. Non etiam porrò libertatem vſurpare quidem me dixi multominus etiã in otio deliteſcere deſidioſè ceſſantem circiter ea quæ mihi apparebant quomodocũque ſuauia. Quãdoquidem tantum quoque alienus eram vt operam darem recitationibus Fourmondi tunc concionantis, vt vix tandem mihi licuerit tam multis diebus ter virum auſcultare aut etiam bis. Si verò tu narrare nos huius rei occaſiones flagitas, & rationes explanare quæ me retardarunt, haud ſcio quam primam, quam nouiſſimam pro excuſatione afferam. Quanquam te reputare decens eſt propria voluntate complures ipſarum, moleſtiam quidem huius generis vitæ cognoſcentem, & qui priùs ipſam expertus es, etſi ipſe haud recenſeam. Quid enim egiſſem cùm procul à regia hoſpitarer, neque tempeſtiuitatem aſſecutus congruentem & accommodam tempori concionis, cùm nec ipſum fortè determinatum eſſet, cuiuſmodi quamplurima ad aulam pertinentia ſunt, minimè conſtitutam horam ipſa neque definitam habentia. Age iam ſi te conſultore vterer ac duce vitæ conſuetudinis quæ hîc eſt, te lubens interrogarem num officij functionibus neglectis & obſequiis omnino ſolemnibus, rationem habere duntaxat deberem harũ philoſophicarũ ſalutiferarúmque cogitationum. Nequaquam

ταῖς πάλαι κεχαρισμέναις ἡμῖν. οὐ μὴν δὲ καὶ ἐλευθεριάζειν γε ἔφην σχολῇ καὶ ἐρραστωνεύειν ῥᾳδιουργοῦντα περὶ τὰ δοκοῦντά μοι καὶ ὁπωσοῦν καταθύμια. ἐπεὶ καὶ τοσοῦτον ἀποδέων ἐτύγχανον τοῦ ταῖς ἀκροάσεσι σχολάζειν ταῖς Φουρμόνδου τοῦ τότε ἐκκλησιάσαντος, ὥστε μόλις μοι ἐξεγένετο τοσαύταις ἡμέραις τρὶς τἀνδρὸς ἀκροᾶσθαι ἢ καὶ δίς. εἰ δὲ σὺ διεξιέναι ἡμᾶς τούτου τὰς προφάσεις ἀξιοῖς, καὶ τὰς αἰτίας ἐκφράσαι τὰς ἐπικρουσάσας ἐμέ, οὐκ οἶδ᾽ ἣν τινα πρώτην, ἣν τὴν ἐσχάτην αἰτιάσομαι. λογίζεσθαι μέντοι σε προσήκει αὐτομάτως τὰς πλείστας αὐτῶν, ὃ δυσχερές γε τῆσδε τῆς διαίτης ἐγνωκότα, καὶ πρότερον πεπειραμένον αὐτῆς, κἂν αὐτὸς οὐκ ἐξαριθμῶμαι. τί γὰρ δὴ καὶ ποιήσαιμι πόρρω που καταλύσας τῶν βασιλείων, οὐδὲ τῆς εὐκαιρίας τυχὼν τῆς ἁρμοττούσης εἰς τὴν ὥραν τῆς ἐκκλησίας, οὐδ᾽ αὐτὴν ἴσως τεταγμένην, οἷα τὰ κατὰ τὴν αὐλὴν πολλὰ τυγχάνει ὄντα, οὐ καθεστῶσαν ὥραν αὐτὰ οὔτ᾽ ἀφωρισμένην ἔχοντα. φέρε δή, εἰ συμβούλῳ σοι ἐχρώμην καὶ καθηγεμόνι τῆς ἐνταῦθα διαγωγῆς, ἄσμενος ἄν σου πυθοίμην, ἆρά γε τὴν ὑπηρεσίαν ἀμελήσας καὶ θεραπείαν τὴν πάνυ νενομισμένων, φροντίζειν μόνον ἔμελλον τῶν φιλοσοφικῶν τουτωνὶ καὶ σωτηριωδῶν λογισμῶν. οὐ δῆτ᾽

ἔφης. ἀλλ' ἐν τοῖς πρώτοις μὲν καὶ τοῖς προὔργου θήσεσθαι τὰ εἰς φιλοσοφίαν ἀνήκοντα τὴν πάνυ καὶ ἱεράν. τὰς δὲ πρὸς τὸν πόρον καὶ τὴν φιλαρχίαν ῥεπούσας λειτουργίας, ταύτας δὴ ἐν ταῖς ταύτῃ ἐφεξῆς φροντίσιν ἑπομέναις, ὡς προσῆκον δῆθεν τὰς τῶν ἀγαθῶν ἐπιμελείας τῶν ἐπὶ τῇ τύχῃ κειμένων καὶ τῷ αὐτομάτῳ, καὶ ἐν τῷ δὲ τῷ θεάτρῳ γε δευτεραγωνιστεῖν τῷ ὑπὸ τῆς Ἥρας βραβευομένῳ. καίτοι ἐὰν τὰ παρὰ σοῦ εἰσηγηθέντα καὶ ἐπιτετηδευμένα ἐνταῦθά ποτε διατρίψαντος, ἐᾷς ἡμᾶς ἀπομιμεῖσθαι (οὐ γὰρ δή σοι τούτων μεταμέλει εὖ οἶδ' ὅτι) οὐκ ἂν ἀντιλέξαις οὐ δεῖν ἐμὲ ἐν τοῖς αὐλικοῖς ὁμιλοῦντα, καὶ δὴ τῶν τῆς αὐλῆς σπουδῶν κήδεσθαί τε, καὶ τοῖς κατ' ἐκείνην φλυάροις καὶ λήροις ἀφοσιωμένως γοῦν ἐσχολακέναι. ἐπεί τοι καὶ τοὺς ὄρχησίν τινα ἐπιβαλλομένους, καὶ ἄχρι δὴ τέλους φασὶ διορχεῖσθαι καθήκει, καὶ τοῖς ληροῦσι συλληρεῖν. τί δαὶ τὸν συγχορεύειν παραλόγως τοῖς φλυαροῦσι καὶ ἀπροαιρέτως ἐφθακότα, καὶ ἀπαλλαγῆναί γε ὅτι τάχιστα μετ' εὐσχημοσύνης ἐφιέμενον, τί δὴ αὐτὸν ποιῆσαι χρεὼν ἐφ' ᾧ τυχεῖν τῆς εὐχωλῆς; μή ποτε οὖν περὶ πλείονος ποιήσασθαι ἡμᾶς δέον ᾖ, τὸ τὰ ἐν ποσὶ καὶ κατεπείγοντα διαπράξασθαι, οὔτ' ἀκόσμως, οὔτ' ἀναξίως ἀνδρὸς

dixeris. At in primis quidem & perutilibus ac cõmodis rebus collocarem ea quæ ad philoſophiam illuſtrẽ auguſtámque attinent. Ad quæſtum verò & ambitionem declinantes publicas functiones, eas certè annumerarem in curis ac ſolicitudinibus quæ hanc poſteà comitantur, acſi conſentaneum ſit ſanè proborum hominũ ſtudia qui in fortunæ inconſtantia & fortuito caſu ſiti ſunt, etiam in hoc theatro quidẽ à Iunone [diuitiarum & ambitionum dea] recto & gubernato, ſecundas certaminis partes obtinere. Nam ſi ea quæ à te præmonſtrata & ſtudioſè exculta ſunt hîc olim cùm ſis immoratus & exercitatus; permittis nos exprimere ac æmulari: haud enim ſanè tu horum pœnitẽtiam ſubis ſat ſcio. Non ex aduerſo reſpõdebis haud oportere me cum aulicis conſuetudinem habentem, protinus aulæ ſedulitatis rationem habere, atque in eius importunis nugis tricíſque languidè ſaltem occupari. Alioqui ſaltationem quandam auſpicantes, etiam ad finem vſque aiunt perſaltare decet, & cum nugantibus nugari. Sed quid eum qui cœperit inconſultè tripudiare cum nugantibus & temerè, ſéque ſubtrahere quidem quàm celerrimè cum venuſtate appetentem, quid tandem ipſum agere conueniebat vt impetraret ſupplicationem? An num itaque plurimi ducere nobis neceſſe ſit, quæ ante pedes ſunt & vrgentia contentioſè obtinere neque confuſè neque præter dignitatem viri

minimè imperiti, vt iſtis rebus ex templo proſperè cedentibus, in tranquillitate hilaritatéque facultas iúſque ſit poſthæc vitam tranſigere? Tu proinde hac ratione effugere proponenti ſimilis es, in hoc quidem aſtutorum ac verſipellium foro mercaturam exercens. Ex quo certè ea quæ ad vitam latè bonis affluentem commoda ſunt reportare cupiens, vix tandem exiiſti auidè quidem ſuffarcinatus nedum circunſpectè. Iſtud vtique cùm feceris dum verſabaris cum his qui & circa poſſidendi ſtudium honorúmque captationem elaborant, nunc porrò philoſophiæ grauitatem ſeueritatémque præſe ferentis factus auditor ac diſcipulus eorum qui pietatem ſua ſorte contentam, & vt ita dicam, ſimplicitatem Marlianam introducebant, in qua nos profectò in primis conquieſcebamus, tantiſperdum deo noſtro ſeruatori gratum fuit, haud ſcio quo pacto in meum animum reuocare viſus es ea quæ à me literis mandata atque decreta ſunt. Sed vereor, ô noſter, tu quidem ſtrenuè atque conſtanter viaticum cùm aſſumpſeris in quo ad quæſtum negotiatus es, quamuis tibi ſoli iſtud factum exequens, ne hallucineris duritiem quandam ac tuam ipſius inurbanitatem nunc arguens, & perſuadere mihi dans operã viro multorum liberorum patri domum redeundum eſſe nihil adhuc vltra habenti, veluti certè remiſsè moroſéque diſpoſito ad huiuſmodi nugas effutiendas tractandáſque.

οὐκ ἀπαιδεύτου, ὅπως τούτων εὐθὺς κατορθωμένων, δι' ἡσυχίας τε ἐπὶ τούτοις βίον καὶ εὐθυμίας ἐξείη διαγαγεῖν; σὺ τοίνυν οὕτως ἀπαλλάττεσθαι προελομένῳ ἔοικας, ἐν ταύτῃ γε τῇ ἀγορᾷ τότε ἐμπορευσάμενος τῇ τῶν κερκώπων. ὅθεν δὴ τὰ πρὸς τὸν βίον τὸν λαύρως εὐπορούμενον ἐπιτήδεια ἀναιρεῖσθαι προθυμούμενος, πλουτῶν μόλις ἀπῆλθες πλεονεκτικῶς γε συνεσκευασμένος οὐχ ὅτι προνοητικῶς. τοῦτο μὲν οὖν ποιῶν διατετελεκὼς ἐνόσῳ συναναστρέφου τοῖς ἀμφί τε τὴν φιλοκτησίαν σπουδάζουσι καὶ τὴν φιλοτιμίαν, νῦν δὲ τῆς τε φιλοσοφίας τῆς σεμνοπροσωπούσης γεγονὼς ἀκροατὴς καὶ φοιτητὴς τῶν εὐσέβειαν τὴν αὐτάρκη, καὶ ὡς ἔπος εἰπεῖν, τὴν λιτότητα τὴν μαρλιανὴν εἰσηγουμένων, ᾗ δὴ ἡμεῖς ἐν τοῖς μάλιστα ἠρεσκόμεθα, ἄχρις οὗ τῷ θεῷ σωτῆρι ἡμῶν ἤρεσεν, οὐκ οἶδ' ὅπως ἀναμιμνήσκειν ἐμὲ ἔοικας τῶν ἐμοὶ γεγραμμένων τε καὶ δεδογματισμένων, ἀλλ' ὅπως, ὦ ἡμέτερε, σύ γε νεανικῶς τε καὶ εὐψύχως ἐφοδιασάμενος ἐν ᾧ ἐνεπορεύου, καίπερ σοὶ μόνῳ τὸ πρᾶγμα τουτὶ πράττων, μὴ λάθῃς ἀνεπιείκειάν τινα καὶ ἀγνωμοσύνην σαυτοῦ νυνὶ καταγνούς, πείθειν ἐμὲ ἐπιχειρῶν ἄνδρα τε καὶ πολύπαιδα οἴκαδε ἐπανιτητέον εἶναι οὐδέν πω πλέον ἔχοντα, ὡς δὴ δυσθύμως τε καὶ σκαιῶς πρὸς τὸ τοὺς λήρους ληρεῖν τύχεις διακείμενον.

τῆς τέχνης περιένδειξιν ποιεῖσθαι ἔγωγε ἔναγχος ἐνεστησάμενος, γέλωτα δή που πολὺν ὦφλον παρὰ τοῖς κομψοῖς καὶ χαρίεσι. ἀλλὰ τί ἂν πάθοιμι; δραστέον γὰρ τὸ δρᾶμα, ὁπηνίκ' ἅπαξ τὸ πρόσωπον ἐνδεδυκὼς, εἰς τὴν σκηνὴν παρελήλυθα. ταῦτα μὲν οὖν ἀντιπεπαίχθω πρὸς τὰς σὰς χλευασίας τὰς προσφιλεῖς, αἷς καθάπτεσθαί μου εἴωθας, ὡς ἐξεστηκότος τῆς ἰδίας τε προαιρέσεως, καὶ τῆς αὐλῆς νυνὶ παρὰ τὸ δέον ἀντεχομένου, ὑπόθεσις δήπουθεν γενησόμενα ἑτέρας ἐπιστολῆς ὑπό σου γραφησομένης. οὐ μὴν ἀλλὰ καὶ ἔγωγε συνήδομαί σοι, ὦ δαιμόνιε, τὴν πρὸς τὸν Μῶρον τὴν ἐμὴν φιλονεικίαν καταθεμένῳ, καὶ οἱονεὶ τὴν ἀντιμωρίαν ἐκείνην εὐγνωμόνως μεταθεμένῳ (οὕτω γὰρ ἤκουσά τινος τῶν γνωρίμων καὶ συνήθων σοι) τῆς τε ἡμετέρας παραινέσεως καὶ δεήσεως ὀψέ ποτε ἠκροαμένῳ. αὕτη γάρ τοι ἡ γνώμη ἐπὶ τοῦ δοκεῖν πρὸς τῆς σῆς φιλανθρωπίας εἶ), καὶ ὡς ἀληθῶς δὴ καθήκουσα φαίνεται εἰς γνησίαν τε καὶ ἀκέραιον φιλοσοφίαν, ᾗ σὺ νῦν τυγχάνεις προσπεφυκώς, ὁ πάλαι ποτὲ ἀναποσπάστως τὴν ἀπεχθανομένην ταύτῃ φιλοτιμίαν ἀσπασάμενος. ἴσθι οὖν ἡμᾶς οὕτω τῇ ἀγγελίᾳ ταύτῃ περιχαρεῖς γενομένους, ὡς πρὸ τούτου ἀνιωμένους ἤσθου ὑμῶν δυσαρέστως ἐχόντων πρὸς ἀλλήλους, καὶ ἐφαμίλλου ἐκείνης ἐπιδείξεως καὶ ῥᾳθύμου ἐχομένων.

Cuius aſtutiæ demonſtrationem ac experimentũ introducere equidem non ita pridem incepi, vehementer vtique ridiculus apud ſcitos & lepidos. verũ quid facerem: nam agenda erat hæc fabula, quãdoquidem mox, perſonam cùm induerim, in ſcenam proceſſi. Iſta verò obludendo dicta ſint contra tuas irriſiones gratas & amœnas, quibus me pungere pro more habes, veluti à propria digreſſum ſententia, & aulæ nunc vltra quàm oportet adhæreſcentem, quæ nempe erunt pro argumento alterius epiſtolæ à te ſcribendæ. Enimuerò tibi quoque gratulor, ô beate, qui rixam aduerſus meũ Morũ amoueris, ac veluti illam Moro repugnantem æqua mente commutaueris: ſic enim intellexi à quodam præclarorum tibíque familiarium: noſtræque adhortationis ac rogationis tandẽ auditor cùm fueris. Ipſa quippe voluntas præterquàm quòd apparet eſſe officij tuæ benignitatis, & reipſa certè pertinere videtur ad germanam atque ſimplicem philoſophiam, quam tu modò es amplexus, qui quondam abſque vlla diſtractione infenſam & odioſam huic ambitionem exoſculatus es. Cognoſcas itaque nos vſqueadeò rumore hoc lætos euaſiſſe, quemadmodũ ante hoc tempus triſtitia perfuſos percepiſti vobis moroſè ac rigidè vltro citróque affectis, & æmulæ illi oſtentationi languidæque operam dantibus:

& quantum communes amici vobis condoleſcebant ornatam locutionem ſcriptorum acrimonia cõtentionis profligantibus ac corrũpentibus, tantum ob id congratulaturos laudanti & approbanti, cauſa maleuolæ huius diſceptationis ad coruos reiectæ. Meo fauore ſalutato Deloïnum noſtrũ, & alios ſeſe beneuolos præbentes nobis ambobus. necnon aſſiduam operam nauato optimis & ſplendidiſſimis literarum ſtudiis. Vale, in municipio Romorantio, propter palatium duntaxat quod illic eſt nobili & claro, Ianuarij menſis tertio die ante finem.

GVLIELMVS BVDÆVS GERMANO BRIXIO. BENE AGERE.

O Præſentis (aiebas) temporis calamitatẽ: mihi quidẽ ô congerro ad hanc partem tuarum literarum deuenienti, ſubridere paulatim, mox acclamare in mentem venit, ô hominis benignitatem & æquanimitatẽ. Quid autem heus tu, nunquid iſtud dixerit quiſpiam ad virum ſpectare miſericordem mirificéque pio amore patriã proſequentem? miſerias quidem, publica negotia ciuiliáque labefactãctes, abſque vlla affectione plangere, commemorando cum oſtentatione atque etiam arguta cum irriſione & famem & bellum, incurabilia quidem certè & atrocia mala ac dei indignationem. Peculiarem porrò tui ipſius iacturã, hoc eſt eorũ qui inter ſacerdotes cooptantur,

ὅσοι τε οἱ κοινοὶ φίλοι συνήλγουν ὑμῖν τὴν καλλιέπειαν τῶν συγγραμμάτων τῷ δριμεῖ τῆς ἔριδος λυμαινομένης, τοσοῦτον ἐπὶ τούτῳ συγχαρησομένους εὐδοκιμοῦσιν, ἕνεκα τῆς ἀμφισβητήσεως τῆς κακόνου ἐς κόρακας ἀποβληθείσης. πρόσειπέ μοι τὸν Δηλώϊνον τὸν ἡμέτερον, καὶ τοὺς ἄλλους τοὺς εὐνοϊκῶς ἀμφοῖν ἡμῖν ἔχοντας. καὶ διατέλει σπουδάζων τοῖς καλλίστοις τῶν λόγων καὶ σεμνοτάτοις. ἔρρωσο, ἐν ῥωμοραντίῳ κωμοπόλει, διὰ τὸ βασίλειον μόνον τὸ αὐτόθι ὀνομαστῇ, γαμηλιῶνος μηνὸς τρίτῃ φθίνοντος.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ
Γερμάνῳ τῷ Βριξίῳ εὖ πράττειν.

Ὦ Τῆς τοῦ παρόντος ἔφης καιροῦ συμφορᾶς. ἐμοὶ μὲν ὦ ἑταῖρε ἐνταῦθα τῶν γραμμάτων τῶν σῶν ἀφικομένῳ, ἐπιμειδιᾶν ἠρέμα, εἶτ' ἐπιφωνεῖν ἐπῆλθεν, ὦ τῆς φιλανθρωπίας τοῦ ἀνθρώπου καὶ τῆς εὐγνωμοσύνης. τί δαὶ ὦ οὗτος, ἆρά γε τοῦτο φαίη τις ἂν πρὸς ἀνδρὸς εἶναι ἐλεητικοῦ καὶ φιλοπάτριδος ἄκρως; τὰ μὲν τῶν ἀτυχημάτων, τοῖς κοινοῖς τε πράγμασι καὶ πολιτικοῖς λυμαινόμενα, σχετλιάζειν ἀπαθῶς, διεξιόντα ἐπιδεικτικῶς καὶ δὴ καὶ κεκομψευμένως τόν τε λιμὸν καὶ πόλεμον, ἀνήκεστά γε δὴ πάθη καὶ μηνίματα θεοῦ. ἰδίαν μέντοι ἑαυτοῦ συμφορὰν, τουτέστι τῶν εἰς ἱερεῖς τελοιώτων,

ταύτην δὲ ἐκτραγῳδῆσαι δεινοπαθοῦντα, ἐξώλειαν ἐπαρώμενον τοῖς εἰσηγησαμένοις ἀσεβῆ τινὰ διατάγματα οὐκ ὀλιγοστὸν μέρος τοῦ ἱερατικοῦ ἐξαρύσον πλούτου ἤδη περιρρέοντος. Σοὶ τοίνυν ταῦτα μὲν μεμψιμοιροῦντι δεινῶς, ἐκείνων δὲ ἐμπομπεύοντι τῇ ἐξηγήσει τῶν εἰς τὸ σύμπαν καὶ τὸ κοινὸν ἐπιβαλλόντων, ὑπόνοιά τις κακὴ δήπου προσηνώχλει, ὡς ἄρα ἀργυρολογία τις λαμπρὰ καθ' ὑμῶν ἐπετηδεύθη τῆτες, τῶν προσόδων ἐκείνη γε τῶν ἀφιερωμένων τε καὶ ἀσυλίαν ἔχειν ἀξιουμένων, τὸ πέμπτον ἀφαιρήσουσα τῶν μερῶν ἢ ὁποσονοῦν. εὐφήμει, ὦ 'γαθέ, μὴ γένοιτο τὰ πράγματα τὰ καθ' ἡμᾶς εἰς τοσοῦτο τῆς ἀνάγκης καθίστασθαι. καὶ τοι ὦ σῶτερ ἡμῶν καὶ θεῖαι ἤδη ψυχαί, οἱ μὲν ἁγνῶς τε καὶ εὐλαβῶς τὰς πάλαι ἱερωσύνας διακονηκότες, τῶν κτημάτων τουτωνὶ καταμελοῦντες τῶν ἀπὸ τῆς πλεονεξίας, τῶν δώρων δὴ κατὰ κράτος ἀντείχοντο τοῦ θεοῦ, εὖ ποιοῦντες, τῶν τὰς ψυχὰς περιποιούντων. ὑμεῖς δὲ οἱ τήμερον τῷ θείῳ ἱερώμενοι, τῶν πνευματικῶν τούτων ἀφέμενοι (οἴμοι τῆς μεταβολῆς τῶν ἠθῶν) τοῖς προσύλοις καὶ τυχηροῖς προσεστηκότες διατελεῖτε, κακοὶ κακῶς ἀπολούμενοι, ἢν μὴ ἐκ τῆς ἐμπαθείας τῆσδε σὺν θεῷ παλινδρομοῦντες ἀνανήψητε. σὺ γὰρ μὲν,

ac eandem tragicè magnificéque narrare dura & acerba tolerãtem, perniciem imprecãtem his qui cõſulẽdo introduxerunt nefaria quædam decreta haud exiguam portionem ſacerdotalium exhauſtura diuitiarum iam redundantium. Tibi igitur his de rebus quidẽ grauiter expoſtulãti, illarũ porrò quæ ad vniuerſum & commune pertinent explanationem oſtentãti cõmemorantíque, ſuſpicio quædam vitioſa profectò moleſtiam addebat, ô quàm vehemens & conſpicua quædam nummorum exactio contra vos inſtituta eſt hoc anno, illa quidẽ redditruũ ac prouentuũ conſecratorum atque exemptionẽ obtinere exigentium, quintam partem ſubductura vel quotãcunque. Fauſta dicito verba ô vir bone, ne contingat hæc incommoda noſtræ tempeſtatis ad tantam redigi neceſſitatem. Verùm ô liberator & vindex noſter ac diuine iam animæ eorum quidem qui purè atque religioſè in ætate ſuperiore ſacerdotiorum ceremoniarúmque adminiſtatores fuerunt, harum facultatum contemptores [quæ proficiſcuntur] ab improba habendi cupiditate, donis pro viribus diuinis certè adhærebant, pulchrè agentes, quæ animas fouẽt conſeruántque. vos verò hodie diuinitati ſacra faciẽtes, ſpiritualia iſta omittitis: heu morum viciſſitudinem: carnalibus & fortunæ inconſtantiæ obnoxiis rebus affixi ac dediti eſſe perſeueratis, mali malè perituri, niſi ex hoc animi morbo & commotione diuino auxilio tandem ad mentis ſanitatem redeatis. Tu autem,

ô in malo fatidice, dignus es nimirum præ hoc ſuſpicandi ſtudio vt ſis verax futura prænuntians, quãtum in te eſt tuóq.cenſu, perquàm abundè quidem ſingulis annis hactenus ſumptus & expenſas ſubminiſtrante. Denique circunciſa extenuatáque tua abundantia, frugaliùs ac temperantiùs in diuinis rebus induſtriam & ſtudium repoſueris, quarum quondam ſuauitate detineri auſpicatus es. vt ergo tibi his rebus quæ ſpectant ad beatitudinem humanam timenti, magis quàm ſynceros nitidóſque ac diuinos ſacerdotes apertè monſtrantibus, minimè totam hanc ſuſpicionem ſim abſterſurus, quanuis his de rebus hîc nullusdum ſermo rumore diuulgatus ſit, quatenus me ſcire par eſt, attamen immodica illa ſuſpectio veſtra omen certè quoddam debet haud auſpicatum contra vniuerſum ſacerdotium inuehere & attrahere nõ multò poſt, in ampla quidem relaxatione nunc, ſupra alios ordines vita amœna delectabilíque fruens. Atque iſta huc vſque ioco dicta ſint: ſubſequentia verò poſt hæc continuò ſeriò dicẽtur, tuę rogationi reſpõſura. Quanquam hæc in aliam epiſtolam prorogaui, quæ huic proxima erit ſimulatque otium iſtud permiſerit. Atqui interea gratias tibi agã propterea quod præoccupaueris morem gerere ac ſubſeruire ex partu recreatæ vxori meæ, tua quidem ſponte iſtud ipſi beneficè condonans. Vale, Diuioni oppido prope aulicum comitatum, Iunij decimo octauo. 1521.

ὦ ἐπὶ κακῷ μαντευτικὲ, ἄξιος εἶ δήπου παρὰ τὴν φιλυποψίαν ταύτην ἀληθεῦσαι χρησμολογῶν, τό γε κατὰ σὲ καὶ τὰς σὰς προσόδους, ὑπεραποχρώντως γε τὰ κατ᾽ ἔτος ἄχρι τούτου χορηγησάσας. ἀμέλει περιτμηθείσης τῆς κατά σε περιουσίας, εὐσταλέστερον ἂν τοῖς θείοις ἐμφιλοσοφοίης, ὧν ἤδη ἐρασθῆναι ὑπῆρξαι. ἵνα γοῦν δεδιότι σοι περὶ τοῖς κατ᾽ ὄλβον τὸν ἂν θεόπτειον, μᾶλλον ἢ περὶ τοῖς καθαροὺς καὶ θείους τοὺς ἱερέας ἀποδεικνῦσι, μὴ πᾶσαν τὴν ὑποψίαν ταύτην ἀπομόρξωμαι, εἰ καὶ περὶ τοιῶνδε ἐνθάδε οὐδείς πω διατεθρύλληται λόγος, ὅσα γε κἀμὲ εἰδέναι, ὅμως μέντοι τὸ ἄγαν τοῦτο ὑφορατικὸν ὑμῶν, κληδόνα δή τινα μέλλει οὐκ αἴσιον καθ᾽ ἅπαντος τοῦ ἱερατικοῦ ἐπάξειν οὐκ εἰς μακρὰν, ἐν βαθείᾳ γε ῥᾳστώνῃ τανῦν ὄντι, πέρα τῶν ἄλλων τάξεων ἡδυπαθοῦντος. καὶ ταῦτα μέχρι τοῦδε τὰ παιγνιώδη. τὰ δὲ ἀπὸ τούτων ἤδη σπουδαιολογηθήσεται, τῇ ἀξιώσει σου ἀπαντήσοντα. ταῦτα μέντοι εἰς ἄλλην ἐπιστολὴν ἀναβέβλημαι, ἣ ταύτῃ ἀκολουθήσει ὁπηνίκ᾽ ἂν τάχιστα ἡ σχολὴ τοῦτ᾽ ἐγχωρῇ. ἀλλὰ μὴν διὰ μέσου χάριν σοι ὁμολογήσω ἀνθ᾽ ὧν ὑπηρετεῖν ἔφθης τετοκυίᾳ τῇ γαμετῇ μου, αὐθαιρέτως σύ γε τοῦτ᾽ αὐτῇ καταχαρισάμενος. ἔρρωσο, ἐν Διβίωνι πόλει πρὸς τῇ αὐλικῇ ἀκολουθίᾳ, ἑκατομβαιῶνος ὀγδόῃ ἐπὶ δέκα. ͵α φ κ α.

ΓΟΥΛΙΕΛΜΟΣ

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ
Γερμανῷ τῷ Βριξίῳ εὖ πράττειν.

Ταύτης μὲν τῆς ἐπιστολῆς ἡ ἀρχή, οἱονεὶ παράρτημά τι καὶ προσθήκη ἔσται σοι τῆς ἑώλου, ἣν ὑπὲρ ἐνεστηκότος μοι γράψαντι καὶ κατεπείγοντος τοῦ κομιοῦντος αὐτήν, συμπεράναι οὐκ ἐδυνήθην κατὰ τὴν ἐμὴν γνώμην. περὶ ὅτου μὲν οὖν αἰτούμενος ἔτυχες, Ἰανὸς μὲν ὁ Λάσκαρις φίλος τε σοὶ πάλαι καὶ νῦν ἐπὶ φιλίᾳ ἀπεξενωμένος, ἐνετίησι διάγων, καραδοκεῖν φησὶ τοὺς νεανίσκους, οὕς τινας ἐκεῖθεν πέμψας μετακαλέσασθαι ἔφθακεν εἰς Ἰταλίαν, δεδογμένον ἐν τούτῳ μὴ ἐπιμήκειν αὐτόθεν, πρὶν ἢ καταμάθῃ ὅτι ποθ' οἱ ὑπ' αὐτοῦ πεμφθέντες, διεπράξαντο ἐν τῇ Ἑλλάδι περὶ τῆς ἀνδρολογίας τῆς ἐπὶ τῇ συστάσει τοῦ γυμνασίου. καὶ μὴν ἐγώ τοι αὐτὸν προσκαρτερήσειν οἶμαι τούτοις ὑπομένοντα, κἂν ἐκπροθέσμως ἥκωσι, πρᾳέως τε καὶ εὐγνωμόνως. οἶσθα γὰρ τὸν ἄνθρωπον ἐφόσον ἐμφιλόχωρός ἐστι καὶ ἡδόμενος τῷ παρὰ τοῖς εὐπατρίδαις ἐνδιαιτήματι τοῖς ἐκεῖ. ἄλλως τε μεταξὺ ἐνδιατριβόντων ἐκείνων τῶν ἐπὶ παιδολογίᾳ πεμφθέντων, τῆς βιβλιοθήκης μετὸν αὐτῷ τῆς περιβοήτου, παμπόλλων γε συγγραμμάτων, ὡς λόγος, καὶ ἐξαιρέτων γεμούσῃ. ἐξ ἧς δὴ βίβλους οὐκ οἶδ' ὁπόσας Διοδώρου τοῦ συγγραφέως, αὐτὸς ἀπογράψαι πρότερον ἐκδεδωκώς, ἄρτι πεπομφὼς ἔδωκε τῷ βασιλεῖ,

GVLIELMVS BVDÆVS
GERMANO BRIXIO
BENE AGERE.

HVius quidem epiſtolę primordium, tanquam appendix aliqua & acceſſio tibi erit heſternæ, quam cùm inſtaret mihi ſcribenti, ac ſtimularet is qui eandem perferre debebat, concludere haud potui ex animi mei ſententia. De quo quidem poſcebas, Ianus Laſcaris amicúſque tibi anteà & nunc ex amicitia migrans, Venetiis degẽs, iuuenes ſe ait opperiri, quos illinc cùm miſiſſet accerſere præuenit in Italiam, cùm certum ſit ei minimè redire inde, donec cognouerit quidnam ab eo miſſi confecerint in Græcia de virorum delectu, qui[factus eſt]ob ſtatum & conſtitutionem gymnaſij. Quinetiam equidem ipſum eos præſtolantem ſuſpicor leniter atque candido animo perſeueraturum, etiamſi intẽpeſtiuè venerint. Noſti enim hominem quàm cupidus ſit eius regionis, ac geſtiat eo quod eſt apud patritios & ingenuos illic incolentes hoſpitio. Alioqui interim immorantibus illis qui propter puerorũ delectum miſſi fuerant, cùm ipſi eſſet communicatio bibliothecę percelebris, cõpluribus quidẽ voluminibus, vt ferunt, eximiis refertæ. Ex qua certè libros haud ſcio quot Diodori hiſtorici, ipſe vt deſcriberentur priùs tradidit, paulò antè eos cùm miſiſſet, regi dono dedit,

de Alexãdri incurſionibus, quoddã hiſtoriæ negotiũ, vt cõiectura conſequi fas eſt, inſigne: necdum enim iſtud legi. Quamuis huius doni fide dignam eſſe meam exiſtimationem Laſcaris arbitratus, recta ad meum diuerſorium illud munus geſtantem ire iuſſiſſet. Aulicũ porrò viuendi genus quemadmodũ noſti propter quaſlibet cauſas frequẽter obturbatur. At enim, ô admirande, profusè ridens tu quidem hunc ſermonem intellexeris. Gymnaſia elapſi anni iam tibi caſſa irritáque abeunt, de quibus certè fama luculẽta & expectatio excitata eſt, turbarúmque cauſa ſubitò iacuit, & ſolicitudinibus militaribus omnia nunc morantibus inhibentibúſque. Verùm quid quiſpiã faceret aduerſus res humanas, in quibus profectò fatalis neceſſitas vltro citróque ſolet volutare ea quæ à mortalibus commentata excogitatáque fuerant. Quanquam veluti terreſtria ſunt caduca atque inſtabilia, quod quidem rectè honeſtéque aſtruitur, dignum certè eſt emolumentum quoddam ſubinde præconij ac laudationis reportare, etſi perperam eueniat fortunæ petulantia, nimirum querimonia criminéque abſolui. Non tamen ſanè deſperatum mihi eſſe apparet, neque ex inſtantibus rebus & vrgentibus, illam ſummam celſiſſimámque prouidentiam, penes quam eſt vniuerſitas, etiam melius hæc conſtituturam. Vale, Diuioni oppido,

περὶ τῶν Ἀλεξάνδρου εἰσβολῶν, χρῆμά τι περιττόν, ὡς εἰκάσαι, ἱστορίας. οὐδὲ γάρ πω τούτῳ ἐντετύχηκα. εἰ καὶ τούτου τοῦ δώρου ἀξιόχρεων εἶναι τὴν ἐμὴν πίστιν ὁ Λάσκαρις ἡγησάμενος, τὴν εὐθὺ τοῦ καταλύματός μου, ὃν τοῦτο κομίσοντα ἐκέλευσεν ἰέναι. τὰ μέν τοι τῆς αὐλικῆς διαίτης ὡς ἐπίστασαι περὶ αἰτιῶν τῶν τυχουσῶν πολλάκις παρηνώχληται. ἀλλὰ γὰρ ὦ δαιμόνιε (ἐπικαγχάσας σύ γε τοῦτον ὃν λόγον ὑπολάβοις ἂν) τὰ τῶν γυμνασίων τῶν πέρυσι ἤδη εἰς φροῦδα οἴχεται, ὧν δὴ πέρι φήμη λαμπρὰ καὶ προσδοκία ἐγηγέρθαι, τῶν τε θορύβων εἵνεκα ἐξαίφνης ἀναπεπτώκασι, καὶ σπουδῶν πολεμικῶν πάντα νῦν ἐπεχουσῶν. ἀλλὰ τί ἂν πάθοι τις πρὸς τὰ ἀνθρώπινα πράγματα, ἐφ' ὧν δὴ ὁ χρεὼν ἄνω καὶ κάτω φιλεῖ κυλίνδειν τὰ τοῖς θνητοῖς ἐνθυμηθέντα. καίτοι εἰ ἄγε τὰ ἐπίγεια ἐστὶ ῥευστά τε καὶ ἐπισφαλῆ, ὃ μὲν εὖ καὶ καλῶς ἐπικεχειρημένον, δίκαιον δήπου τυγχάνει ὂν ἆθλόν τι γοῦν ἐγκωμίου ἄρασθαι, κἂν εἰ ἀποτυγχάνεται δαίμονος ἐπηρείᾳ, ἥ πού γε αἰτίας τε καὶ ἐγκλήματος ἀπολελύσθαι. οὐ μὴν δὲ δὴ ἀνέλπιστον εἶναί μοι δοκεῖ, οὐδ' ἐκ τῶν ἐνεστώτων γε πραγμάτων καὶ ἐγκειμένων, ἐκείνην τοῦ σύμπαντος κυρίαν οὖσαν, καὶ τοῦτ' ἂν ἔτι βέλτιον, τὴν ἀνωτάτω πρόνοιαν. ἔρρωσο, ἐν Διβίωνι πόλει.

ἐνάτῃ ἐπὶ δέκα ἰουνίου μηνὸς, ὃν ἑκατομβαιῶνά φασιν εἶναι. ἔτει ἀπὸ τῆς θεογονίας πρώτῳ καὶ εἰκοστῷ πρὸς τοῖς χιλίοις καὶ πεντακοσίοις.

decimo nono Iunij menſis, quem Hecatombæoné aiunt eſſe. Anno à dei natiuitate primo & viceſimo ſupra mille & quingentos.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ

Ἰακώβῳ τῷ Τουσανῷ εὖ πράττειν.

ΑΝελίξαντί μοι ἄρτι τὰς ἀποδοθείσας μοι παρὰ τῶν φίλων ἐπιστολὰς, τρίτον ἤδη μῆνα τοῦτον ἀποδημοῦντι, ἐν τοῖς τῆς σκευαγωγίας τῆς ἐμῆς σωζομένας, καὶ εἰς χεῖρας ἐλθούσης μιᾶς τῶν σῶν, εὐθὺς ἐπῆλθεν, εἰς ὅσην ἔγωγ᾽ ἔλαθον ὑπερημερίαν ἐξολισθὼν, πολὺν ἤδη χρόνον διαλιπὼν, καὶ οὐκ ἀντιγράψας τῇ ἑτέρᾳ αὐτῶν τῶν ἐπιστολῶν. σύ γε μὴν οἶμαι τὴν ἐνθένδε προσδοκῶν ἀμοιβὴν, ἐν τούτῳ τῷ μεταξὺ χρόνῳ ἡσυχίαν ἀργὴν τόγε κατὰ τοῦτο ἀσπάζῃ, ὡς ἐνὸν δή που ἀνεγκλήτως τε καὶ εὐπροφασίστως τῷ διαλείμματι τούτῳ ἐφησυχάζοντά σε, τοιαύτην κερδᾶναι ἐργασίαν, καὶ τὴν ἐμὴν ἀσχολίαν τοῦτό γε καὶ τὴν πολυπραγμοσύνην ἀπολαῦσαι. καὶ μὴν τοιόνδε τινὰ σὸν εἶναι λογισμὸν ῥᾳδίως πείθω ἐμαυτὸν, εἰδότα σε ἐν μὲν τῷ ἐπικύψαι ταῖς βίβλοις καὶ ἐμμένειν, ἄκρως φιλόπονον καὶ διακαρτεροῦντα, εἰς δὲ τὸ γράψαι διαμελλητὴν καὶ ἀποκνητικόν τινα. ἀμφιλαφῆ μὴν οὖν ἀφορμὴν εἶχον ἐγκλήματός του οὐ τοῦ τυχόντος, καὶ οὐκ ἂν φιλαιτίως ἐγ-καλέσαι

GVLIELMVS BVDÆVS

IACOBO TVSANO BENE AGERE.

PAulò antè aperienti euoluentíque mihi ab amicis redditas epiſtolas, tertium iam hunc menſem peregrinanti, in mea ſarcina aſſeruatas, & in manus accedente vna tuarum, ſubitò in mentem venit, in quantam equidem dilationem imprudenter lapſus ſim, prolixo iam tempore interpoſito, miniméque ex oppoſito reſpondens alteri ipſarum epiſtolarum. Tu autem ni fallor hinc expectans talionem, in hoc intermedio tempore tranquillitatem otioſam & incultam quantum ad iſtud attinet comiter apprehendis, tanquam liceat nempe inculpatè atque ſub excuſationis velamine in iſta intermiſſione conquieſcentem te, huiuſmodi lucrifacere occupationem, & eam quidem haurire ex meis negotiis multiplicibúſque ſtudiis. Quinetiam talem eſſe tuam conſiderationem facilè mihi ipſi perſuadeo, cùm te cognoſcam in ſtudioſè vacando libríſque immorando, egregiè ſtrenuum & obdureſcentem, ad ſcribendum autem ceſſatorem & pigrum. Copioſam verò anſam & occaſionem haberem accuſationis huius minimè plebeiæ, haudque litigioſè incuſare

apparentis, ſi vituperare tentarem talem errorem, nempe officium vſqueadeò derelictum. In hanc quoque ſuſpicor commentationẽ ſubitò feſtinarem, niſi queruloſum te eſſe nouiſſem & in tutando tuas partes vehementem, ex quo tempore propoſuiſti philoſophari cum his qui ſunt à deambulatione palatina, & his adiacere qui leges argutè exponunt & enarrant, in earúmque callida interpretatione ſubdola cauillatione vtuntur. Formido enim equidem ne tu facundiæ vehementia me rapias artificioſa illa oratione ſoluta vtens, quam à ſolertiſſimis hiſce aduocatis tu quidem accepiſti, deueniens ac erumpens ex ſtudio literario, ô Iupiter & Mercurj, ad diſceptandum de ſacerdotiis. Quanquam quæſo per Deum, ſi ſplendidæ quidem defenſioni & venuſtæ incumbere ſtatueris, quidnam dicere valeas vel quid intelligere, quominus ingenti tu quidem inurbanitati ſis obnoxius apud eos quidem qui incorruptè iudicant, ſi in ampla ceſſatione ac mora degas. Et ſolam, vt ſic dicam, vehementem in ſtudio literario occupationem exercens: non enim profectò litigioſam artem in excuſationem attuleris: ſimilia ſimilibus teipſum retuliſſe defenderis. Apertè enim noxiꝰ fueris æqualia à nobis exigens, talia quidem modò tractare minimè valentibus, è conuerſo porrò affectis, & laborioſè perquirentibus indagantibúſque ea quæ iſtis ex diametro, vt vulgò fertur, repugnantia ſunt.

δόξαιτος, εἰ μέμψασθαι ἐπεχείρησα τοιούτου πλημμελήματος, τουτέστι τοῦ καθήκοντος οὕτως ἐγκαταλελειμμένου. καὶ δὴ εἰς ταύτην οἶμαι τὴν μελέτην αὐτίκ' ἂν ἵεμην, εἰ μὴ φιλόδικόν σε γνόμενον ᾔδειν καὶ δικαιολογεῖσθαι δεινόν, ἐξ οὗ χρόνου τοῖς ἀπὸ περιπάτου τοῦ παλατίνου συμφιλοσοφεῖν προείλου, καὶ πλησιάζειν τοῖς τὰ νόμιμα ἀγχίνως ἐξηγουμένοις, καὶ περὶ ἑρμηνείαν τούτων σοφιζομένοις. δέδια γὰρ ἔγωγε μὴ σὺ καταρρητορεύσῃς με ῥᾳδιουργῷ ἐκείνῃ λογογραφίᾳ χρώμενος, ἣν ἀπὸ πανουργοτάτων τουτωνὶ τῶν δικαιολόγων σύ γ' ἔμαθες, ὁ ἐκ τοῦ φιλολογεῖν, ὦ Ζεῦ καὶ Λόγιε, ἐπὶ τὸ διαδικάζεσθαι περὶ τὴν ἱερωσύνην περιαχθείς. καίτοι πρὸς τοῦ θεοῦ, εἰ σεμνολόγῳ γενναίῳ ἀπολογίᾳ καὶ εὐπροσώπῳ προσέχεσθαι διεγνωκὼς εἴης, τί ἂν εἰπεῖν δύναιο ἢ τί ἐνθυμηθῆναι, τοῦ μὴ πολλὴν σε ἀγνωμοσύνην ὀφλεῖν παρά γε τοῖς ὀρθῶς δικάζουσιν, εἰ ἐν βαθείᾳ σχολῇ διαστρεφόμενος. καὶ μόνην, ὡς ἔπος εἰπεῖν, ἐργαζόμενος τὴν σπουδαστικήν (οὐ γὰρ δὴ τὴν ἀμφισβητητικὴν ἂν προφασίσαιο) ἴσοις ἴσα ἀμείψασθαι σαυτὸν ἀπολογῇ. προδήλως γὰρ ἀδικήσεις ἴσας ἡμᾶς εἰσπραξάμενος, τοὺς νῦν τὰ τοιαῦτα μὴ μεταχειρίζεσθαι οὐ δυναμένους, ἀντεστραμμένως δὲ ἔχοντας, καὶ πολυπραγμονοῦντας τὰ τούτοις ἐκ διαμέτρου, φασίν, ἀντικείμενα.

ἐγὼ μὲν οὖν εἰ καὶ πράγματα πόλλ' ἔχων, καὶ λειτουργίας λειτουργῶν ἀήθεις, ἀτελείας γε κεκτῆσθαι τῶν εἰθισμένων δίκαιός εἰμι, ὅμως ταύτῃ χρήσασθαι οὔπω ἐνεθυμήθην, οὐδ' ἂν ἐνθυμηθείην γε εὖ ἴσθι. ὃς δὴ εἰς ἀπειρίαν πολλὴν τῶν ἀναγκαίων ἢ λυσιτελούντων γε τοῖς τὰ τοιαῦτα φρονοῦσι καθεστηκώς, καὶ πόρρω που γεγονὼς τῶν τ' ἀνθρώπων τῶν τε πραγμάτων τῶν ἀναμνησόντων με τούτων, συχνὰς ὅμως ἐπιστολὰς ἐπιτίθημι ὁπόπη παρείκοι, τὰς μὲν πρὸς τοὺς οἰκείους καὶ προσήκοντας, τὰς δὲ πρὸς τοὺς ἔξωθεν τοὺς ἔνθεν με κἀκεῖθεν προκαλουμένους. εἰ δὲ προφάσεις ὁπωστιοῦν προφασίζεσθαι βουλοίμην, πρόχειρον ἦν δή που καὶ εὔλογον τὸ καὶ τὸ αἰτιᾶσθαι τῶν πολλῶν, τῶν τοὺς ἐνταῦθα διαιτωμένους ἀπασχολεῖν εἰωθότων. εἶτα κἂν εἰ σχολὴ ἡμῖν παρείη, καὶ τῶν ξενοδόχων γε οἴκων στενοχωρίαν ἐφεξῆς ἐπιφέρειν ἐξῆν, καὶ τόπων τῶν ταύτην ἐργασίαν ἐνδεξομένων πόθον, ὧν ἡμεῖς τὰ πολλὰ κατενδεεῖς τυγχάνομεν ὄντες ἐν τῇδε τῇ διαίτῃ ἀλυούσῃ τε καὶ περιφερομένῃ. ἐῶ δὲ λέγειν, ὡς ἄρα ἡ τῶν βιβλίων ἔνδεια, καὶ ἡ πόρρω τῆς ἐμῆς φιλολογίας ἀποδημία, ἀμνησίαν ἂν τελευτῶσ' ἐμποιήσειε μόνη γε, τῶν πρὸς τὰ μαθήματα καὶ τοὺς λόγους καθηκόντων, καὶ δὴ καὶ πάντων σχεδὸν ὧν ἡμεῖς προτοῦδε ἐθεραπεύομεν ἐν τοῖς μάλιστα.

Ego verò licet negotia multa habens, ac inſueta exercens munera, immunitatem quidem aſſuetorum adipiſci dignus ſum, nihilominus eadem vti nondum animo concepi, nec mente quidem volui ſat intelligis. Qui certè in ingenti penuria rerum frugiferarum aut cõmodarum quidem his qui talia intelligunt conſtitutus, & procul cùm ſim ab hominibus negotiíſque iſta in meam memoriam reducentibus, permultas nihilominus epiſtolas tribuo ferendas quacunque oblata occaſione, has quidem ad meos domeſticos & propinquos, alias verò ad externos hinc & inde me prouocãtes. Si autem excuſationes quacunque ratione prætendere vellem, promptum & facilè eſſet vtique & rationi congruens hoc & illud ex multis culpare, quæ aſſueta ſunt hîc degentes detinere. At interim quamuis mihi otium ſupereſſet, etiam domorum ad excipiẽdos hoſpites quidem anguſtiam deinceps allegare liceret, locorúmque hunc laborem admittentium cupiditatẽ, quorum nos ſæpenumerò indigẽtes ſumus in hoc vitæ genere aberrante atque vagante. Porrò ſilentio prætermitto, quòd ſcilicet librorũ defectus, & remota à meo ſtudio literario migratio, obliuionem tandem induxerit ſola quidem, ex his quæ conueniunt eruditioni ingenuarúmque artium ſtudiis, tum vel maximè omniũ propemodũ quæ nos dudũ obſeruabamus in primis.

Nullus quippe eſt qui mulierē quādam adamans, huiúſque ſpecie & elegantia ſuperatus, ceſſauerit huic incumbere, multúmque diremptus ab ea, & aliò ingenium diſtrahens. Quandoquidem recenti etiā quiſpiam amori vel curæ adhærēs, non præoccupat fere priſtinum continuò miſſum facere. Tuæ igitur erant partes, ô bone vir, excitare quidem denuo priſtinam animi mei conſtantiam ac promptitudinem ad ea quæ à vobis illic philoſophantibus libenter amplexa excultáque ſunt, vltro excitatam, ſi me ſub inſuetā vitæ rationem decidiſſe opinabaris: quod profectò coniicere debebas ex his quæ haud viciſſim ſcripſiſti cùm ex aduerſo non ſcripſiſſem ego: ſuſcitare autē honeſtiſſimarum exercitationum amorem, ſi tibi apparebat extinctus eſſe vel intabeſcere, nunc autem nil tale faciens, conſcius es vtique expoſtulationis cuiuſdam aut amicæ incuſationis. Atqui tu quidem fortaſſis in penetralia regreſſus vehementis laboris & in tui ipſius ſanè & amicorum contemptū veniſti. Te autem exiſtimo etiam paulò antè diligentiorem non immeritò effectum: ſed voluntarium animi impetum priorem, famam inſuper exacuiſſe quæ hinc vt comperio diuulgata eſt, quemadmodū certè rex gymnaſium inſtituere decreuit in vrbe, commemorandúmque ordinem componere virorum doctrina pollentium optimas literas enarraturorum, præterea

οὐδεὶς γοῦν ἐστὶν ὅστις γυναῖκά τινα φιλῶν, καὶ ταύτης τοῦ κάλλους κεκρατημένος, οὐκ ἂν προσέχων αὐτῇ παύσαιτο, πολύ τε ἀπηρτημένος αὐτῆς, καὶ ἄλλοσέ ποι τὸν νοῦν περισπώμενος. ἐπεὶ καὶ καινοῦ τινος ἔρωτος ἢ προσοχῆς ἀντιχόμενος, οὐ φθάνει σχεδὸν τοῦ παλαιοῦ παραχρῆμα μεθιέμενος. σὸν οὖν ἦν ἔργον ὦ 'γαθὲ ἐπανιστᾶν μὲν πάλιν τὴν ἐμὴν εὐψυχίαν τὴν πάλαι, πρὸς τὰ ὑφ' ὑμῶν τῶν αὐτόθι φιλοσοφούντων ἠγαπημένα, αὐθαιρέτως ἐγηγερμένην, εἴγε ἀπὸ τῆς ἀνεθίστου διαίτης ἀναπεπλωκέναι ὑπελάμβανες· ὃ δὴ ὑπολήψεσθαι ἔμελλες ἐξ ὧν οὐ πάλιν ἔγραψας μὴ ἀντιγράψαντός μου· ἀναζωπυρεῖν δὲ τῶν καλλίστων γυμνασμάτων ἔρωτα, εἴ σοι ἐδόκει ἀπεσβεσμένος εἶναι ἢ μεμαράνθαι. νῦν δ' οὐδὲν τοιοῦτο ποιῶν, ὑπαίτιος εἶ δήπουθεν ἐπιμέμψεώς τινος ἢ φιλικῆς ἐγκλήσεως. ἀλλὰ μὴν σὺ μὲν ἴσως εἴσω ἀνακεχωρηκὼς τῆς ἄγαν φιλοπονίας, καὶ σαυτοῦ δὴ καὶ τῶν φίλων εἰς ἀμέλειαν κατέστης. οἶμαι δέ σε καὶ νεωστὶ σπουδαστικώτερον οὐκ εἰκῆ γενόμενον. ἀλλὰ τὴν αὐτόματον ὁρμὴν τὴν προτέραν, τὸν λόγον προσανακινῆσαι τὸν ἐντεῦθεν ὡς πυνθάνομαι διά τε θρυλλημένον, ὡς ἄρα ὁ βασιλεὺς γυμνάσιον ἐνστήσασθαι διέγνωκεν ἐν τῷ ἄστει, σύνταξίν τε ἀξιομνημόνευτον συντάξαι ἀνδρῶν πεπαιδευμένων τὰ κάλλιστα τῶν γραμμάτων ἐξηγησομένων, ἅμα

δὲ καὶ τῶν ἀκροασομένων τούτων νέων, καὶ ἑκατέρᾳ δὴ τῶν γλωττῶν ἐμφιλοπονησόντων. περὶ οὗ γ' οὐδὲν ἄλλο σοι ἡμεῖς τούτου πω μεμνημένῳ ἐν τῇ σῇ ἐπιστολῇ, πιστώσασθαι ἂν ἀκινδυνότερον δυνηθείημεν, εἰ μὴ ἐπιφανὲς τόδε τὸ φιλοτίμημα τὸ βασιλικὸν εἰς τὸ μέλλον γενησόμενον, ἣν ὁποίᾳ γε προθυμίᾳ καὶ εὐψυχίᾳ τούτου τοῦ προαιρέματος αὐτὸς ὁ βασιλεὺς ὁρμὴν μὲν ἐπεβάλετο, λόγῳ δὲ μόνον κατῆρξε, τοιᾷδε καὶ τῷ ἔργῳ αὖθις τύχῃ ἐπεξεληλυθὼς καὶ ἐπιδεδαψιλευμένος. καὶ μὲν δὴ καὶ ἄχρι τούτου προσκατεγγυᾶν τήν τε πίστιν τὴν ἐμὴν καὶ τὴν δόκησιν οὐκ ὀκνοίην ἄν, ὡς ὑπισχνεῖσθαί σοι καὶ τοῖς ἄλλοις τοῖς τὰς μούσας ἐπὶ τῇ παιδείᾳ ταύτῃ θεραπεύουσιν, εὐδοκιμήσειν ἐν τοῖς πάνυ τὰς δόξας ἐπικτησομένους ἀπὸ τῶν λόγων τῶν καλῶν καὶ ἐλευθερείων ὀνομαζομένων, ἐπὶ τούτου τοῦ ἄρχοντος. ἤν γε αὖθις διατελέσῃ ἐρρωμένος τὸ σῶμα, καὶ κατὰ τὰ πρὸ τοῦ εὖ φερόμενος ἐν τῇ ἀρχῇ, καὶ μὴ ἄλλοσε ἀφελκόμενος. καὶ γάρ τοι, πρὸς τῷ εὐφυὴς καὶ μνημονικὸς εἶναι ἐξόχως καὶ ὑπερφυῶς, ἀναγνώσταις τε τῶν ἀξιολόγων ἱστορικῶν, καὶ τοῖς ἔνδοξα ἀπομνημονεύματα ὅτε ἔτυχεν ἀφηγουμένοις, ἑαυτὸν ἐνδιδόναι ἀσμενίζοντα, προσέτι καὶ τὰ τῶν παλαιῶν τῶν ἐν ἀξιώματι, ἄγασθαί τε καὶ διὰ τιμῆς ἄγειν εἴωθε.

verò adoleſcentum eoſdem auditurorum, & in vtraque profectò lingua ſtudium & induſtriam collocantium. De quo quidem aliud nihil tibi nos iſtud adhuc in tua epiſtola memoria tenenti, iureiurando aſſeuerare magis tutò valeremus, niſi illuſtrem hanc regiam magnificentiam in futurum euenturam, ſi eiuſmodi quidem animi propéſione ingeniique magnitudine huius inſtituti idem rex conatum quidem ſuſceperit, ſermone autem duntaxat auſpicatus eſt, tali etiam re & opere ipſemet perſecutus fuerit, ac magnificè exhibuerit. Et verò interea inſuper obſtringere & meam fidem & expectationem non dubitarem, vt polliceri queam tibi aliiſque muſas ob eruditionem hanc obſeruantibus, bonæ exiſtimationis futuros ac benè audituros ante omnia eos qui ſplendorem ſunt adepturi ex humanioribus diſciplinis, quæ honeſtæ & liberales nuncupantur, huius principis tempore. Si certè ipſe aſſiduè perrexerit robuſtus eſſe corpore, & vt elapſo tempore feliciter vt in exordio cum illo agatur, nec aliò impediatur. Et enim vltra quod ſcitus ac ſolers feliciſque memoriæ eſt mirum in modum & eximiè, lectoribúſque memorabilium & claſſicorum hiſtoricorum, & his qui ſplendida commentaria dum fortè euenerit exponunt, ſeipſum lubentem condonare, præterea etiam ſcripta priſcorum, qui ſunt in auctoritate, ſuſpicere atq. cũ obſeruãtia colere pro more habet,

idem ſe auſcultandi auidū ac manſuetum præbens eadem explanantibus, eóſque ex omni affectu audit. Summatim verò dicam, naturæ miraculum quoddam egregium hunc eſſe virum ad omnia laudanda facilè propenſum, quæ & in pace, & in bello ſummo ſtudio obſeruantur. Porrò autem tantis virtutibus tanquam faſtigium ipſa prouidentia imponens, benignitatémque electam & facilitatem homini omnibus ipſi adiacentibus exploratam ingenerauit, quod certè nobis gratum iucundúmque eſt potiſſimum & commemorandum qui ſcripta Græcorum cognoſcimus. Ad tantam enim iam opinionem ac ſplendorem Græcarum literarum peritia peruenit, multarū & variarum præcedentium de ipſa explicationum cauſa, vt cuncti nūc propemodum arbitrentur ſolos ad legitimam & omni laude cumulandam doctrinam proceſſiſſe eos qui auſpicatò eidem ſtudioſè incubuerunt. Atqui huic literarum gloriæ emergenti, ego ipſe in ſenium vergens obuiam procedens, vobis qui in valida floridáque ætate nūc eſtis, congratulari magis quàm ſimul ea perfrui mihi videor, quorū vehementia ipſius exercitij, certamen commiſſura quidem exiſtimatur cum adumbratæ opinionis languido remiſſóque conatu ac diſciplinæ ingloriæ prodigióſæque, & aſſequi gloriam decorè ſuſcepti ſtudij atque felicis. Saluto ſubpræfectum ex ore tuo

φιληκόως ὄγκ᾽ ἔχων καὶ ἐπιεικῶς πρὸς τοὺς ταῦτα διεξιόντας, καὶ τούτων ἐμπαθῶς ἐπαΐων. συνελὼν δὲ φαίην ἄν, χρῆμά τι περιττὸν φύσεως τοῦτον εἶναι τὸν ἄνδρα, εἰς πάντα τὰ ἐπαινετὰ εὐπερίτρεπτον, τά τε κατ᾽ εἰρήνην, καὶ τὰ ἐν τῷ πολεμεῖν σπουδαζόμενα. τοσαύταις δὲ δὴ ἀρεταῖς ὡσπερεὶ κολοφῶνα ἡ πρόνοια ἐπιτιθεῖσα, φιλανθρωπίαν τε ἐξαίρετον καὶ ἐπιείκειαν τὴν ἀνθρώπῳ, ὑπὸ πάντων δὴ τῶν πλησιασάντων αὐτῷ ὁμολογουμένην ἐνέφυσε, ὃ μέντοι ἀγαπητὸν ἡμῖν μάλιστα καὶ ἀξιομνημόνευτον, τοῖς τὰ τῶν ἑλλήνων φρονοῦσιν. εἰς τηλικαύτην γὰρ ἤδη ὑπόληψιν καὶ δόξαν ἡ τῶν ἑλληνικῶν λόγων ἐπιστήμη περιέστη, ἐπὶ πολλαῖς καὶ ποικίλαις ταῖς προτέραις περὶ αὐτῆς ἀποφάσεσιν, ὥστε πάντας νυνὶ σχεδὸν ἡγοῦνται μόνους εἰς γνησίαν καὶ ἀξιέπαινον παιδείαν προβεβηκέναι τοὺς ταύτῃ ἐπιτυχῶς ἐμφιλοπονήσαντας. ἀλλὰ γὰρ ταύτῃ τῶν γραμμάτων εὐδοξίᾳ ἀνατελλούσῃ, παρηκμακὼς αὐτὸς ὑπαντῶν, ὑμῖν τοῖς ἐν ἡλικίᾳ νῦν οὖσιν ἐπακμαζούσῃ, συνησθήσεσθαι μᾶλλον ἢ συναπολαύσειν μοι δοκῶ, ὧν ἡ ἀκμὴ τῆς ἐξασκήσεως, συνάψειν μὲν νομίζεται τῆς τε ψευδοδοξίας τῇ παρακμῇ καὶ παιδεύσεως τῆς παρασήμου, καρπώσεσθαι δὲ τὴν εὔκλειαν τῆς κατωρθωμένης φιλοπονίας καὶ εὐτυχοῦς. προσαγορεύω ἀπὸ τοῦ στόματος σου τὸν ὑποδιοικητὴν

τὸν

τὸν καλὸν κἀγαθὸν ἄνθρωπον (ὡς ἔοικεν) ἀπεστραμμένον τὴν δι' ἐπιστολῶν κοινολογίαν, τὴν διεστώτων τῶν ἑταίρων τὸ εὔνοιαν παρακατέχουσαν, ὅπως τε τὰ ἀλλήλων δι' ἐπιμελείας ἔχωσι διαγγέλλουσαν. ἔρρωσο, ἐν Ρωμοραντίῳ, ἰανουαρίου μηνὸς πέμπτῃ φθίνοντος. οἱ ἀττικοὶ οἶμαι γαμηλιῶνα λέγουσιν, ἔτει εἰκοστῷ πρὸς τοῖς χιλίοις καὶ πεντακοσίοις.

elegantem ac bonum hominem, vt conſtat, faſtidientem & auerſantem per epiſtolas collocutionem, quæ diſtinctorum ſeiúctorúmque ſodalium amorem coërcet ac retinet, vtque mutua negotia curæ habeant denuntiat. Vale, Romorãtij, Ianuarij menſis deficientis quinto. Attici, vt opinor, Gamelionem appellant, anno vicesimo ſupra mille & quingentos.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ

Γουλιέλμῳ τῷ Μαΐνῳ εὖ πράττειν.

ΔΡάκοντα τὸν υἱὸν ἤδη ἐκ τῆς νόσου ἀναλαμβάνειν καὶ ἀνακτᾶσθαι ἑαυτὸν, πῇ μὲν ὑπὸ σοῦ ἐγνωκὼς ἱκανῶς, τὴν ψυχὴν περὶ τούτου τὴν ἐμὴν πιστωσαμένου, πῇ δὲ, ἐξ αὐτοῦ ῥαΐσαντος γεγραφότος ἐμοὶ ἰδιοχείρως. περὶ μὲν οὖν τῆς σωτηρίας αὐτοῦ τῷ θεῷ χάρις καὶ τοῖς ἰατροῖς. εἰς δὲ τὸ μετὰ τοῦτο τῆς προσδοκίας αἰωρούμενόν με ἐξ ἐκείνης τῆς ἐλπίδος κατέχει, ἧς τούτου ἡ εὐφυΐα τις οὐχ ἡ τυχοῦσα, καὶ προαίρεσις εὔψυχος, δεῖγμά τι ἐμφαίνεσθαι ἐν τῷ πρόσθεν ἔοικεν, ἐφ' ἧς δὴ ἅτε ἐφ' ἁρμαμάξης τινος ὁ θυμὸς ἐμὸς ἐποχούμενος ἐν τῇ δε τῇ ἀποδημίᾳ ἧττον κατατρύχεται, καί περ ταλαιπώρῳ γ' αὐτῇ καὶ ἀηδίας γεμούσῃ.

GVLIELMVS BVDÆVS GVLIELMO MAINO BENE AGERE.

DRaconem filium iam à morbo reſpirare ac refocillare ſeipſũ, partim quidẽ ex te abunde reſciui, animum de ipſo meum qui exploraſti, partim verò, ex ipſo ſe meliuſculè habente cùm ſcripſerit ad me propria manu. Sanè quidem pro ſanitate ipſius deo ſit gratia ac medicis. In ſubſequentem porrò expectationem hæſitantem me ex illa ſpe tenet & occupat, cuiꝰ, iſtius indoles quædam minimè vulgaris, & conſtans electio, ſpecimẽ quoddam patefacere in fronte videtur, in qua profectò tanquam in vehiculo quodam mei animi cõfidentia vecta in hac peregrinatione minùs affligitur, quamuis ærumnoſa quidem ipſa triſtitiaque & acerbitatis plena. Maximéque tua quidem pollicitatione, noſtram expectationem ac deſiderium confirmante, cùm etiam hæc epiſtola nouiſſima atque eandẽ antecedẽs ſit,

καὶ ταῦτα τῆς ἐπαγγελίας μὲν τῆς σῆς, τὴν ἡμετέραν προσδοκίαν ἐπιρρωσάσης, τῆς δ' ἐπιστολῆς τῆς ἐσχάτης τε καὶ τῆς ταύτης προηγουμένης,

tanquam pro fiducia & ſponſione induſtrię filij, tum verò rei euentum iuxta progreſſum eius fermè præſtet atque recipiat: videatúrque præterea polliceri ipſum dignum fore, vt meæ claritatis hæres fiat ſpectantis ad eruditionis amorem. Ob quam cauſam equidem abunde recreatus exhilaratúſque fui, mœrorem certè propellens ex illius morbo collectum. Tu quippe idoneus ac ſufficiens defenſor fueris huius promiſſi quidem, ſi quis alius. Præterea verò ipſe quoque Draco per literas ſuas, denunciat ſe detrimentum reſtauraturum temporis incaſſum contriti. Quacunque ex cauſa hunc ipſum commonefeceris eorum quæ per epiſtolã quàm lautiſſimè mihi largéque, ſignificauit, quorúmque tu ipſius gratia debitor ac ſponſor effectus es. Interea verò commendatum ſit tibi & omne reſiduum meæ ſobolis copioſæ, ne videar neglexiſſe hanc etiam partem, tanquam non omnino beneuolè piéque affectus. Vale, in aulæ comitatu, Maij ſexto die incipientis.

BVDÆVS MAINO.

IN memoriã reuoco me tibi ſcripſiſſe iam tempus opportunum eſſe, vel breui quidem fore, dum ij qui in literario ſtudio minimè fucato probatóque exercitati ſunt & perpoliti, ac ſpecimen dare certè non pigritantes, honore afficiantur & pro merito ſorte aliqua vtentur quantum ad regem attinet,

ὡσπερεὶ γενομένης ἐγγυητείας τῆς τοῦ παιδὸς φιλοπονίας, καὶ δὴ καὶ τὸ μέλλον μετὰ τὴν προκοπὴν μονονοὺκ ἐγγυωμένης τε καὶ ἀναδεχομένης. ἅμα δὲ καὶ αὐτὸν ἄξιον ὑπάρξειν δοκούσης ὑπισχέσθαι, τῆς ἐμῆς ἐπιφανείας κληρονομῆσαι τῆς κατὰ φιλομάθειαν. ἐφ' ᾧ δὴ ἐπιεικῶς ἔγωγε ἐφαιδρύνθην, τὴν ἀθυμίαν δὴ ἀποσεισάμενος τὴν ἀπὸ νοσήματος αὐτοῦ ἀνηρημένην. σὺ γάρ τοι ἀξιόχρεως εἴης ἂν εἴ τις ἄλλος, τούτου τοῦ ἐγγυήματός γε. ἐπὶ δὲ τούτοις καὶ αὐτὸς ὁ Δράκων διὰ γραμμάτων τῶν αὐτοῦ, ἐπαγγέλλεται τὴν βλάβην ἀποκαταστήσειν τὴν τοῦ χρόνου ἀπολωλότος. ὅπως οὖν τοῦτον ἀναμνήσης αὐτὸν ὧν τε δι' ἐπιστολῆς ὑπερφιλοτίμως μοι καὶ δαψιλῶς ἐπήγγελται, ὧν τε σύ γ' ἀντ' αὐτοῦ ὑπόχρεως πεποίησαι. ἅμα δὲ συνεστάσθω σοι καὶ ἅπαν τὸ λοιπὸν τῆς ἐμῆς πολυπαιδίας, ἵνα μὴ ὠλιγωρηκέναι δοκῶ καὶ τούτου τοῦ μέρους, ὡς μὴ φιλοστόργως παντάπασιν διακείμενος. Ἔρρωσο, ἐν τῇ τῆς αὐλῆς ἀκολουθίᾳ, μαΐου ἕκτῃ ἱσταμένου.

ΒΟΥΔΑΙΟΣ ΜΑΙΝΩ.

ΚΑΙρὸν ἤδη εἶναί σοι μέμνημαι γεγραφὼς, ἢ οὐκ εἰς μακράν γε ἔσεσθαι, ὅτ' οἱ περὶ τοὺς λόγους ἐξησκημένοι τοὺς γνησίους καὶ δοκίμους, καὶ ἐνδείκνυσθαι δὲ οὐκ ὀκνοῦντες, διὰ τιμῆς ἀξιωθήσονται καὶ κατ' ἀξίαν προσέξουσι τύχῃ γε ἐπὶ βασιλέως,

καὶ τοῖς ἐν πρώταις ἀξιώσεσιν. οὓς δὴ θαυμάζειν τὴν πολυμάθειαν ὁρῶ, καὶ καλλιλογίαν προτιμᾷν τῆς παχυμεροῦς σοφίας καὶ φράσεως δεομένης. οὗ δὴ πράγματος σκέψις καὶ μνήμη, ἀναδιπλασιάσειν σοι τὴν εὐθυμίαν μέλλει τὴν περὶ τῶν πιθανῶν λόγων σπουδὴν αὐθαιρέτως πρότερον ὁρμησαμένην. βουλοίμην μέντοι καὶ σὲ διάθεσίν τινα ἐμποιῆσαι τοιαύτην ἐν τῇ ψυχῇ Δράκωνος καὶ τῶν ἄλλων μαθητῶν σῶν, ἵνα καὶ αὐτὸς ἀνανεώσηται τὴν ἐπὶ πολυμαθείᾳ φιλοπονίαν, καὶ φιλοτιμήσηται πρὸς τοὺς ἡλικιώτας μὴ ὑστερίζειν αὐτῶν. ἅμα δὲ τοῦτο ποιοῦντι καὶ τὸ κεκομψευμένον τε καὶ εὐτράπελον τοῦ ἤθους ἐκμαθητέον, ὅπου γε τοῦτ' ἐστὶ καλλώπισμα τῆς εὐφυΐας διαπεποιημένης ἐν μαθήμασι καὶ λόγοις εὐδοκιμοῦσιν. ἡ ἀπάλαιστρος δέ τινων σοφία, τὸ γλαφυρὸν καὶ ἀστεῖον τῆς ὁμιλίας ἑαυτῇ μὴ προσκτησαμένη, οὐδὲν ἄλλο ἢ κενοσοφία ἐφάνη, ἐπὰν εἰς μέσον προέλθωσιν. ἐμποιοῦ οὖν αἴσθησίν τινα σύ γε δριμεῖαν τοῦ μέλλοντος ἐν τοῖς παισίν, ὅπως προαισθέσθαι καὶ διαγνῶναι δυνηθῶσιν οἷοι ἐξ οἵων γενήσονται, ἐὰν ἡ ἐπιμέλεια σφῶν καὶ σπουδὴ ἑαυτὴν εὐκαίρως ἐνδῷ συνάψουσαν τῇ τύχῃ παραγενησομένῃ. ἐὰν δ' αὖθις ἑαυτῶν καταμελῶσιν, ὅπως οὐκ ἐξέσται εἰσαῦθις μεταμελομένοις τὸ ἡμαρτημένον ἐπανορθῶσαι. ἔρρωσο.

& eos qui in prima ſunt dignitate amplitudinéque. Quos profectò admirari venerarique multiiugam doctrinam aſpicio, & in dicendo excellentiam pluris facere ac præferre craſſæ indiſertæque ſapientiæ & eloquentia indigenti. Cuius certè rei commentatio & commemoratio, geminare tibi animi tranquillitatem debet quæ eſt circa iucundarum magnámque auctoritatem obtinentium literarum curam, vltrò anteà incitatam. Quanquam velim & te habitum quendam inſerere talem in animo Draconis & aliorum tuorum diſcipulorum, vt & ipſe renouet induſtriã quæ eſt in multiplici doctrina, & obnixè conetur apud coætaneos ne inferior ſit ipſis. Præterea id facienti etiam vrbanitatem atque comitatẽ morum ediſcendum eſt, quandoquidem iſtud eſt honeſtamentum & decus indolis expolitæ in diſciplinis & literis benè audientibus. Inexercitata porrò nonnullorum ſapientia, ornatum & feſtiuitatem doctrinæ ſibi ipſi quæ non aſſumpſit, nihil aliud quàm vana ineptáque ſapientia apparet, poſtquam in medium prodierint. Inducito ergo intelligentiam quandam tu quidem acrem & vehementiam futuri euentus in pueros prout valeãt præcognoſcere quales ex quibus erunt, ſi ſua ſedulitas & cura ſeipſam tempeſtiuè dederit cohærentem fortunæ acceſſuræ. Si verò contrà ſeipſos neglıgunt, quomodo non licebit amplius pœnitentibus delictum emendare. Vale.

GVLIELMVS BVDÆVS GVLIELMO MAINO BENE AGERE.

DEcernenti quidem mihi ſcribere ad te, ô Maïne, meas literas cupientem, quòd verò ſcriberẽ in præſenti nihil aſſecuto, facultatémque deſideranti, hoc ſubinde ni fallor pro argumento fuerit, ſi poſſim aliquo pacto animo concipere epiſtolium quoddam aſpernabile, duntaxat oratione ſoluta conſtans & dictionum cohærentia, nulla quidem ſententia omnino inexiſtente, cuius, conſequentiæ ipſius iunctura cõplicatióque erit effigies ac ſimulachrum. Quanquam ipſe circa hanc commentationem inopem & ſimplicem me gerens & cum difficultate ſumma excogitantem, inferiorem nempe expectatione tua conſcribam epiſtolam, ſententiámque exilem magis necnõ inuolutam quæ habeat, itémque denuntiationem, quàm vt ipſa cenſeatur tibi deſideranti eſſe ſat idonea. Adhæc equidem cùm frequenter rapuiſſem quamlibet opportunitatem, & ad ſcribendum ſuppoſita narrare ſupra id quod iuſtum eſt ſolitus: id enim mihi aliquoties facienti conſcius ſum cõmodè caſtigare necnon propulſare perquàm abundè ſeipſam præbentem enarrationem: & elocutionem nunc moderatione indigens ſum, neque poſſum complere iuſtam magnitudinẽ triuialis vaniq. epiſtolij. Quã certè cõiecturã quiſpiam fecerit naturæ haud æqua portione procedentis ac diſparis.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ Γουλιέλμῳ Μαΐνῳ εὖ πράττειν.

ΓΝόντι μὲν ἐμοὶ γράψαι σοι, ὦ Μαϊνέ, τῶν ἐμῶν γραμμάτων γ' ἐφιεμένως ἔχοντι, ὅ, τι δὲ γράψαιμι ἐν τῷ παρόντι οὐκ ἔσθ' ὅπου τυχόντι, καὶ ἀφορμῆς δεομένῳ, τοῦτο γοῦν εἶναι ἀντὶ ὑποθέσεως εἴη ἄν, εἰ ἔχοιμί πως ἐνθυμήσασθαι ἐπιστόλιόν τι διάκενον, ἐκ λογογραφίας μόνον συνεστὼς καὶ συναφείας τῶν λέξεων, μηδενός γε διανοήματος δήλου ἐνυπάρχοντος, οὗπερ δὴ τῆς συνεπείας αὐτῆς ὕφασμα ἔσται ἀπεικόνισμα. αὐτὸς μέντοι ἀμφὶ τοῦτο δὴ ἐνθύμημα ἀμηχάνως διακείμενος καὶ δυσεπινοήτως, ἐνδεεστέραν δήπου τῆς προσδοκίας τῆς σῆς συγγράψω τὴν ἐπιστολὴν, τήν τε γνώμην ἐξίτηλον μᾶλλον καὶ ἀμυδρὰν ἔχουσαν, ἅμα καὶ τὴν ἀπαγγελίαν, ἢ ὥστε δοκεῖν αὐτὴν ποθοῦντί (σοι εἶναι) ἱκανήν. καὶ μὴν καὶ ἔγωγε ὁ πολλάκις δραξάμενος παρατυχούσης που ἀφορμῆς, καὶ τὰ ὑποτεθέντα διεξιέναι περαιτέρω τοῦ ἱκανοῦ εἰωθώς (τοῦτο γὰρ ἐμοὶ συνοῖδα ἐνίοτε ποιουμένῳ δέον κολάσαι τε καὶ ἀπερύξαι τὴν ὑπεραποχρώντως ἑαυτὴν ἐνδιδοῦσαν ἔκφρασιν) νῦν τῶν συμμέτρων ἀπορούμενός εἰμι, οὐδ' οἷός τ' ἀποπληροῦν τὸ γιγνόμενον μέγεθος τοῦ τυχόντος καὶ εἰκαίου ἐπιστολίου. ὃ δὴ τεκμήραιτό τις ποιοῖτ' ἂν οὐχ ὁμαλιζούσης φύσεως.

οὐ μὴν ἀλλὰ καὶ οὕτω πεπερασμένην ἕξεις εἰκόνα τινὰ ἐπιστολῆς, ἢ καὶ ὑπηνέμιόν τι, ὡς ἔπος εἰπεῖν, ἐπιστόλιον, καὶ οὐδενὸς ἄξιον. ἔρρωσο, καὶ κηδεμονικῶς ἐπιστάτει τῶν παίδων, ἐμοῦ ἀποδημοῦντος. ἐν αὐλῇ, ἡμέρᾳ τρίτῃ τῶν νωνῶν ἰουνίων.

Cæterùm hunc in modum peractam habebis imaginem quandam epiſtolæ, vel etiam irritum ventóque expoſitum quoddam, vt paucis complectar verbis, epiſtolium ac nullius pretij. Vale, & accuratè inſtruito pueros meos [quippe qui peregrinor] In aula, die tertia nonarum Iuniarum.

ΒΟΥΔΑΙΟΣ ΜΑΙΝΩ εὖ πράττειν.

Τοῦ ἀπὸ τοῦδε μέμνησο περὶ τῶν μυστικῶν τωνδὶ πραγμάτων εὐλαβέστερον γράψαι καὶ αἰνιγματωδέστερον, ἢ τά γε γράμματα τὰ σὰ κατασημαίνεσθαι πεφυλαγμένως. ἡ γὰρ ἐπιστολή σου αὐτοσχεδίως πως καὶ κατημελημένως συμπλακεῖσα, ἐμοὶ ἐπιδέδοται παρὰ τὸ δεῖπνον τοῦ βασιλέως, ὑπ' ἀνθρώπου τὰ ἔνδον γεγραμμένα συνεῖναι ἂν ῥᾳδίως δυνηθέντος. αὕτη μὲν οὖν εὐάνοικτος τῷ ἐντυχόντι, καὶ πάλιν εὐκατασήμαντος, ὥστε λαθεῖν ἂν ἐμὲ τὸν ταύτην ἀποδόντα εἴτ' ἐγένετο τοιοῦτό τι ὑπὸ τοῦ ἐπιδόντος ἢ ἑτέρου του, εἴτε μή. ὃ δὴ μὴ γεγονέναι πολλῶν ἂν χρημάτων ἀνταλλαξαίμην, εἰ καὶ φίλος οὗτός ἐστιν ἐμοί, καὶ ἄλλως ἀνὴρ ἀγαθός. καὶ γάρ τοι ἐξ ἐκείνης ἐξελεγχθῆναι ἂν δυναίμην ἀθύμως πως ἔχων καὶ δυσοιωνίστως φρονῶν περὶ τοῦ πολέμου τοῦ νυνὶ ἐπιλαβόντος ἡμᾶς. ἐν ᾧ δὴ οὐχ ἥκιστα σὺ τεκμηράμενος ἔσφαλσαι. ἀμέλει εἰς τὸ πρόσω καὶ τὸ μέλλον ἔγωγ' εἰμὶ ἱλαρᾶς ἐλπίδος ἀντεχόμενος, ἢ τῷ ἐμῷ λογισμῷ τυγχάνει ἐμπεφυκυῖα,

BVDÆVS MAINO BENE AGERE.

DEinceps memento de arcanis iſtis rebus verecundiùs ſcribere & magis ænigmaticè obſcuréque, vel literas quidem tuas obſignare cautè. Tua enim epiſtola temerè quodammodo & neglectim complicata, mihi exhibita fuit ſupra cœnam regis, ab homine qui valeret intus facilè ſcripta intelligere. Ipſa quidem cùm eſſet apertu facilis cuique obuio, rursúmque ad obſignandũ occludendúmq. prona, ita vt me fugiat qui eam receperim ſiue euenerit tale quidpiam ab eo qui reddiderat, aut alio quodam, ſiue non. Quod certè minimè contigiſſe amplis pecuniis comparaſſe velim, quamuis ille mihi ſit amicus, & alioqui vir probus. Atque adeò ex illa conuinci poſſem ignauus quodammodo & auſpiciis repugnantibus cogitãs de bello nunc nos opprimente: in quo ſanè maximè tu coniiciés aberraſti. denique vltra & in futurũ tempus equidẽ ſum hilaris ſpei particeps, quæ in meo intellectu eſt ingenita,

quemadmodum cuipiam è meis neceſſariis literis ſignificaui. Quarum tu literarum exemplar tandem accipiẽs, iſtud certum eſſe iudicabis. Antequàm tamen iſtud obtineas, huius ſpei nihil vetat te vnà cum tuis amicis participem eſſe, poſtea mihi hac quidem in re boni cauſa ſuadenti cõſentire, magis quàm iſtis qui nobis vobíſque ſunt odioſi, vel odioſis quidẽ & infenſis attentiùs auidiúſque aures accommodant. Vale, ſiſque animo erectus aduerſus eos qui formidãda ſignificant. Hæc ad te ſcribens non ignorabam ciuitatem quandam è noſtris ſubactam & euerſam, belli nimirum vaſtatoris initium. Trecis, Auguſti menſis penultima deficientis.

BVDÆVS MAINO
BENE AGERE.

AD tantam quidem diſcordiã non ita pridem confuſionémque noſtra conſilia repentè cœperunt venire, vt periculum ex improuiſo atque inconſultò nobis timorem incutiens, incultos & otioſos propemodum omnes impræſentiarum & præcipites effecerit. nunc certè paulatim tanquam ex temulentia ad ſobrietatem regreſſis nobis, vel etiam ex ſtupore & inertia nos recipientibus, tumultus quidem ille qui erat in principio, placidus efficitur. confidentia porrò vna cum ſpe non citra rationem ſingulis diebus amplificatur. Quãuis permagnum exercitum hoſtes

ὥσπερ τινὶ τῶν ἐμῶν φίλων ἤδη ἔγραψα. ὧν σὺ γραμμάτων τὸ ἀντίγραφόν ποτε λαβὼν, τοῦτ' ἀληθὲς εἶναι γνώσῃ. πρὶν μέντοι τούτου τύχῃς, τῆσδε τῆς ἐλπίδος οὐδεὶς φθόνος σε μετὰ τῶν σῶν φίλων μεταχεῖν, εἶτ' ἐμοὶ συγκατατιθεμένοις τό γε τοσοῦτον τυγχάνειν ἐπ' ἀγαθῷ πείθοντι, μᾶλλον ἢ τουτοισὶ τοῖς ἡμῖν τε καὶ ὑμῖν ἀπεχθομένοις ἢ τῶν ἀπεχθομένων γε ἀκροωμένοις προσεχέστερον καὶ φιληκοώτερον. ἔρρωσο, καὶ ἐπέρρωσο δὴ κατὰ τῶν τὰ φοβερὰ διαγγελλόντων. ταῦτά σοι γράφων οὐκ ἠγνόουν πόλιν τινὰ τῶν ἡμετέρων κατεστραμμένην, τοῦ πολέμου δηλαδὴ προοίμιον τοῦ πολιπόρθου. ἐν Θρήκαις, Αὐγούστου μηνὸς πρὸ μιᾶς φθίνοντος.

ΒΟΥΔΑΙΟΣ ΜΑΙΝΩ
εὖ πράττειν.

ΕΙΣ τοσοῦτον μὲν ταραχῆς ἄρτι καὶ ἀταξίας τὰ ἡμέτερα βουλεύματα ἐξαίφνης ἐφθάκει ἐληλυθέναι, ὥστε τὸ δεινὸν ἐξ ἀπροσδοκήτου τε καὶ παραλόγου καταπλῆξαι ἡμᾶς, ἀργοὺς σχεδὸν ἅπαντας ἐν τῷ παραυτίκα καὶ ἀβούλους ἐπιτυγχάνειν ἀπειργασμένον. νῦν μέντοι κατὰ μικρὸν ὥσπερεὶ ἐκ μέθης διανηφόντων ἡμῶν, ἢ καὶ ἐξ ἀναισθησίας ἀναφερόντων, ὁ θόρυβος μὲν ἐκεῖνος ὁ κατ' ἀρχὴν, καθίσταται. εὐθαρσία δὲ σὺν ἐλπίδι οὐκ ἀλόγῳ καθημέραι ἐπιδίδωσιν. εἰ καὶ παμμεγέθη στρατὸν οἱ πολέμιοι

ἡμῶν ἀνδρολογοῦντες, δῆλοί εἰσιν εἰς τοὺς ὅρους τοὺς ἡμετέρους ἐξαΐσσοντες, τήν τε ἡμετέραν καταδραμούμενοι ὅσον οὐδέπω ὡς ἐκπληκτικώτατα. καὶ ἐὰν μὴ ὁμόσε χωρήσωμεν αὐτοῖς, τὰ κατὰ τὰς ἀγροικίας καὶ χωρία δῃώσοντες, εὖ οἶδ' ὅτι, ὅπη ἂν εἰσβάλωσι. ταῦτα μὲν οὖν σκοπουμένῳ μοι καὶ ἐκ τῶν φαινομένων εἰκάζοντι, ἡ γνώμη ὧδε κἀκεῖσε ἐστὶν ὅτε περισπᾶται, ἀνθελκόντων δήπουθεν ταύτην ἄλλων ἐπ' ἄλλοις διαλογισμῶν καθ' ἣν ἂν τύχῃ αἰτίαν. ὑμῖν δὲ τοῖς ἐν ἄστει διάγουσι στωμύλῳ τε ἄλλως καὶ τὰ τῆς φήμης εἰς τὸ δεινότερον ὑπολαμβάνειν φιλοῦντι, πολυθρύλλητον οἶμαι πρᾶγμα τὰ ὦτα νῦν ἀποπίμπλησι, περιφόβους ἴσως οὐκ ὀλίγους ἀποφαῖνον, ἀνηκόους γ' ὄντας πρόσθεν τῶν τοιούτων, ὡς εἰρήνῃ συντρόφους. ἀλλὰ γὰρ καὶ τούτων οὕτως ἐχόντων, καὶ τῆς ἐνεστώσης καταστάσεως ἀπειλητικόν τι καὶ δεινὸν ἐμφαίνειν ἡμῖν δοκούσης, ἀνθ' ὧν πέρα που τοῦ ἱκανοῦ καὶ ἐκ μέτρου ἔφθημεν διατεθρύφθαι, οὐδὲν οἶδ' ὅμως τὸ μέλλον εὐσχημόνως προσδοκᾶν καὶ εὐψύχως σύν γε εὐσεβείᾳ τῇ προσηκούσῃ. τί γὰρ τὸ κωλῦον ἔσται εὐέλπιδας διακεῖσθαι, τῇ τύχῃ δήπου πεποιθότας τοῦ ἔθνους ἡμετέρου, ὃ δὴ τοῦ σωτῆρος ἐπώνυμον τοῦ ἀνθρωπίνου γένους, καὶ δὴ συμμενεῖν μέλλει τῇ τούτου παναγίῳ τελετῇ καὶ συνεστήξειν.

noſtri virorum delectu habentes, perſpicui ſunt in terminos ac limites noſtros cùm affectu irruere, noſtrámque prouinciam incurſionibus vaſtare illico per quàm horridè. Ac niſi ſimul obuiam eamus ipſis, ea quæ ſunt in villis ac prædiis populaturi ſunt, ſat ſcio, quacunque ex parte [nos] adoriantur. Iſta ſanè quidem tanquam ex aliqua ſpecula proſpicienti mihi & ex his quæ conſpicua ſunt coniectanti, animus huc & illuc aliquando diſtrahitur, rettahentibus vt pote eundem aliis vltra alias cogitationibus pro cauſa quam ſortitus fuerit. Nobis verò in vrbe degentibus & linguaci alioqui & rumorem in id quod eſt magis formidandum interpretari conſueſcente, diuulgatum ſuſpicor negotium aures nunc implet, attonitos forſan non paucos exprimens, ignaros quidẽ prius talium, veluti cum pace enutritos. At enim etiam his ſic ſe habentibus, & inſtante conditione, quæ cenſetur minis ſcatens ac quidpiam difficile oſtendere nobis, propterea quòd vltra id quod ſufficit & præter modum in luxu laſciuiáque vitam traducere præoccupauimus, nihil prohibet tamen rerum euentum compoſitè conſtantérque præſagire cum pietate quidem congruente. Quid enim impediet bona ſpe nos animari, nimirum noſtræ nationis ſorte fretos, quæ ſanè ſeruatoris humani generis nomen referens, & profectò conſiſtere debet cum huius ſanctiſſimo ſacrificio ſimúlque permanere.

Iam verò tibi nihilominus curæ ſit cũſtituto incœptóque ſtudio operã dare, quóſque tu creditos & commiſſos habes diſcipulos eoſdem & in conuenienti ſtudioſo labore cohibere, & ætati cuiuſque eorum quadrante. Vale, in Heduorum ciuitate, Auguſti menſis nono die incipientis.

Σοὶ δὲ δὴ ἐπιμελὲς οὐδὲν ἧττον ἔστω τῆς ἐνεστηκυίας σπουδῆς ἔχεσθαι, οὕς τε σὺ ἐπιτέτραψαι μαθητὰς τούτους ἐν τῇ γιγνομένῃ τε φιλοπονίᾳ κατέχειν, καὶ ἡλικίᾳ τῇ τούτων ἑκάστου ἀναλογούσῃ. ἔρρωσο, ἐν τῇ τῶν ἑδούων πόλει, Αὐγούστου μηνὸς ἐνάτῃ ἱσταμένου.

BVDÆVS MAINO
BENE AGERE.

INtelligere haud valui quid tandem eſt cur mœrore perfuſa cõiux mea aut anxia, cibum reſpuere cœpit nunc, ac neſcio quot iam dies ab alimento ſe abſtinere. niſi vt mulierem decet ſimplicitérque mihi metuat, inter tantos taléſque viros, & cum ipſo quidem rege in hoſtium regione verſante. Ego autem in hac ærumna perſtans ac perſeuerãs, exulto quidem gloriórq; veluti mollitie domeſtica iam præſtantior ac ſuperior, necnon ſociatus cum illis qui & ſub dio viuere conſueuere & afflictari. Timeo tamen interim, & requiro pacem atque ſecuritatem. Quanquam non rurſum tantum mihi formidandum eſſe puto ab aduerſariis, quantum à tempore ſtatũque eius atque regionis, grauis iam cùm ſit ac toleratu difficilis, maximéque in hoc tractu ligno carẽte, & in pagis mediocri impenſa quidem extructis, caſis verò malè exornatis. Iſtis porrò adiecerim, etiam turbidè profugientibus exercitum

ΒΟΥΔΑΙΟΣ ΜΑΙΝΩ
εὖ πράττειν.

ΣΥνιέναι οὐκ ἠδυνήθην ὅτι ποτ᾽ ἐστὶν ἐφ᾽ ᾧ ἀνιαθεῖσα ἡ συνοικοῦσά μου ἢ φροντίζουσα, ἀπορεχθεῖν ἔφθη νῦν, καὶ ὁπόσας δὴ ἡμέρας ἀποσιτεῖν. εἰ μὴ γυναικοπρεπῶς καὶ εὐήθως περὶ ἐμοὶ τυγχάνει δεδοικυῖα, ἐν τοσούτοις καὶ τηλικούτοις ἀνδράσι, καὶ μετ᾽ αὐτοῦ γε τοῦ βασιλέως ἐν τῇ τῶν πολεμίων ἀναστρεφομένῳ. ἐγὼ δὲ ἐν ταύτῃ τῇ ταλαιπωρίᾳ προσκαρτερῶν, χαίρω μὲν καὶ γαυροῦμαι, ὡς ἡδυπαθείας ἤδη κρείττων τῆς οἰκουρικῆς, καὶ συνεξεταζόμενος τοῖς τε θυραυλεῖν εἰωθόσι καὶ κακοπαθεῖν. δέδοικα δ᾽ ὅμως ἐνίοτε, καὶ ποθῶ τὰ κατ᾽ εἰρήνην τε καὶ ἡσυχίαν. οὐ μέντοι αὖ τοσοῦτόν τι ἐμοὶ φοβητέον εἶναι ἡγοῦμαι ἀπὸ τῶν ὑπεναντίων, ὅσον ἀπὸ τῆς ὥρας καὶ τῆς καταστάσεως τοῦ χρόνου τε καὶ τῆς χώρας δεινῆς ἤδη οὔσης καὶ δυσανέκτου, καὶ ταῦτα ἐν ἀξύλῳ ταύτῃ χώρᾳ, καὶ κώμαις εὐτελῶς μὲν ᾠκοδομημέναις, οἰκίαις δὲ φαύλως κατεσκευασμέναις. προσθείην δ᾽ ἂν τούτοις, καὶ θορυβωδῶς προσφυγόντων τοῦ στρατοῦ

τοῦ

τοῦ ἡμετέρου αὐθίκων, ὡς ἔπος εἰπεῖν, τῶν τε ἐπιχωρείων καὶ τῶν ἀγροίκων, πάντα συνεσκευασμένον τὰ ἔπιπλα καὶ ἅπασαν τὴν κατασκευήν· ὥστε ἡμᾶς φυγοῦσιν αὖθις ὁπλίταις τε καὶ ἀνόπλοις παρὰ πόδας ἀκολουθοῦντας, οὐδὲν ἄλλ᾽ ἢ σκινδαλμούς τε καὶ συρφετὸν εὑρίσκειν, καὶ νεαλῆ τῆς φυγῆς αὐτῶν ἴχνη. ἀλλὰ γὰρ ὅμως ἐλπὶς ἐντὸς τῆς πέμπτης ἐπὶ δέκα ἐπιγιγνομένου μηνὸς, ἐπανήξειν ἡμᾶς οἴκαδε, καὶ οὐ πόρρω τοῦ ἄστεος τὴν αὐλικὴν θεραπείαν μετὰ τοῦ βασιλέως ἔσεσθαι. σὺ οὖν εὐκαιρίας τυχὼν, ἐν δέοντι παρηγόρησον τὴν ἀθυμίαν τῆς ἀνθρώπου, καὶ εὐθυμίαν ἐμποίησον αὐτῇ περὶ ἐμοῦ ὡς ἄδειαν ἄγοντος. τρυφερὸν γὰρ ἂν εἴη καὶ δειλίας ὑπεύθυνον μὴ θαρσῆσαι τὴν εἰσβολὴν, ἡγουμένου Φραγκίσκου τοῦ βασιλέως, τοῦ καταπεθαρρηκότος τε τῶν πολεμίων, καὶ τῆς καταπονησάσης ἂν τοὺς μαλακοὺς ὁδοιπορείας καταπεφρονηκότος. ταῦτα περὶ τῆς δείλης τῆς ἑῴας ἔγραψα. ἔρρωσο, καὶ προσαγόρευε τὸν Δράκωνα καὶ τοὺς ἀδελφοὺς αὐτοῦ. ἐν στρατοπέδῳ, ὀγδόῃ καὶ δεκάτῃ ὀκτωβρίου μηνός.

nostrum vernaculas ædes incolentibus, vt paucis abſoluam & indigenis & ruſticis, ac omnem ſupellectilé conuaſantibus, rémque omnem familiarem. vt nos è veſtigio eos ſequendo in fugam ſe conuertentes armatos necnon inermes & imbelles, nihil aliud quàm quiſquilias atque populi colluuiem inueniremus, & noua fugæ ipſorum veſtigia. At enim nihilominus ſpes eſt intra quintum diem ſupra decem inſequentis menſis, nos domum redituros eſſe, nec procul ab vrbe aulicum comitatum cum rege fore. Quocirca tu opportunitatem aſſecutus, tempeſtiuè mitigato anxietatem mulieris, & ſecuritatem eidem inſere de me tanquam ſecuro. Mollis enim ac delicata res eſſet & timiditati obnoxia minimè audenti animo ſuſtinere expeditionem, duce Franciſco rege, & animoſo contra hoſtes, & contemptore itineris quod opprimit molles ac effœminatos. Hæc ante crepuſculum matutinum ſcripſi. Vale, & ſalutato Draconem fratréſque ipſius. In caſtris, octauo & decimo die Octobris menſis.

ΒΟΥΔΑΙΟΣ ΜΑΙΝΩ

εὖ πράττειν.

Οἶμαι μὲν αὐτόθι διαπεφημίσθαι πολυλόγως τὰ περὶ τῆς [illegible] τῶν πολεμίων ἐφόδου, καίτοι οὐ πόρρω γε προβεβηκυίας τῆς ἀλκῆς ἐκείνης, τῆς ὑπ᾽ αὐτῶν τὸ πρότερον μεγαληγορηθείσης.

BVDÆVS MAINO

BENE AGERE

SVſpicor quidem illic diuulgata eſſe verboſè ea quæ [dicuntur] de recenti hoſtium impetu, licet non proceſſerit ſtrenuitas illa, quæ ab ipſis priùs inſolẽter exaltata fuit.

Te porrò prudéter cohibere oportet ac reprimere aures & linguam, quouſque perdidiceris certiùs veritatem à nobis vel ab alio quodã ex his qui adfuerunt. Et enim nos rẽ obſeruãtes quieſcebamus, veluti annumerati cum his qui in præſidio ſunt diſpoſiti. Sanè quidem caput & ſumma quodammodo ſic ſe habet, quatenus quidem me ſcire par eſt & qui attentè certior factus ſim, & huc ſanè & illuc oculis luſtraui intra exercitum, in procinctu ſtrenuè tunc conſiſtentem, ea lege vt obuiam iret hoſtiũ impetui expectato, vtque procedentes ipſos viriliter ex aduerſo inuaderet. Hoſtes quippe dignoſcentes noſtrum exercitum præoccupare in circuitu Scaldis fluminis, in quo pridie rex ſuo exercitui præcurrens ſubitarium & extemporalem ponte nauigia copulans fecerat, lateréque ſperantes in denſa quadam nebula (erat enim ipſa tertium illum diem perſeuerans) viriliter ſuperuenerãt, ex Valentianorũ ciuitate prodeuntes. Quum primùm igitur exploratores noſtri negotiũ denuntiarunt, & ad arma, vt mos eſt, proclamatum eſt, tunc rex circa caſtrametationem cùm eſſet, haud amplius exercitus apparatu iacente, denuo in equum ſaltu aſcendẽs, bellicoſiſſimum exercitus equitatum atque peditatum repentè tranſmittens (necdum enim extrema acies & cauda exercitus acceſſerat)

σὲ δὲ νουνεχόντως ἐπέχειν χρὴ καὶ καταστέλλειν τήν τε ἀκοὴν καὶ τὴν γλῶτταν, ἕως ἂν καταμάθῃς πιστότερον τἀληθὲς ὑφ' ἡμῶν, ἢ ἄλλου του τῶν παραγενομένων. ἡμεῖς γάρ τοι τὸ πρᾶγμα θεώμενοι ἡσυχίαν ἤγομεν, ὡσπερεὶ συνεξεταζόμενοι τοῖς ἐπιτεταγμένοις ἐν ἐφεδρείᾳ. τὸ μὲν οὖν κεφάλαιον οὕτω πως ἔχει, ὅσα γε κἀμὲ εἰδέναι τόν τε ἀκριβῶς πυθόμενον, καὶ τῇδε δὴ κἀκεῖσε παπτήναντα παρὰ τὴν παράταξιν, ἐν προβολῇ νεανικῶς τότε ἑστῶσαν, ἐφ' ᾧ τε ὁμόσε χωρεῖν τῇ τῶν πολεμίων ἐφορμήσει προσδοκωμένῃ, καὶ προβεβηκόσιν αὖθις ῥωμαλέως ἀντεξορμᾶσθαι. οἱ γοῦν πολέμιοι διεγνωκότες τὴν στρατιὰν ἡμῶν προκαταλαμβάνειν ἐν τῇ πέριξ τοῦ Σκάλδιου ποταμοῦ, ἐφ' οὗ τῇ προτεραίᾳ ὁ βασιλεὺς τοῦ ἰδίου στρατοῦ προσδραμὼν, αὐτοσχέδιον γέφυραν πλοιαρίοις ζευγνὺς ἐπεποίητο, λήσεσθαί τε ἐλπίζοντες ἐν βαθείᾳ τῇ ὁμίχλῃ (ἔτυχε γὰρ αὕτη τρίτην ἐκείνην τὴν ἡμέραν διατελοῦσα) ἀλκίμως ἐπήεσαν, τῶν Βαλεντιανῶν πόλεως ἐξελθόντες. ὡς οὖν τάχιστα οἱ ἡμέτεροι σκοποὶ τὸ πρᾶγμα ἐξήγγελλον, καὶ ἐπὶ τὰ ὅπλα, ὡς ἔθος, ἀνεβοήθη, ὁ βασιλεὺς τότ' ἀμφὶ τὴν κατάζευξιν ὢν, οὐκ ἔτι τῆς ἀποσκευῆς κατακειμένης, πάλιν ἐφ' ἵππον ἁλλόμενος, τὸ μαχιμώτατον τοῦ στρατοῦ ἱππικόν τε καὶ πεζὸν ἐν ἀκαρεῖ διαβιβάσας, (οὐ γάρ πω τὸ ὀπίσθιον τάγμα καὶ ἡ οὐραγία ἤλυθε)

πόῤῥω μὲν τῆς στενοχωρίας προήγαγεν αὐτούς, πρὶν τοὺς πολεμίους εἰς ὄψιν ἥκειν. ἡκόντων δέ, ὁ μὲν ἔτυχε καιροῦ πρὸς τὴν ἐν τῇ εὐρυχωρίᾳ τῶν οὐλαμῶν καὶ σημαιῶν ἀνάπτυξίν τε καὶ σύνταξιν. τηνικαῦτα μέντοι καὶ ὁ ἀὴρ θείᾳ τινὶ τύχῃ λαμπρυνθείς, τὰς ἑκατέρωθεν δυνάμεις εἰς φανερὸν κατέστησεν. ἐφ' οἷς καταπλαγέντες οἱ ἐναντίοι, καὶ πολὺ ἰδόντες τὸ παράδοξον, φυγομαχεῖν μὲν αὐτοὶ ἔγνωσαν. ἦσαν δὲ τὸν ἀριθμόν, ὥστε ἰδόντας εἰκάσαι, μύριοί που καὶ πεντακισχίλιοι, ὧν δὴ τὸ ἱππικὸν τρισχίλιοι, τοῦ ἡμετέρου ἀριθμοῦ ἡμιολίου ὄντος, ἢ καὶ ὀλίγῳ πλείονος. ἔνιοι δὲ καὶ πλείους γενέσθαι φασίν. ἀφιστάμενοι δὲ μάχης, δολερῶς τε καὶ τεταγμένως, ὥστ' ἔμπειροι τῶν τακτικῶν ὄντες, ἐξέστησαν τῆς χώρας. τὴν γάρ τοι ἵππον ἑαυτῶν τοῦ πεζοῦ προστησάμενοι, ὡς παραυτίκα δὴ συῤῥαγησομένην τε καὶ τὴν μάχην συνάψουσαν, ἐξηπάτησαν ἡμᾶς, αὐτοὶ δὴ τῷ πεζῷ ἀφορμὴν ἐν τούτῳ καὶ σχολὴν παρασχόντες τοῦ ὑπεξίστασθαι ὀπίσω, λανθάνουσι δή που τοὺς ἡμετέρους πρὸς τὴν συμβολὴν εὐτρεπεῖς ἑαυτοὺς ἐνδεικνυμένους, καὶ ὁσονουδέπω ἱεμένους. αἰσθάνεσθαι γε μὴν τὸ πρᾶγμα ἀρχομένων τῶν ἡμετέρων, οὐκ ἔτι ἐν ἐφικτῷ ἦσαν οἱ φυγόντες τοῖς πεζοῖς ἡμετέροις. τούτου μὲν δὴ γενομένου, ἐλπίζω τὸ πλεῖστον

procul quidẽ ab anguſtia locorum deduxiſſet ipſos, antequã hoſtes in lucem & aſpectum venirent. Accedentibus porrò, is quidem aſſecutus eſt opportunitatem in ſpacioſo campo ad cohortium & vexillorum explicationem atque compoſitionem. Interim certè etiam aër diuina quadam ſorte illuſtratus & illuceſcens, ex vtraque parte copias in apertum reuocauit. Propter quæ in ſtuporem adducti hoſtes, & rem valde inopinatam & admirabilem cernentes, certamen fuga detrectare quidem ipſi ſtatuerunt. Erãt autem numero, prout qui viderant, coniiciebãt, quindecim milia, quorum certè equitatus tria milia erãt, noſtrorũ numerus ſeſquiplex cùm eſſet, vel etiam paulo amplior. Quidam porrò plures etiam fuiſſe prædicant. Abſtinentes autem à conflictu, doloſè atque ordine, prout gnari erant ſcientiæ militaris ſeceſſerunt è ſtatione. Etenim equitatum ſuo peditatui obicem opponentes, tanquam in præſentia ſanè erupturum atque pugna congreſſurum, defraudarunt nos, ipſi profectò peditatui anſam interim & opportunitatem ſuggerentes clam ſe ſubducendi à tergo, in occulto ſunt & latitãdo fugiunt vtique noſtros ad pugnam inſtructos, ſeipſos venditantes, & mox feſtinantes. Comperire autem rem incipientibus noſtris, non amplius ex eo qui poſſet attingi[loco]à peditibus noſtris fugientes erant. hoc itaque facto, fiduciam habeo maximã partẽ

belli expugnando completam, quãtum quidem ad hunc annum. Nam que temporis cõditio in perfrigido tractu, minimè permittit regem quamuis auidè affectantem longiùs introducere exercitũ. Reſciui autem ego ab his qui tunc tẽporis propiores erant, Franciſcum ipſum regem inſtructum exercitũ tunc luſtrantem & componentem, opus atque decens munus præſtitiſſe excellentis cuiuſdam verè & officioſi imperatoris: ſpeciménque præbuiſſe ſui ipſius ingenij, apud milites videlicet concinnè ornatéque locutum: ipſe enim tunc cohortatione vſus eſt in acie ordinata apud milites armatos vt vterentur occaſione vlciſcendi inſectandíque aduerſarios antè laceſſentes, claritatémque gentis noſtræ ludibrio afficientes improbè ac ſcurriliter, tum etiam contumelioſè proculcantes regiam amplitudinem. Deinceps verò iſtud dicenti adfuiſſe aiunt ipſi animi fiduciam quandam mirum in modum, ac veluti non ad tantum conflictum, verùm ad ludicram & iocularem quandá incurſionem aut publicam celebritatem iter tenenti. Nos porrò ipſum cognoſcimus periculi adeundi cupidiorem eſſe in cunctis præclarorum & inſignium virorũ inſtitutis, quàm pro regia auctoritate, omniúmque virorum quos vnquam vidimus, rerum formidandarum ſtrenuè quidem & ingenuè vehementiſſimum cõtemptorem: tum verò multifariam etiam obtinentẽ eloquẽtiæ vim & facultatẽ,

καταπεπολεμῆσθαι τοῦ πολέμου, τό γε κατὰ τόνδε τὸν ἐνιαυτόν. ἡ γὰρ τῆς ὥρας κατάστασις ἐν δυσχειμέρῳ χώρᾳ, οὐκ ἐᾷ τὸν βασιλέα καί περ ἄγαν ἐφιέμενον πορρωτέρω ὑπάγειν τὸ στράτευμα. ἤκουσα δ᾽ ἐγὼ τῶν τότε πλησαίτερον ὄντων; Φραγκίσκον αὐτὸν τὸν βασιλέα τῆς παρατάξεως τότε ἐφοδεύοντα καὶ καθιστάντα, ἔργον τε καὶ καθῆκον ἀποτελέσαι ἐξέχοντός τινος ὡς ἀληθῶς καὶ δεξιοῦ στρατηγοῦ, ὑπόδειγμά τε παρασχέσθαι τῆς αὐτοῦ εὐφυΐας, πρὸς τοὺς στρατιώτας δηλονότι καλλιλογησάμενον. αὐτὸν γὰρ τότε τυχεῖν τοὺς ἐν παρατάξει ὁπλίτας παρακαλοῦντα τῇ ἀφορμῇ χρῆσθαι τοῦ προηδικηκότας ἀμύνασθαι τοὺς ἐναντίους, τήν τε εὔκλειαν τὴν τοῦ γένους ἡμῶν προπηλακίσαντας βωμολόχως, καὶ δὴ καὶ ἐφυβρίστως καταπατήσαντας τὸ ἀξίωμα τὸ βασιλικόν. μεταξὺ δὲ τοῦτο λέγοντι συμπαρεῖναι φασὶν αὐτοῦ παράστημά τι θαυμαστὸν ἡλίκον, καὶ δὴ οὐκ ἐπὶ τηλικοῦτον ἀγῶνα, ἀλλ᾽ ἐπὶ παιγνιώδη τινὰ καταδρομὴν ἢ πανήγυριν ἰόντι. ἡμεῖς μέντοι αὐτὸν ἴσμεν φιλοκινδυνότερον εἶναι ἐν πᾶσι τοῖς τῶν γενναίων ἀνδρῶν ἐπιτηδεύμασιν, ἢ κατὰ τὴν μοῖραν τὴν βασιλικήν, καὶ πάντων ὧν ἑωράκαμεν ἀνδρῶν πώποτε, τῶν δεινῶν εὐσταθῶς γε καὶ εὐγενῶς καταφρονητικώτατον· ἅμα δὲ καὶ παντοίαν ἔχοντα τῆς ἐκφράσεως δύναμιν.

ἐφ' ὅσον γε δὴ ἐνδέχεται ἡ διάλεξις ἰδιωτική. καὶ οὐδείς ἐστιν ὅστις, εὖ οἶδ' ὅτι, τῶν γε γνωστικῶν ἀνδρῶν καὶ διαδοκιμαστικῶν, τούτου σπουδαιολογουμένου πολλάκις ἀκροασάμενος, καὶ τῆς ἡμετέρας γλώττης ἱκανῶς αὐτὸς συνεὶς, οὐκ ἂν φαίη εὐτυχῶς τε καὶ ἐξαιρέτως αὐτὸν πρός τε τὴν ῥητορικὴν πεφυκέναι, καὶ πρὸς πᾶσαν δὴ παιδείαν ἐλευθέριον καὶ καλήν. ἔρρωσο, ὀκτωβρίου μηνὸς ἑβδόμῃ φθίνοντος.

quoad certè admittit ſermonis forma vulgaris. Ac nullus eſt, certum habeo, peritorum quidem virorũ & iudicio pollentium, qui audiuerit crebrò hunc ſeriò locutum, noſtrámque linguam affatim ipſe intelligens, non fateatur fortunatè atque eximiè ipſum & ad dicendi doctrinam natura comparatum eſſe, & ad omnem profectò diſciplinam ingenuam & bonam. Vale, Octobris menſis ſeptimo die deficientis.

ΒΟΥΔΑΙΟΣ ΜΑΙΝΩ
εὖ πράττειν.

Εὐαγγέλια μὲν τῆς εὐτοκίας ἄσμενος ἂν ἐπιγνοίην. τῆς δὲ θήλεος παιδίου γενέσεως, πῶς ἂν εὐλόγως σύ γε τὰ εὐαγγέλια αἰτοῖο· ἐπεὶ τοὺς τοιουτοσὶ τόκους ἄντικρυς εἰσαγγέλλοντας εὐφημεῖν ὡς οἶσθα κελεύουσιν οἱ πατέρες, δυσχεραίνειν εἰωθότες, ἢ διά γε ἀγελαστίας ἄγειν τὸ εἰσαγγελλόμενον. ὅμως μέντοι καὶ τούτου αὐτοῦ τόκου διομολογούμεθα εὐαγγέλια, ὥσπερεὶ ἡδείας μοι θηλυτοκίας γενομένης. πρὸς γὰρ τῷ εὐγνωμονῆσαί με χαίρειν τῆς τετοκυίας εὖ ἐχούσης, καὶ στέρξαι δὲ ὁποτερονδὴ γένος ὑπὸ θεοῦ κεχαρισμένον, ἔτι καὶ εὐτυχῶς ἔχοιμι ἔγωγε ἄχρι τοῦδε εἴ τις καὶ ἄλλος, κατὰ τὴν παιδογονίαν, ὁ τῶν γ' ὀκτὼ ἀρρένων παίδων πατήρ, ἑνὸς ἀπογενομένου μόνου ὑπ' ὀμφαλοτομίας ἡμαρτημένης.

BVDÆVS MAINO
BENE AGERE.

GRata lætáque nuncia quidem facilis partus libẽs agnouerim: ſed genituræ puſillæ paruulǽque fœminæ, qua ratione iure tu quidẽ fauſti nuncij munera exigeres? quãdoquidem tales fœturas ex profeſſo ſerióque annunciantes benè ominari quemadmodum noſti iubent genitores, indignè ferre ſoliti, vel ſine vllo riſu excipere nuncium. Nihilominus certè etiam huius ipſius fœturæ ex pacto promitto grati nuncij præmia, quaſi verò ſuauis mihi obtigerit fœminea generatio. Nam vltra quod me fas eſt candidum & fortunatum præbere, puerpera proſpera valetudine fruente, & adamare porrò vtrumlibet ſexum à deo beneficè collatum, adhuc etiam feliciter affectus fui equidem hucuſque ſi etiã alius, quoad filiorum propagationem, octo quidem maſculorũ puerorũ pater, vno extincto ſolo propter vitiatã vmbilici amputationẽ.

Quam ob cauſam ſupra modum beneuolo ſum propenſus animo erga filiolas. Quarum profectò iuniorem quidem egregiè venuſtam & eleganti forma præditam, vice iucundiſſimæ cuiuſdam auditionis habeo & ſpectaculi dimidiatis ego ipſe reliquis filiis eandem præferēs, alteram porrò decēnio inferiorem haud vellem filium eſſe etiam ſcitum & induſtriū. vſque adeò mulieroſus ego inſtinctu naturali ſum. Vale.

ἐφ' ᾧπερ φιλοστόργως λίαν ἔχω περὶ τὰ θυγάτρια. ὧν δὴ τὸ ὕστερον μὲν ὑπερφυῶς χάριεν καὶ γλαφυρὸν, ἀντὶ ἡδίστου τινὸς ἀκροάματος ἔχω καὶ θεάματος τῶν ἡμίσεων αὐτὸ λοιπῶν παίδων τούτου προτιμῶν, τὸ δ' ἕτερον δεκέτεσιν ἔλαττον, οὐκ ἂν βουλοίμην υἱὸν εἶναι καὶ καλὸν καὶ εὐφυῆ. οὕτω φιλογυνὴς ἐγὼ τὴν φύσιν εἰμί. ἔρρωσο.

BVDÆVS MAINO BENE AGERE.

LAudo formam, quam obtinere commemoras in inſtituendo liberos diſcipulos tuos. Et enim interpretari Ciceronis ſermonem in vulgarem linguam & quæ inuerſa fuerunt, interim in Latinè loquentem reſtituere, prout valeant à ſe ipſis & ſuo marte accuratè componere, iſtud profectò ſingulare ipſis ac idoneum exhibuerit ſtudium. Et præterea ad præſtantiſſimorum ſcriptorum æmulationem quæ adæquanda conferēdáque deinceps ſit, iſtud ipſum maximè viam patefaciet ipſis, ac præparabit, tum verò facundiæ ab initio fundamenta iaciet, ad exemplum experientibus viciſſim & ſua ipſorum [ſcripta] & Ciceronis. Pergens itaque iſtud facere, comprobantes nos habebis. De hoſtibus porrò domum vt ſuſpicor ex animo reuertentibus, vel

ΒΟΥΔΑΙΟΣ ΜΑΙΝΩ εὖ πράττειν.

ΑΠοδέχομαί σου τὸν τρόπον, ὃν ἔχειν φὴς ἐν τῷ παιδεύειν τοὺς μαθητάς σου παῖδας. τὸ γὰρ μεταφράσαι τὸν τοῦ Κικέρωνος λόγον εἰς τὴν ἰδιωτικὴν γλῶτταν, καὶ τὰ μεταβληθέντα εἰς ταύτην, αὖθις ἐπὶ τὴν λατινιστὶ φθεγγομένην ἀποκαθιστᾶν, ὅπως ἂν δύνωνται ὑφ' ἑαυτῶν ἀπακριβοῦντες, τοῦτο δὴ ἄκραν αὐτοῖς ἂν καὶ δεινὴν παράσχοι σπουδήν. ἅμα δὲ καὶ πρὸς τὴν τῶν δοκιμωτάτων συγγραφέων ζήλωσιν ἐνάμιλλον εἰς τὸ ὕστερον ἐπιγενησομένην, τοῦτ' αὐτὸ μάλιστ' ἂν εἴη τὸ προοδοποιῆσον αὐτοῖς, καὶ προοικονομῆσον, καὶ δὴ καὶ καταβαλούμενον τὴν ἐκ ῥίζης εὐγλωττίαν, παραβάλλουσι δήπου καὶ σκοπουμένοις παράλληλα τά τε αὐτῶν καὶ Κικέρωνος. διατελέσας οὖν τοῦτο ποιῶν, συγκαταινοῦντας ἡμᾶς ἕξεις. περί γε μὴν τῶν πολεμίων οἴκαδε ὡς οἶμαι ἀγαπητῶς κατερχομένων, ἢ

ἄλλοσέ πη ἐκ τῆς ἡμετέρας ἀποφθειρομένων τοῦ βασιλέως δῆθεν ἐν ὅπλοις ἐνδεικνυμένου, οὐκ ἂν τι γράψαιμι πω νεώτερον. ἡδέως μὲν τ' ἂν αὐτὸς ταύτης τῆς ὑποθέσεως ἁψαίμην, εἰ σχολὴν ἱκανὴν ἦγον. ἀλλὰ μὴν τοῦτο οὐκ ὀκνοίην ἂν εἰπεῖν ἐν τῷ μεταξύ, ὅτι τὸ τῆς ἀκολουθίας τῆς ἡμετέρας πρόσωπον, οὐ πρὸ πολλοῦ ὑποκατηφὲς καὶ ἀγελάστῳ προσεμφερὲς ὄν, νῦν γαλήνην εἰκότως μετενέδυ καὶ φαιδρότητα. εἰκότως· ἀπεικονίζει γὰρ ἑαυτὸ πρὸς τὴν τοῦ ἡγουμένου αὐτοκράτορος πρόσοψιν, ἱλαράν γε καὶ πεποιθυῖαν οὖσαν, ἐξ ὅσου δὴ ἐξοπλισθῆναι δικαίως καὶ πρεπόντως ἐξεγένετο. καὶ μὲν δὴ καὶ τὸ θεῖον, εἰς περιωρισμένον τινὰ χρόνον ἡμᾶς τ' ἀπεστράφθαι δόξαι, καὶ τοῖς ἀντιπάλοις ἡμῶν πρᾳέως καὶ ἀρεστῶς προσβλέψαι, αὖθις αὖ τοὺς ἑαυτοῦ ἰδίους καὶ ἐξαιρέτους θεράποντας ἀναβλέψειν οἶμαι ὅτι τάχιστα, καὶ τὰ ἐσφαλμένα ἐπανορθώσειν, ταῖς τῶν εὐσεβῶν δῆθεν δεήσεσιν ἐξιλασθέν, καὶ τῶν πεπλημμελημένων τοῖς πολλοῖς, τιμωρίαν ὀλίγοις κατακεχαρισμένον. τὰ μέντοι μετὰ τὴν ἀνάζευξιν τῆς πολιορκίας, ἣν οἱ ὑπεναντίοι ἐκκαμόντες καὶ ἀπορούμενοι ἐγκατέλιπον, οὔπω ἡμῖν πιστῶς ἔγνωσται. οὐδὲ μὴν ἴσως τῷ βασιλεῖ δέδοκται ἰσχυρῶς ἢ βεβούλευται, ὅ τι τὸ ἐπὶ τούτῳ πρακτέον, αὐτῶν φυγομαχούντων. φήμη δὲ ἐξῆλθεν

aliò quopiã è regione noſtra perniciosè calamitoſéque diſcedentibus, rege videlicet in armis ſe venditante, haud quidpiam modò literis prodidero. Lubenti animo tamen ipſe hanc materiam attingerem ſi in otio ſat idoneo eſſem. Atqui iſtud interea dicere non dubitarem, quoniam ordinis comitatúſque noſtri ſpecies, non multò anteà ſubtriſtis ac non abſimilis à riſu ſibi tempetãti cùm eſſet, nunc tranquillitatem iure ſubiuit & feſtiuitatem: meritò: adfingit enim ſeipſam ad ipſius ductoris merum imperium habentis faciem, hilaré quidem atque cõfidentem, ex quo certè armis muniri iure & honeſtè licitum eſt. Et verò ſupremũ numẽ, circumſcriptum ac determinatum tempus quoddam in nos contuliſſe viſum, & hoſtes noſtros clementer placidéque conſpexiſſe, in poſterum ſuos præcipuos eximióſque famulos reuiſurum opinor, & quã celerrimè vitia emendaturum, religioſorum vtpote hominum deprecationibus pacificatum, & eorum quæ à cõpluribus iniquè acta ſunt, pœnam perpaucis gratiosè conceſſit. Quæ porrò fieri debeant poſt ſolutionem ac remotionẽ obſidionis, quam aduerſarij labori cedentes animóque pendentes dereliquerunt, necdum nobis pro certo cognita ſunt. Nec quidem fortaſſis regi certum eſt magnopere vel deliberatum, quid deinceps agendum ſit, ipſis pugnam detrectantibus. rumor verò diuulgatus eſt

tanquam ſecuturi ſimus ipſos, & æquali conditione eorum populationem ac incendium vi propulſaturi. Draconem cupio vacare tibi attentiùs Ciceronis & alia ſcripta explicanti, magis quàm ad meliteras dantem occupari derelinquendo ea quæ inter manus nunc habentur. Vale.

BVDÆVS MAINO.

AGnoui tuam libenter epiſtolã, ſtrenuo quidem certè ingenio & confidenti peregrina voce ſonãtem, per quam felicem tu animi alacritatem edidiſti vergentem ad linguam Græcam. Optarim autem ſubſequentem progreſſum atque honeſtam occupationem præcedenti perfectioni proportione reſpondentem incrementum ſuſcipere. Quod ſane optimo iure ſperare potuiſſes me accedente & in publicum prodeunte, vt quidem fore ſuſpicor. Alioqui non iam vita fruendum mihi neque arbitror nec æquum puto, quin cum amica philologia [id eſt ſtudio literario] conſeneſcam. quãdoquidem & in eius commercio immori decreui. Quã profectò circumferre mecum huc & illuc oberrantem, haud impoſſile quidem, incommodum autem ac moleſtum eſt, cùm minimè conuaſarim quidem ſimul & eius ſupellectilem, qui cultus eſt ſanè conſuetudinis ipſius. Verumenimuerò quid vtilitatis eſſet mihi philologiã nudam & vacuam amplectẽti, niſi

ὡς ἀκολουθησόντων ἡμῶν αὐτοῖς, καὶ τοῖς ἴσοις τὴν τούτων λεηλασίαν καὶ πυρπόλησιν ἀμυνουμένων. Δράκωνα βουλόμην σχολάσαι σοι προσεχέστερον τὰ Κικέρωνος καὶ ἄλλα ἑρμηνεύοντι, μᾶλλον, ἢ ἐμοὶ ἐπιστέλλοντα ἀπασχολεῖσθαι ἀφέμενον τῶν μετὰ χεῖρας νῦν ἐχομένων. ἔρρωσο.

ΒΟΥΔΑΙΟΣ ΜΑΙΝΩ
εὖ πράττειν.

ἈΝέγνων σου ἀσμένως τὴν ἐπιστολὴν, νεανικῶς γέτοι καὶ εὐθαρσῶς ξενίζουσαν, δι' ἧς εὐτυχῆ σὺ προθυμίαν ἐπεδείξω εἰς τὴν γλῶτταν φερομένην τὴν ἑλλάδα. ἐπευξάμην δὲ τὴν μετὰ ταῦτα προέλευσίν τε καὶ σπουδὴν ἀνάλογον αὔξεσθαι τῇ πρὸ τούτου κατορθώσει, ὃ δὴ εὐλόγως ἂν ἤλπισας ἐμοῦ ἐπιδημοῦντος, ὥς γε ἔσεσθαι προσδοκῶ. οὐ γὰρ ἂν ἤδη βιωτὸν εἶναί μοι οὔθ' ἡγοῦμαι οὔτ' ἀξιῶ, μὴ οὐχὶ τῇ ἐρωμένῃ μου φιλολογίᾳ συγγηράσκοντι. ὅπου γε καὶ ταύτης ἐναποψύχειν τῇ ὁμιλίᾳ ἔγνωκα. ἣν δὴ συμπεριφέρειν ἐμαυτῷ τῇδε κἀκεῖσε περινοστοῦσαν, οὐκ ἀδύνατον μὲν, δυσωφελὲς δὲ καὶ δυσχερὲς ἐστι, μὴ συνεσκευασμένον γε ἅμα καὶ ταύτης τὴν ἀποσκευὴν, κατασκευὴν οὖσαν δήπου τῆς ὁμιλίας αὐτῆς. ἐπεὶ τί ἂν ὄφελος εἴη μοι τὴν φιλολογίαν γυμνὴν ἀσπαζομένῳ, ἣν μὴ

καὶ

καὶ μέρος τι τῶν συγγραμμάτων ἑκάστοτέ μοι παρῇ, καὶ τόπος δὲ τούτοις ἐνεπικύπτειν προσῇ. ταύτης τοίνυν τῆς ἀκολουθίας ἐχομένῳ μοι, καὶ θεραπείας δὲ τῆς Ἥρας τῆς περὶ αὐλήν, πόθεν τοσαύτη ῥᾳστώνη τε καὶ χορηγία, ὅση καὶ τηλικούτοις ἀναλώμασί τε καὶ εὐκαιρίᾳ τῇ προσηκούσῃ ἐπαρκεῖν. ἡμᾶς μὲν οὖν τούτου τοῦ ἔρωτος ἄγαν ἀεὶ περιεχομένους, πολὺ μᾶλλον οἶμαι συμφέρειν ἔσται οἰκουροῦσι τῇ ἐρωμένῃ προσιέναι ὅπῃ ἂν τάχιστα ἐγχωρῇ τὰ τῆς ἀφορμῆς, καὶ ἐπιπολὺ συνεῖναι, ἢ τηλικαύτῃ δυσχερείᾳ ἀπομαχομένους, δυσερώτως διακεῖσθαι, τῇ στερρομένῃ συνόντας ἀεί, καὶ οὐδὲν τῆς παρουσίας αὐτῆς ἀπολαύοντας. πῶς γὰρ οὐκ ἂν ῥᾳδιέστερον ἀπαλλάξαιμεν οὕτως τῆς λειτουργίας ταύτης, ἣν οὐχ ἡμῖν μέν, οὐδὲν δεομένοις δήπου τῆς ἐνοχλήσεως τῆσδε, τοῖς ἄλλοις δὲ κοινῇ τοῖς περὶ τὴν φιλολογίαν λειτουργεῖν οἰόμεθα, ἢ τοῖς γε οὖν φιλτάτοις τοῖς ἡμετέροις καὶ ἐκγόνοις. ἄσπασαί μοι τοὺς παῖδας καί, τὴν ἐπιδημίαν τὴν ἐμὴν αὖθις εἰς βραχὺ προαγόρευσον, ὅπως ἂν τὴν τούτων σπουδήν, ἴσως ἤδη κάμνουσαν, εἰς ταύτην τὴν προσδοκίαν πάλιν ἐπανεγείρῃς. ἔρρωσο σύ, ἐρρώσθων δὲ καὶ ἐκεῖνοι. ἐν Κομφενδίῳ ἕκτῃ καλενδῶν τῶν νοεμβρίων.

pars quædam voluminum vbique mihi præſtò ſit; & locus porrò iſtis operam dandi adſit. Mihi igitur cum hoc aulico ordine coniuncto, & cum obſequio cultúque Iunonis [ambitionis deæ] in aula verſantis, vnde tantus rerum ſecundarũ proceſſus atque erogatio, quanta etiã tantis impenſis, necnon tempeſtiuitati conducibili ſubueniat. Nos verò huic ſemper amori vehementer animum adiicientes, longè ni fallor commodius erit domi ſe cõtinendo amicam adire ſimulatque permiſerit opportunitas, & copioſè eadem familiariter vti, quàm tãtam difficultatẽ populſando, moroſè ac miſerè amare, perpetuò cũ chariſſima amica viuentes, & nullum præſentiæ ipſius commodum ſentientes. Nam quidni facilius effugeremus ſic officium hoc publicum, quod non nobis quidem nihil ſcilicet moleſtiæ huius deſiderantibus, ſed aliis qui occupantur circa ſtudium literarum communiter operam dãdo miniſtrare cenſemus, aut ſaltem amiciſſimis noſtris, filiis ac nepotibus à me ortum ducturis. Salutato meo nomine liberos, acceſſúmque meum ipſis intra paucos dies denuntia, vt eorundem ſtudium, fortaſſis iam defatigatum, ad hanc rurſum expectationem excites. Vale tu, valeant autem etiam illi. Comphendij, ſexto calendas Nomembris.

GVLIELMVS BVDÆVS IANO LASCARI BENE AGERE.

OCulis quidem percurri, ô frater, epoſtolam tuã domo huc mihi ex vrbe miſſam, nõdum porrò quaterniones vidi, quos ibi conſeruari volui, dum tu curam ſuſcipis eorum qui ſuperſunt vt iſtis coaptentur. Non quòd ego quidem cupidus ſim eos qui nunc recuperati ſunt cum mittendis quàmprimùm interpretari. Alioqui vnde mihi tanti nunc otij participatio eſſet, ceſſationem quandam negotioſam variiſque curis implicitam, vt ſic dicam, vtique perpetranti. Vt autem, in conſequens tempus eorum explicationem differens, tandémque in admittendam opportunitatem, interim donum tuum adferens regi tradidero ſimulatque permiſerit occaſio. Noſti enim vtique tu quidem aulæ non rudis & inexpertus cùm ſis, quemadmodũ ſanè talia non probantur in regia in medium exhibita non opportunè. Quanquam pelta tua & reliqua mihi commiſſa, adhuc etiam nunc cuſtodiuntur in ædibus meis depoſita reconditáque non negligenter. Non iam ea quidem pignoris ſortem habentia. nec enim modò eorum quidpiam nec tibi nec alteri cuiuis congruit præterquàmquòd regi, cuius profectò iſta nunc facta ſunt emolumẽtum acquiſitióque. Quinetiam me quidem, ſecundum præceptum tuũ apud me depoſita,

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ Ἰανῷ τῷ Λασκάρει εὖ πράττειν.

Ἀνέγνων μὲν, ὦ ἀδελφὲ τὴν ἐπιστολὴν τὴν σὴν οἴκοθέν μοι ἐνθάδε ἀποπεμφθεῖσαν ἐκ τῆς πόλεως, οὔπω δὲ τετράδια εἶδον, ἅπερ ἐκεῖ διασώζεσθαι ἠβουλήθην, ἐν ὅσῳ σὺ δι' ἐπιμελείας ἔχῃς τὰ λοιπὰ ὅπως τούτοις συναφθήσεται. οὐχ ὡς ἐμοῦ μὲν ταῦτα τὰ νῦν ἀπειλημμένα σὺν τοῖς πεμφθησομένοις μεταφράσαι αὐτίκα δὴ μάλα ἐφιεμένου. ἐπεί τοι πόθεν μοι τηλικαύτης σχολῆς μετείη τινῶν ἔχον, τήν γε ἀργίαν τινὰ πολυπράγμονα, ὡς ἔπος εἰπεῖν, ἐργαζομένῳ. ἵνα δὲ, εἰς τὸν ἐπιόντα χρόνον τούτων τὴν ἑρμηνείαν ἐπαναβαλλόμενος, καὶ ἐπὶ τόν ποτε καιρὸν ἐνδεξόμενον, τέως τὸ δῶρόν σου τῷ βασιλεῖ φέρων παρεγχειρισαίμην ἐγχωρούσης εὐθὺς ἀφορμῆς. οἶσθα γὰρ δήπου σύ γε τῶν περὶ τὴν αὐλὴν οὐκ ἄπειρος ὤν, ὡς ἄρα οὐκ εὐδοκιμεῖ τὰ τοιαῦτα ἐν τοῖς βασιλείοις εἰς μέσον παριστάμενα οὐκ ἐν δέοντι. ἡ μέντοι πέλτη σὴ καὶ τὰ λοιπὰ ἐμοὶ ἐπιτετραμμένα, ἔτι καὶ νῦν σώζεται οἰκίᾳ ἐναποτεθειμένα τῇ ἐμῇ οὐκ ὀλιγώρως. οὐκ ἤδη ταῦτά γε παρακαταθήκης μοῖραν ἔχοντα. οὐδὲ γὰρ νῦν τούτων οὐδὲν οὔτε σοι, οὔτ' ἄλλῳ τινὶ προσήκει πλὴν βασιλέως, οὗ δὴ ταῦτα νῦν κτῆμα γέγονε. καὶ μὴν ἐμοῦ μὲν, κατὰ τὸ ἔνταλμά σου τὰ παρακατατεθέντα παρ' ἐμοὶ,

εὖ μάλα κατειρηκότος αὐτοῦ καὶ μηνύσαντος, τούτου δὲ, τὸ δῶρον αὐτὸ καίπερ οὐχ ἑωραμένον πω ἐνδεξαμένου κεχαρισμένως, ἑαυτῷ τε διαφυλάξασθαι ἐπιτάξαντος ἐμοὶ ἕως τῆς αὐτοῦ δεῦρ ἐπανόδου, πῶς οὐ καλῶς μὲν ἐγὼ καὶ πιστῶς τὰ ἐντεταλμένα διεξιέναι δοκῶ, τὸ δῶρον δὲ, τῶν βασιλέως ἤδη χρημάτων ἐγένετο, καὶ ἀπὸ τῶν σῶν ὑπαρχόντων μετέστη. καὶ μὲν ἄλλως ἐξ οὗ ἐντεῦθεν ἀπηλλάγης, κεχρῆσθαί μοι δοκῶ παρατυχούσαις ἑκάστοτε ἀφορμαῖς φιλίως καὶ καθηκόντως, ἐφ᾽ ᾧ τὸ ὄνομά σου συστῆσαι τῷ τε αὐλικῷ εἰς τοὐπίπαν, καὶ τῇ τούτου κορυφῇ. ὥστε οἱ περὶ τὸν Λάσκαριν διὰ μνήμης ἐνταῦθα νῦν ἄγονται διαφερούσης τε καὶ ἐνδόξου, μάλιστα μὲν, ὡς εἰκὸς, διὰ τὴν σὴν ὁμιλίαν ἔτι καὶ ἐν τῷ παρόντι ἐνιζάνουσαν ταῖς τῶν ἀνθρώπων αἰσθήσεσιν (ὅπου γε καὶ τὸ χάριεν τῶν ἀπομνημονευμάτων τῶν σῶν, καὶ τῶν ἀποφθεγμάτων τὸ κομψὸν, ὡς νεαρὸν ἔτι καὶ ἔναυλον προσδιαμένει) ἔπειτα δὲ καὶ δι᾽ ἐμὲ, τῷ γε ὀνόματι τῷ σῷ χρησάμενον ἐπ᾽ ἀγαθῷ, καὶ ὅτι ἂν δὲ μοι δοκῇ συνοίσειν εἰς τὰ σὰ, προῃρημένον. τούτου γέτοι μάρτυς μὲν ἐστιν ἐμοὶ ὁ θεὸς, ὁ ἐφορῶν τό τ᾽ ἐμὸν συνειδὸς καὶ τὸ σόν. μάρτυς δὲ καὶ ὁ μέγιστος τῶν βασιλείων διοικητὴς, ὁ τὰ νόθα ἐνεγκάμενος τῆς Σαβαυδίας, πάνυ σπουδάζων τοῖς σοῖς πράγμασι, καὶ τούτων συνεπιλαμβανόμενός σοι, καὶ δὴ καὶ συναιρόμενος,

pulchrè admodum detegente ipſi, indicátéque, eodem porrò, donū ipſum quanuis non viſum adhuc iucundè admittente, ſibíque ipſi aſſeruari imperante mihi ad reditum vſque ipſius in hunc locum, quo pacto non honeſtè quidē ego fideliterque mādata cōfeciſſe cenſeor, donum autem iam euaſit in cenſum regis & ex tuis facultatibus migrauit. Et quidem aliâs ex quò hinc digreſſus es, certum eſt, mihi me paſſim vſum fuiſſe beneuolè & officiosè quibuſcunque occaſionibus, vt nomen tuum aulico comitatui in vniuerſum innoteſcere facerem & commēdarem, eiuſdémq. faſtigio. Vt Laſcaris hîc nūc memoria celebretur excellenti atque clara, maximè quidem, vt par eſt, ob tuam conuerſationem adhuc etiam in præſentia hominum ſenſibus inſidentem. vt pote cùm & vrbanitas commentariorū tuorum, & breuium venuſtarúmque ſententiarum lepor, veluti nouus adhuc & perſonans permanet. Ad hæc porrò etiam mea cauſa, tuo quidem nomine qui vſus ſum in bonam partem, & quod ſanè mihi videretur prodeſſe tuis rebus, conſultò egerim. Huius rei verò teſtis quidem eſt mihi deus, obſeruans & meam conſcientiam & tuam. Teſtis porrò etiam maximus aulæ regiæ gubernator ac temperator, qui quæ nothis data fuerāt Sabaudiæ detulit, vehementer intendens animum tuis rebus, earúmque tecum particeps, atq. etiā opitulator,

qui quidẽ & tua cauſa res meas ſe amare & obſeruare ait. Iſta porrò facere cum cœperim elapſis tẽporibus, perſeuerans que in poſterũ eadem agere, quacunque oblata occaſione gratias tibi rependẽs, compertũ quidẽ habeo nec vnã de multis, vt aiunt, partib⁹ adæquare mihi facultatem dari eorum quę tibi debentur ob naturæ manſuetudinem & facilitatem, nedum propter ea quæ à te mihi priùs ſuppeditata ſunt. Nam quo pacto vt decet te remunerare valerem noſtræ neceſſitudinis cauſa eximia cùm ſit & vetus, & eorum gratia quæ à te iampridem in me beneficè collata ſunt, quantum quidem certè fuit in te prompto nóſque commodo afficere affectãte. Quanquam nullo me forſan eximio tu quidem beneficio cumulare enixus ſis, cuius quidem æquitas & electio candida, ex æquo congrua rapitur per totam familiam & ſtudioſorum & eorum qui probi eſſe cenſentur. Verùm de his quidem rebus hucuſque. Atqui tu vir dilectiſſime, ſi nactus fueris quendam alicubi librũ eius quæ ibi eſt bibliothecæ, cuius argumentũ nos maximè admiremur, tu quippe noſtram voluntatẽ & affectum planè perſpexiſti, huius exemplum & imaginem quandã ad nos mittens, admodum eris nobis gratus, & tanquam animi mei dolorem minuens, in hoc verſatili carcere incluſi. Ecce profectò quod à te mandatum eſt, te neceſſario meo vtor imperioſè. Galeatius tuus, meus iam effectus eſt, qui

ὅς γε καὶ διά σε στέργειν τὰ ἐμὰ καὶ περιέπειν φησί. ταῦτα μέντοι ποιεῖν τε φθάσας ἐν τοῖς ἔμπροσθεν, καὶ διατελῶν εἰσαῦθις τὰ αὐτὰ ποιῶν, ὅπῃ τε ἂν παρείκῃ χάριτάς σοι ἀνταποδιδούς, οἶδά γ' οὐδὲ πολλοστόν φασι μόριον ἐξισοῦσθαι οἷός τ' ὢν τῶν σοι ὀφειλομένων διὰ τὴν ἐπιείκειαν τοῦ ἤθους, οὐχ ὅπως διὰ τὰ ὑπὸ σοῦ ἐμοὶ προϋπηργμένα. πῶς γὰρ ἂν ἀξίως ἀμείψασθαί σε δυναίμην τῆς τε ἡμετέρας φιλίας περιττῆς οὔσης καὶ ἀπηρχαιωμένης, ὧν τε ὑπὸ σοῦ πρόπαλαι εὖ πέπονθα, ὅσον γε δὴ ἐγένετο ἐπὶ σοὶ προθυμουμένῳ καὶ εὖ δρᾶν ἡμᾶς ὀρεγομένῳ. καίτοι οὐδέν με ἴσως ἐξαίρετον σύ γε εὖ ποιεῖν ἐπεχείρησας, οὗ γε ἡ ἐπιείκεια καὶ προαίρεσις εὐγνώμων, δι' ὅλου καθήκουσα ἀδιχωμάλως φέρεται τοῦ γένους τῶν τε σπουδαίων καὶ τῶν ἀγαθῶν εἶναι δοκούντων. ἀλλὰ περὶ μὲν τούτων ἄχρι τοῦδε. σύ γε μὴν ἄνερ φίλτατε, ἂν τινί που βιβλίῳ ἐντύχῃς τῆς αὐτόθι βιβλιοθήκης, οὗ μάλιστ' ἂν τὴν ὑπόθεσιν ἡμεῖς ἀγασθείημεν. σὺ γάρ τοι τὴν ἡμετέραν γνώμην καὶ φρόνημα ἀκριβῶς κατέμαθες, τούτου τι ἀπόγραφον ἡμῖν πέμψας, λίαν ἔσῃ κεχαρισμένος, καὶ ὡσπερεὶ τὴν ἐμὴν ψυχὴν παρηγορήσας, ἐν τῇδε τῇ εἱρκτῇ περιφορήτῳ καθειργνυμένην. ἰδοὺ δὴ τὸ ὑπὸ σοῦ ἐντεταλμένον, σοὶ τῷ φίλῳ μου χρῶμαι ἐπιτακτικῶς. Γαλεάτιος ὁ σὸς, ἐμὸς ἤδη γεγένηται, ὃς

δὴ ἐν πώγωνα τουτονὶ δι' ἐμοῦ προσαγορεύει, πάντας δὴ τοὺς εὐδοκιμοῦντας τοὺς καθ' ἡμᾶς, ὄντας ἤδη πλείστους, σεμνοπροσωπίᾳ καὶ αἰδεσιμότητι. Σαλμώνιος ἀνὴρ ὑπεράγαθος καὶ ποιητὴς ἔνδοξος, πάλαι ἐκ τῆς αὐλῆς ᾤχετο, νῦν ἐν Βλαισοῖς διαιτώμενος. τέλος δέ, ἐπειδὴ σὺ γνῶναι τὰ κατ' ἐμὲ ἀξιοῖς, τοῦτ' ἔχε νῦν, ὡς ἄρα τὰ ἐμὰ ἐλπίδος μὲν ἐξήρτηται, οὐ τῆς τυχούσης, ἐξ ἐλπίδος δὲ ὅμως ἤρτηται, οὐκ ἔτι πάμπαν καθεστηκότα. σύνταξιν δὲ ἐν τῷ μεταξὺ συνετάχθην οὐκ εὐτελῆ καὶ εἰκαίαν. ἔρρωσο, μαΐου πρώτῃ ἐπὶ δέκα.

certè barbam hanc tuam mea gratia ſalutat, omnes profectò noſtros contemporaneos obſcurantē, qui iam ſunt permulti, oris ac faciei grauitate verecundiâq. Salmonius vir perquàm optimus & illuſtris poëta, pridē ex aula diſceſſit, nunc Blæſiis degens. in ſumma autem, quum tu cognoſcere quæ ad me, attinent flagites, iſtud nunc habe, quòd ſcilicet res meæ ſpei quidem annexæ ſunt, non triuiali, ſed ex ſpe nihilominus pendent, non adhuc planè conſtitutæ. in ordinem interea redactus fui non tenuem & leuem. Vale, Maij primo die ſupra decem.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ
Ἰάνῳ Λασκάρει εὖ πράττειν.

ΙΣΘΙ μέν, ὦ πάντων τῶν φίλων ἐμῶν ἥδιστε καὶ ἀντάδελφε, ἀπολαβόντας ἡμᾶς ἔναγχος τὰ ἓξ τετράδια τοῦ Διοδώρου σὺν τῷ σῷ ἐπιστολίῳ, πρότερον γ' ἀπειληφότας τὰ δύο πρῶτα σὺν τῇ σῇ ἐπιστολῇ, ὥσπερ ἡμεῖς ἔμπροσθέν σοι διὰ γραμμάτων ἐδηλώσαμεν. ἀλλά τοι τούτων τὴν ἀνάγνωσιν ἡμᾶς ἴσθι εἰς ὕστερον ἀναβαλέσθαι, τοῦτο μὲν δι' ἄλλα κατεπείγοντας οἷς ἡμῖν σχολάσαι ἐπάναγκες ἐν τῷ παρόντι. τοῦτο δέ, ὑπερθεμένους τὰ μέσα τε καὶ τὰ ἔσχατα διελθεῖν, ἄχρις ἂν τοῖς πρώτοις ἐντύχωμεν οἴκοι μοι φυλαττομένοις. οὐ γὰρ ἐπὶ τὴν αὐλικὴν ἀκολουθίαν αὐτὰ εἰσεκομίσθη τὸ πρότερον, εἰς μέν τοι τὴν πόλιν τὴν Παρησίων.

GVLIELMVS BVDÆVS
IANO LASCARI BENE AGERE.

SCias quidem, ô cunctorū amicorum meorum gratiſſime, & qui es mihi fratris vice, nos paulò antè ſex Diodori quaterniones cū epiſtolio recuperaſſe, anteà quidē cùm recepiſſemus duos primos cū tua epiſtola, ſicuti prius tibi per literas indicauimus. Atqui eorum lectionem nos compertū habeas in poſterum prorogauiſſe, cùm alia quædam accelerantes, quibus nobis vacare neceſſum eſt in præſentiarum m:tum, differentes medios atque extremos legere ac perluſtrare, donec primos legerimus, domi mihi qui cuſtodiuntur. Nec enim in aulicū comitatū ipſi apportati fuerūt priùs, in ciuitatē quidē Pariſiorū

cùm pertulerit volumen quaternionum tuus tabellarius, domeſtíſque meis exhibuerit, literas quidem illi hûc mittentes, quaterniones aſſeruantes domi habent. ſic enim nobis placere nouerant, formidantibus nimirum eorum cauſa, ne cui cõmitterentur ſtatim perferendi eorum qui cõtemptui habere conſueſcunt apud ſe depoſita. Quinetiam regi vt fas erat factum prodidi, téque promiſſum integrè præbuiſſe narraui quod olim ipſi voueras, nil quicquam omittẽs ex his quæ iuſta ſunt in amicitia nõ ficta, non per barbam tuam, quam, dum diſcederes te amplexus deoſculatus ſum, tuis adhærentibus arctiſſiméque copulatis cum meis brachiis, ac noſtris oribus, vt coniicio, animi amborum beneuolentiã dilectionémque manifeſtè præ ſe ferentibus. Atqui vt vnde elapſus ſum illuc regrediar, ipſe quidem neſcio quot ſanè dies regem obſeruaui, ſicubi ipſi in animum ſubiret eruditis vacare auditionibus. Fortuna autem nobis tandem ſecũdum quendam ſucceſſum concedente, circa cœnam ipſius quod decreueramꝰ aggredi primùm auſpicati poſtquàm eſt ingreſſus quidem à cœna ſtatim in cellam interiorem, ſimul ingreſſi ſumus ipſi cum paucis. Quod ſanè cùm liceat penè ſemper facere quod ad regẽ attinet, haud lubens nihilominus facio nec quacunque oblata à fortuna occaſione, officij eorum qui dant operam ſtudio literario iſtud

κομίσαντος δὲ τὸ εἴλημα τῶν τετραδίων τοῦ σοῦ γραμματοφόρου, οἰκείοις τ' ἐμοῖς ἐπιδόντος, γράμματα μὲν ἐκεῖνοι ἐνθάδε πεπομφότες, τὰ τετράδια οἴκοι τηρήσαντες ἔχουσιν. οὕτω γάρ τοι ἡμῖν εἶναι βουλομένοις ᾔδεσαν, δεδιότες δήπου ὑπὲρ αὐτῶν, μήπω ἐπιτραπείη κεκομισμένα που τουτωνὶ τῷ δι' ἀμελείας ἔχειν φιλούντων τὰ παρακατατεθειμένα. ἀλλὰ μὴν τῷ βασιλεῖ ὡς ἐχρῆν τὸ πρᾶγμα κατεμήνυσα, ὑπόσχεσίν τε παρεσχηκέναι ἀφηγησάμην ὁλοκλήρως σε ἣν ὑπέσχου ποτ' αὐτῷ, τοῦ οὐδέν τι καθυφέμενος ἔγωγ' οὐδ' ὅλως τῶν δικαίων τῶν κατὰ τὴν φιλίαν τὴν εἰλικρινῆ, οὐ μὰ τὸν πώγωνα τὸν σόν, ὅντιν' οἰχομένου σε ἀσπασάμενος κατεφίλησα, τοῖς ἐμοῖς γε βραχίοσι τῶν σῶν προσπεφυκότων, ἡμετέρων τε προσώπων, ὡς οἶμαι, τὸ τῆς γνώμης τῆς ἀμφοῖν προσφιλὲς ἀτεχνῶς κατηγορούντων. ἀλλὰ γὰρ ἵν' ὅθεν ἐξέβην ἐνθ' ἐπανίοιμι, ἐτύγχανον μὲν αὐτὸς ὁποσασδὴ ἡμέρας παρατηρήσας τὸν βασιλέα, εἴ πω σχολάσαι αὐτῷ ἐπέλθοι τοῖς ἀπὸ παιδείας ἀκροάμασι. δούσης δ' ἡμῖν ποτὲ τὴν εὐημερίαν τῆς τύχης, παρὰ τὸ δεῖπνον αὐτοῦ ἐπιθέσθαι τῷ δεδογμένῳ πρᾶγμα ἐναρξάμενοι, εἰσιόντι γ' ἀπὸ δείπνου εὐθὺς εἰς τὸν οἰκίσκον τὸν ἐνδοτέρω, συνεισῇμεν αὐτοὶ μετ' ὀλίγων. ὃ δὴ ἐξὸν ὡς ἐπὶ τὸ πολὺ ποιεῖν τό γε ἐπὶ βασιλεῖ, οὐχ ἄσμενος ὅμως ποιοῦμαι οὐδὲ τυχόντως, πρὸς τῶν ἐχομένων τῆς φιλολογίας τοῦτ'

εἶναι δήπου οὐχ ἡγούμενος, μετὰ τῶν ἀπαιδεύτων ἐκεῖ κατατρίβειν τὸν χρόνον. παραχόντος μὲν οὖν αὖθις καὶ ἐνταῦθα τοῦ πράγματος ἐκπλέων ἐμοὶ τὴν παρρησίαν, τὴν ἐπιστολὴν αὖ τὴν σὴν τοῦ βαλαντίου ὑπεξαγαγὼν, ἡψάμην ἐπιτυχῶς τῶν ἀνήκειν δοκούντων καὶ φέρειν λόγων ἐπὶ τὸ ὑποτεθειμένον μοι. καὶ δὴ ταχὺ προχωροῦντος εὖ ἤδη τοῦ κοινολογήματος ἐφ᾽ ὃν ἐφιέμην λόγον αὐτὸ παρεισαγαγεῖν, ᾧ δὴ ἔγωγ᾽ ἐπεζήτειν ὅπῃ παρείκοι, ἐφ᾽ ᾧ τε τυχεῖν τοῦ καιροῦ. ὑπολαβὼν μὲν ὁ βασιλεὺς ἐπίθετό μου ἐνορῶν, ποῖον τί ἔφη ἐστὶν ὦ Βουδαῖε τὸ γραμμάτιον τουτὶ ὃ μετὰ χεῖρας ἔχεις; εἰπόντος δ᾽ ἐμοῦ εἶναι ἀπὸ τοῦ Λασκάρεως, ὄντος ἐν τῷ παρόντι Ἐνετίησιν ἐπὶ τῇ ἐντεταλμένῃ αὐτῷ παιδολογίᾳ. ὁ δὲ ἐκέλευσεν εὐθὺς ἐξαναγνῶναι, πρότερον γ᾽ αὐτὸς ὑπ᾽ ἐμοῦ σιωπῶντος παραδοθείσῃ αὐτῷ τῇ ἐπιστολῇ ἐνατενίσας, εἶτα ὡς ἔγνω ἀναγινώσκειν μὴ δυνάμενος, ἐμοὶ ἀποδοὺς καὶ διιέναι κελεύσας. ἐμοῦ τοίνυν ἀγαπητῶς πειθαρχοῦντος, καὶ τὸ γεγραμμένον εὐχερῶς ἐπεξιόντος, εἶτ᾽ ἐξηγουμένου σαφῶς τε καὶ ἐπιδεικτικῶς· ὁ μὲν ὑπολαβὼν ἀγασθαι ἔφη ὁ βασιλεὺς ἐμοῦ οὐδ᾽ ὅλως ἐνισχομένου περὶ τὴν ἀνάγνωσίν τε καὶ ἐξήγησιν. οἱ δὲ τὸ πρᾶγμα ἐκπλαγέντες οἱ παρεστῶτες, θαῦμα τοῦτο ποιεῖσθαι ἔφασκον, ἄνδρα ἡμεδαπὸν τηλικαύτην ἐμπειρίαν τῶν ἑλληνικῶν λόγων τοῖς λατινικοῖς.

eſſe certè non arbitrans, cum imperitis ibi conſumere tempus. Præſtante verò [rege] denuò & ibidem vltrò cumulatã mihi liberè loquẽdi fiduciam, tuam iterum epiſtolã è marſupio ſubducens, rationes attigi quæ proſperè viderentur peruenire ac adducere ad id quod mihi conſtitutum erat. Nam progrediente iam rectè noſtro colloquio in quã deſiderabam rationem ipſum irrepere, quam ſanè perſecutus eram quacunque oblata occaſione, hac conditione vt poſſem obtinere tempus idoneũ: rex quidem ſermonẽ interpellens ſuóque loco reſpondens me animaduertẽdo interrogauit, qualis inquit eſt, ô Budæe, iſta literula quam in manibus habes? Me autem dicente eſſe à Laſcare, qui nunc eſt Venetiis ob commiſſum ſibi puerorum delectum. Ille autem ſtatim imperauit vt perlegerem, priùs quidem ipſe à me tacente conceſſam eidem epiſtolam accurratè intuens, deinceps ſimulatque cognouit ſe eam legere non poſſe, eam mihi reddens iuſſit percenſere. Me itaque cupidè morem gerente, quódque ſcriptum erat facilè recenſente, dehinc explicante perſpicuè necnon oſtentabundè: is quidem reſpondens inquit rex ſe ſuſpicere & admirari me haud quaquã interturbatũ in lectione atq. explanatione. Illi porrò qui circunſtabant, eam ob rẽ obſtupeſcẽtes, demirari iſtud aſſeuerabant, gentis noſtræ virum tantã experiẽtiam literarũ Græcarũ Latinis

inſuper acquiſiuiſſe. Quod autem potiſſimùm fefellit & illuſit viros harum rerum inſcios, ipſóſque ore hiantes comparauit, fiducia erat mea nemine præſente eorum qui ſufficientes eſſent me conuincere. Eluceſcebat enim interea conſciẽtia quædam ſtabilis & valida vehementis experientiæ, planè non ficta. Ita cõmodè ipſe ritéque oſtẽtare tunc ſtudioſè conatus ſum meam ſolertiam, inter aſinos, vt aiunt, ſimia: interim certè ſtudens amicitiæ inſtituto quod decens & cõſentaneum erat impertire. haud riſum tenuiſti iam ſat ſcio, ob mirũ artificium à me inſuper paratum. Deinceps autem rege multa de te interrogante, reſpondi quatenus licuit tempeſtiuè conducibiléque fuit. Vale, Diuione ciuitate, in aula, Iunij menſis duodecimo die, quem Hecatombęonem aiunt eſſe. Anno à Chriſto nato viceſimo primo ſupra mille & quingentos.

ἐπικεκλῆσθαι, τὸ δὲ μάλιστα πεφενακικὸς ἄνδρας τῶν τοιούτων ἀπείρους, καὶ κεχηνότας αὐτοὺς παρεσκευακὸς, τὸ τεθαρρηκὸς ἦν ἐμὸν οὐδενὸς παρόντος τῶν ἐξελέγχειν δεινῶν. ἐξέλαμπε γὰρ ἐν τούτῳ συνειδός τι εὐσταθὲς καὶ νεανικὸν τῆς ἄγαν ἐμπειρίας, ὄντως ἀνυπόκριτον. οὕτω τοι δεξιῶς αὐτὸς καὶ προσηκόντως παρενδείξασθαι ἐφιλοτιμήθην τότε τὴν ἐμὴν δεινότητα, ἐν ὄνοις φασὶ πίθηκος. μεταξὺ μέν τοι σπουδάσας τῷ κατὰ φιλίαν νομίμῳ ἀπονέμειν τὸ καθῆκον. ἐγέλασας ἤδη εὖ οἶδ' ὅτι, ἐπὶ τῇ θαυματουργίᾳ ἐμοὶ ἐπιτετευγμένῃ. ἐπιπυνθανομένου δὲ ἐξῆς πολλὰ περὶ σοῦ τοῦ περὶ βασιλέα, ἀπεκρινάμην κατὰ τὸ ἐνδεχόμενον ἐπὶ καιροῦ καὶ προσῆκον. ἔρρωσο. ἐν Διβίωνι πόλει πρὸς τῇ αὐλῇ, ἰουνίου μηνὸς δευτέρᾳ ἐπὶ δέκα, ὃν ἑκατομβαιῶνά φασιν εἶναι. ἔτει ἀπὸ τῆς θεογονίας εἰκοστῷ πρώτῳ πρὸς τοῖς χιλίοις καὶ πεντακοσίοις.

GVLIELMVS BVDÆVS
IANO LASCARI
BENE AGERE.

CVm reſciuiſſem ô amice, omnium qui à me aſciti ſunt virorum ac beneuolorum aduentitiorum ſpectatiſſime, te ſanum hilarémque eſſe & in vrbe illuſtri tuóque animo acceptiſſima, voluptatem cepi rectè tibíque collætatus ſum, in tempore quidem iſto moleſtiſſimo alacriter vitam traducenti & pro animi tui ſententia.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ
Ἰανῷ τῷ Λασκάρει εὖ πράττειν.

ἈΚηκοὼς ὦ φίλε, ἁπάντων τῶν ἐμοὶ προσῳκειωμένων ἀνδρῶν καὶ εὐνόων ἐπικλήτων μάλιστα δεδοκιμασμένε, ὑγιῶς σε καὶ φαιδρῶς διακείμενον ἐν πόλει τῇ ἐπιφανεῖ καί σοι καταθυμιωτάτῃ, ἐχάρην εἰκότως καὶ συνήσθην σοι, ἐν καιρῷ γε τῷδε δυσχερεστάτῳ εὐθύμως διαιτωμένῳ καὶ κατὰ γνώμην.

καὶ

καὶ μὲν δὴ καὶ σὲ ὡσαύτως προσφιλῶς συγχαίρειν ἐμοὶ καὶ συναλγεῖν εἰκός ἐστιν, ἐξ ὧν δὴ αὐτὸς ἐγνωκὼς τυγχάνῃς τὰ μὲν καθ' ἡμᾶς πράγματα, ἤτοι ὑπ' ἐμοῦ κατωρθωμένα ἢ ἀτυχῶς ἐμοὶ συμβεβηκότα. ἐμὲ δέ, καλῶς καὶ ἐνδόξως, ἢ φαύλως αὖ καὶ ἀναξίως φέρεσθαι ἐν τῇ συνόδῳ ταύτῃ, εἰς ἣν οὐκ αὐθαιρέτως οὐδ' ἀπροκλήτως αὐτὸς παρενεγράφην. σὲ μὲν οὖν, ὦ φίλε, πλείω χρόνον λεληθέναι οὐκ ἂν ἐάσω ὃ περὶ τὰ ἐμὰ γεγονὸς ἐξ οὗπερ ἐντεῦθεν αὐτὸς ἀπελήλυθας. τοῦτο γὰρ οὖν οὕτω πως ἔχει τῷ συνελόντι φάναι. ἦμεν ἤδη πολὺν χρόνον ἐπὶ λόγῳ καὶ δόξῃ παιδείας ὁπωσδήποτ' εὐδοκιμοῦντες, ἐλπίδας τε λαμπρὰς ᾐρημένοι, ὡς εἰς εὐπραγίαν καὶ τιμὴν αὐτίκα δὴ ἡξούσης τῆς καλλίστων μαθημάτων τῆς ἐμπειρίας. καὶ πολὺς δὴ λόγος περὶ τούτου ἐγηγερμένος, φιλοπονίαν θαυμαστὴν ὅσην ἐν τοῖς φιλομαθέσι τῶν νέων ἐμπεποιήκει. τηλικαύτην δὲ τὴν προσδοκίαν ἡμῶν ἐπὶ τὸ σύμπαν γένος τῶν φιλολόγων ἐπιβάλλουσαν καὶ καθήκουσαν, ἡ τούτου τοῦ καιροῦ ταραχὴ ἔκπυστος, καὶ διὰ πολλῶν ἐθνῶν διήκουσα, τυγχάνει τὸ νῦν ἔχον παύσασα· καὶ γενναιοτάτην δὲ προαίρεσιν τοῦ βασιλέως Φραγκίσκου προσκαίρως κατευνάσασα (μὴ γὰρ εἴποιμι ἀποσβέσασα) εἰς τὰ καλὰ καὶ ἐπαινετὰ τῶν ἐπιτηδευμάτων ἱεμένην, ὡς οἶσθα, προθυμότατα, ἀριστίνδην μὲν ἐκάλησε τοὺς

Quinetiā te conſimili ratione beneuolo animo congratulari mihi & condolere cōſentaneum eſt, ex quo ipſe cognoueris noſtra quidē negotia, ſiue à me pro voto geſta ſint, ſiue inauſpicatò mihi contigerint: mecum porrò humaniter & honorificè, vel incōmodè è diuerſo & abſurdè ſi agatur in iſto conuētu, in quo nō voluntariè neq. vltrò ipſe collocatus interpoſitúſque fui. Te verò, ô amice, ampliori tempore fugere non ſinam quod factū eſt quoad res meas ex quo hinc tu profectus es. Iſtud igitur ſic ſe habet vt ſemel dicā: eramus iam multo tempore ob exiſtimationem celebrémque opinionem eruditionis vtcunque gloria pollētes, ſpémque ingenuam obtinueramus: perinde quaſi ad ſecundam fortunā & honorem iamiam deuentura ſit præſtantiſſimarum diſciplinarū facultas. Ac multus profectò ſermo hac de re ſurgēs, induſtriam mirificam & egregiam ſtudioſis adoleſcentibus inſeuerat. ſed tantam expectationem noſtram ad vniuerſam literatiſſimorum familiam attinentem & pertingentem, huius temporis manifeſta perturbatio, per multas nationes permeās, nunc ceſſare fecit, & ſingularē Franciſci regis volūtatem ad tempus ſopiuit: nō enim dixerim quod extinxerit: ad præclara laudandáque munera, quemadmodum non ignoras, expeditiſſimè feſtinantem, optimos quoſque concitauit quidem eos qui

attētè in ſtudio literario ſeriò agūt, me autem quantum ſanè ad ſe attinet ex promiſcua & publica hac confuſione mœſtitiáque pro derelicto habuit. Si ſemotis arbitris certè ſcire tibi curæ eſt quo pacto ſeſe habent noſtra negotia, ſcias amicū re habere iuxta meritum quidem, hoc tēpore opportuno in aula verſantem, quantùm ſaltem ſpectat ad regē & ad eos qui huic generis cōiunctione propinqui ſunt propemodum omnes, prætereà etiam dixerim ad elegantiores eorum qui ſunt in dignitate: nequaquam verò digna quidem me adhuc accepiſſe, neque opinione atquē poſtulatione complurium, nec mea expectatione, quæ prius animo concepta fuerat neque incōſultò nec ex quibuſlibet argumētis. Quodſi tu quænam ſit huius rei cauſa inquireres, primùm quidem cauſarer fortunæ meæ petulantiam ac laſciuiam perpetuò æmulæ mihí que aduerſantis. Quæ quidem elapſis temporibus in me paſſim ſæuire exultabat & perſeuerabat me opprimere ſēper, ac circumminuere patrimoniū & poſſeſſiones à maioribus acceptas quæ mihi obtigerunt, quanuis ipſe non ex obſcuro emergant: deprauare nimirum apud me volens vehementiſſimum animi deſideriū erga elegantiora literarum ſtudia, nempe cōtēnentia ea quæ ſummoperè affectātur à quamplurimis & imperitis, quæ ſcilicet ab ipſa diſtribuuntur. nuper autem rurſus etiā lauta quædā ſubſidia eadē fortuna exitioſa à me ſubduxit, & oppor-

ἀμφὶ τοὺς λόγους ἀκριβῶς ἐσπουδακόσιν, ἐμοὶ δὲ, τοὐπιβάλλον δὴ μέρος ἐξ ἀθρόας καὶ δημοσίας τῆσδε τῆς ἀταξίας καὶ δυσθυμίας ἐγκατέλιπε φέρουσα. κατ' ἰδίαν μέντοι γ' εἰ γνῶναί σοι ἐπιμελές ἐστιν ὅπως ἔχει τὰ ἡμέτερα, ἴσθι οὖν φίλον ἔχων κατ' ἀξίαν μὲν, ἐς τοῦτο τοῦ καιροῦ τῇ αὐλῇ ἐνδεδιητημένον, ὅσον γε ἐπὶ τῷ βασιλεῖ καὶ τοῖς τούτῳ προσήκουσι κατὰ γένος σχεδὸν πᾶσι καὶ πάσαις, ἅμα δὲ καὶ ἐπὶ τοῖς χαριεστέροις εἴποιμ' ἂν τῶν ἐν ἀξιώματι. οὐ μὴν δὲ τὰ ἄξιά γε μ' ἐνάγκασθαί πω, οὔτε τῆς ὑπολήψεώς τε καὶ ἀξιώσεως τῆς τῶν πλείστων, οὔτε τῆς ἐμῆς ἐλπίδος, τῆς πρότερον εἰς νοῦν ἐμβεβλημένης οὔτ' εἰκῆ οὔτ' ἐξ ὅτων ἔτυχε τεκμηρίων. εἰ δὲ σύ γ' ὅτι ποτ' ἐστὶ τούτου τὸ αἴτιον ζητεῖς, πρῶτα μὲν αἰτιῴμην ἂν τῆς τύχης ἐπήρειαν τῆς ἐμῆς ἀεὶ ἀντιπάλου. ἥτις ἐν μὲν τοῖς ἔμπροσθεν χρόνοις τοὐμὸν ἑκάστοτε λυμαινομένη ἔχαιρε. καὶ διετέλει κατατρύχουσα διαπαντὸς, καὶ περιτέμνουσα τὰ πατρῷα καὶ προγονικά μοι ὑπάρχοντα, καίπερ αὐτὰ οὐκ ἐπιπολάζοντα. λωβήσασθαι δήπου ἐν ἐμοὶ βουλομένη τὴν ὑπεράγαν ὁρμὴν ἐπὶ τοὺς χαριεστέρους τῶν λόγων, ὡς δὴ καταφρονητικοὺς τῶν πολλοῖς καὶ ἀπαιδεύτοις περισπουδάστων, τῶν ὑπὸ ταύτης δήπουθεν βραβευομένων. ἔναγχος δ' αὖ καὶ λαμπράς τινας ἀφορμὰς ἡ ἐπίτριπτος ἀφῄρηταί με, καὶ και-

ρους τοῦ θέσθαι εὐπορώτερόν τε καὶ μεγαλοπρεπέστερόν τι κατὰ τὴν οἰκονομίαν, τὴν μοῖραν δὴ τὴν ἐμὴν εἰς μεῖζον δὲ ἐπίδοσιν καθεξῆς, βασκαίως αὐτὴ καταστέλλουσά τε καὶ ἐκτρύχουσα. καὶ μὴν καὶ εἰς ὕστερον εἰκός ἐστιν οὐδεμιᾶς αὐτὴν φείσεσθαι ῥᾳδιουργίας, πᾶσάν τε κακουργίαν τὴν αὐτῆς ἐπιδείξεσθαι, καὶ σοφίσματα δὲ σοφίσασθαί τινα τῶν περιττῶν καὶ θαυματούργων, ἐφ' ᾧτ' ἀμύνεσθαί με ὧν κατ' ἐκείνης συγγράψας ποτὲ διετεινάμην. τῆς τύχης γὰρ αὖθις ἐπικρατείας ἐκτὸς εἶναί τινας ἀξιῶν ἐτύγχανον καὶ διϊσχυριζόμενος, τοὺς ἐμφιλοχωροῦντας δήπου ἀληθῶς ταῖς φρουραῖς τῆς πολλοῦ φιλοσοφίας, καὶ τῶν συμμέτρων ὀρεγομένους, ἐν οἷς περ οἱ εὐθύμως καταζῶντες καὶ αὐταρκῶς, ἐντρυφᾶν μοι ἔδοξαν (ὡς ἔπος εἰπεῖν) ἐκείνῃ τῇ μεγαλοδώρῳ, ταῖς ταύτης ἐπιδόσεσι λὰξ αὐτοὶ ἐναλλόμενοι. διὸ δὴ οὖν νῦν ἡ κατάπλυστος ἑσμόν τινα πραγμάτων ἀνιαρῶν τε καὶ ἐπιζημίων ἐμοὶ ἐπαφιεῖσα, καὶ οἱονεὶ παρορμήσασα, ἐκτὸς δὴ τῶν ἐρυμάτων καὶ χαρακώματος κατειλημμένῳ, καὶ ἐντὸς τῶν ἀκοντισμάτων καὶ βελῶν καθεστηκότι, τί οὐκ ἂν ἀποτελοίη. οἶμαι μὲν οὖν αὐτὴν ἐμὲ παραδειγματιεῖν τόνγε

tunitatem conſtituēdi vberiùs atque magnificentiùs rem familiarē, ſortem & conditionem profectò meam in maius incrementum capientem poſthac, maleuolè ipſa cohibens atque atterens. Quinetiam in futurum conſentaneū eſt à nulla ipſam ſibi temperaturā eſſe malitia, omnémque improbitatē ſuam exhibituram, ac ſubtiles porrò imposturas quaſdam vafrè ſubdoléque excogitaturā inſolentes & admiratione dignas, vt à me vltionē repetat eorū gratia quæ aduerſus illam aliquando componere vehementer contendi. Exiſtimabā enim ipſe & aſſeuerabam quoſdam eſſe extra fortunæ poteſtatem, immorantes inhabitantéſque vt pote reipſa in excubiis illuſtrioris philoſophiæ, ac mediocria concupiſcētes, in quibus alacriter & largè viuentes, in deliciis degere mihi viſi ſunt: vt vno verbo abſoluam: illam quæ munifica eſt, ſua ipſius largitione calcibus infeſtis ipſi ferientes. Quapropter nunc abominanda examē quoddam moleſtiarum acerbarū atque noxiarum mihi immittens, & quaſi concitans, profectò extra munitiones & aggerem intercepto, & intra iaculationes ac ſagittas collocato, quid non conficeret. ſuſpicor ſanè quidē ipſam mihi ignominiæ notam inuſturam, qui quidem ſuperiori tempore elatè petulantérque in tuto me iactabam, ac veluti vmbratili certamine cōtendebam in domuncula mea, quin potius vt ait prouerbiū eorum qui

πρὸ τοῦδε τοῦ καιροῦ νεανικῶς ἐν τῷ ἀσφαλεῖ περ ἐνδεικνύμενον, καὶ οἱονεὶ ἐνσκιαμαχοῦντα τῷ οἰκίσκῳ μου, μᾶλλον δὲ ὡς ἡ παροιμία φησὶν ἡ τῶν

vulgariter loquuntur, robuſtum ac fortem virum eſſe circa caminum. Nam in periculũ venio ne redarguar vanè locutus in meis ſcriptis, ac philoſophi quidem laruam & habitum theatralem indutus interim, nõ adhuc verò ingenium ſtrictè domans modicè perturbatum, & frugalitatis particeps, quominus ipſe ſubinde forti animo perferem quæ infeliciter geſta ſunt: ac ſi quid è diuerſo proſperè ceſſerit, in eo perpulchrè me contineam, ex qua profectò ipſa parte non copioſum mihi ingrueret periculum. Ex dicto porrò infortunio dependiſſe & cõſequens eſſe ruſticitas mea ineptiáque mihi videtur, quas certè res imperitia deinceps comitatur aulicarum cõmẽtationum. Atque ideò cùm hęc inſtitutio á paucis necnon naturæ dotibus ornatis poſſit comprehendi ex his qui eã á primo æuo diſcunt, equidem cùm iam nõ ſim idoneus ad haſce diſciplinas, præſertim neque admodum ad eas benè natus, haud animaduerti qua fortuna deducente aut impellente perniciosè introductus fuerim in ſcholam. Cuius ſanè gratia te cum admiratione ſuſpicere aliquoties mihi in animum incidit, qui iam ætate prouectus in eandem ventitans, claritatis tuæ commendatione viciſti tandem multos à pueritia diſcentium, & aulica feſtiuitate obſeruantiáque non indecora primas reportantium, & in ipſa facultate præſtãtiſſimorum, vſque adeò eras animo officioſo ac ſapienti. Atqui etiam barba quidẽ hac iam caneſcente & grauitatẽ præ ſe ferẽte,

ἰδιωτικῶς φθεγγομένων, ἀλκιμεύοντα ἀμφὶ τὴν καπνοδόχην. κινδυνεύω γὰρ ἐξελέγχεσθαι ματαιολογήσας ἐν τοῖς συγγεγραμμένοις, καὶ τοῦ μὲν φιλοσόφου πρόσωπον καὶ σκευὴν θεατρικὴν ἐνημμένος ἐπιπρόσθεν, οὐκ ἔτι γε ἦθος κρατήσας ἀκριβῶς μετριοπαθές, καὶ αὐταρκείας ἀντεχόμενον, μὴ οὐχὶ γνοὺς αὐτὸς ἐγκαρτερῶν τοῖς ἀποτυγχανομένοις, καὶ εἴ τι αὖθις αὖ τύχοι εὐτυχούμενον, τούτῳ ἐνευσχημονεῖν, ἀφ' οὗ δὴ μέρους αὐτοῦ οὐκ ὀλίγος μοι ἐπαιωρεῖτο κίνδυνος. τῇ δὲ εἰρημένης ἀτυχίας ἐξηρτῆσθαί μοι καὶ ἐξέχεσθαι ἡ σκαιότης ἡ ἐμὴ καὶ ἀπειροκαλία δοκεῖ, αἷς δὴ ἡ ἀμαθία ἑξῆς ἀκολουθεῖ τῆς αὐλικῆς διατριβῆς. καὶ γάρ τοι παιδείας ταύτης ὀλίγοις τισὶ καὶ εὐφυέσιν οὔσης ἐφικτῆς τῶν ἐκ νέας μανθανόντων, ἐγώ τοι ἔξωρος ἤδη ὢν τῶνδε τῶν μαθημάτων, ἄλλως τε οὐδὲ πάνυ πρὸς ταῦτα εὖ πεφυκώς, οὐκ οἶδ' ὅτου δαίμονος ποδηγοῦντος ἢ ἐπωθοῦντος εἰσεφθάρην εἰς τὸ διδασκαλεῖον. ὅτου δὴ ἕνεκα ἀγασθῆναί σου ἐνίοτέ μοι ἔπεισιν, ὃς ἤδη παρηκμακὼς εἰς αὐτὸ φοιτῶν, παρευδοκίμησας τελευτῶν πολλοὺς τῶν παιδομαθῶν, τῇ τε ἀστειότητι αὐλικῇ καὶ θεραπείᾳ οὐκ ἀσχήμονι τῶν τὰ πρωτεῖα φερομένων ἐν αὐτῷ καὶ τῇ δυνάμει διαφερόντων, οὕτω πως δεξιῶς εἶχες καὶ σοφῶς. καί τοι καὶ τῷ πώγωνι τε τούτῳ ἤδη πεπολιωμένῳ καὶ ἀξιωματικῷ,

τῆς λογιότητος ἐχρῶ συνεργῷ, τῆς τῶν ἀστείων καὶ πιθανῶν ἀπομνημονευμάτων τὰ κομψότερα δεινῆς ἀποφθέγγεσθαι. τοιγάρτοι τῇ ἰδίᾳ ἐμαυτοῦ πολλάκις ἠχθέσθην βραδυτῆτι καὶ ἀφυΐᾳ, εἰς ταῦτα τὰ γλαφυρώτερα καὶ ἕτερ' ἄττα ἐμοὶ ἐμφύτῃ. ὃ δὲ νῦν ἐγὼ βαρύνομαι μάλιστα, τὸ ἦθός ἐστιν οὐκ ἤδη εὐτράπελον οὐδ' εὐάγωγον εἰς τὸ ἀήθες. οὐ γὰρ ἔτι ἠδυνήθην καίτοι πολλά μοι πράγματα παρασχών, ταύτην εἴτ' εὐήθειαν δεῖ καλεῖν, εἴτ' ἀφέλειαν κακίας ἀδελφήν, ἀπομεμαθηκέναι, ἣν ᾔδειν ἀχρεῖον τοῖς ἐν τῇδε πραγματευομένοις τῇ τῶν κερκώπων ἀγορᾷ, καὶ πιπράσκουσιν εὐπροσωπίας θαυμασίας ἠλίκας, καὶ σεμνολογήματα οὐδὲν τοῦ φιλαπλοῦ καὶ γνησίου ὄζοντα. οἷς δὴ φληνάφοις χαίροντάς τε καὶ ἀγαλλομένους οἶσθα τουτουσὶ τοὺς ὀλβίους, τοὺς παμπληθεῖς θεραπείας ἀκολούθων ἐφελκομένους, οἱονεὶ σύρματά τινα τραγικά, ἐν τοῖς τοῦ θεάτρου μόνον εὔχρηστα, οὐχί γε τούτων ὄντα τῶν ἐπισυρομένων αὐτά, ἀπὸ δὲ τοῦ χορηγοῦ ἐπὶ τακταῖς ἡμέραις καὶ ῥηταῖς κεχρημένα. ὡς οὖν προσῆκον ἡμῖν καὶ πρέπον ὄν, τοῦτο περιποιοῦμαί μοι τὸν τρόπον, ἐφ' ὅσον χρεὼν συναναστρέφομαι τοῖς πάνθ' ὑποκρινομένοις, ἔστιν ὅτε ἀπαρέσκομαι τῇ εὐηθείᾳ, ἣν δὴ μεταρρυθμίσαι οὐχ οἷός τε ὢν εἰς τὴν καθ' ἡμᾶς ἐνθάδε

eloquentiæ adiutrice vtebare, ſcitè venuſtéque loquendi peritæ circa elegantiores vrbanarum appoſitarúmque rerum cõmemorationes. Quocirca meæ propriæ crebrò ſuccenſeo ſegnitiei & ruditati, ad hæc politiora dilucidioráque & alia quædam mihi ingenitæ. Quod autem nunc ego indignè fero maximè ingenium eſt meum nõ iam facetum nec ductu facilè in rem inſuetam & nouam. Non enim adhuc potui licet multas mihi moleſtias iniecerim, hanc ſiue ſimplicitatem operæpretium ſit nuncupare, ceu malitiæ ignorantiam innocentiæ ſororem, dedidiciſſe, quã noueram inutilem ac damnoſam his qui in hoc callidorum doloſorúmque impoſtorum conuentu fatigãtur, & qui venalem exponunt ſui vultus ſerenitatem mirificam, ſpecioſáque verba nihil quicquã ſimplicitatis cupidum & ingenuũ redolẽtia. Quibus certè ineptiis gaudere necnon geſtire noſti iſtos beatos permultas clientium turbas & aſſeclarum diſtendentes, tanquam ſyrmata quædam tragica, in theatri duntaxat vſum recepta, nequaquã certè eorum ſunt qui ipſa tractim ducũt, verùm à choreæ antiſtite ad ſtatutos dies ac definitos mutuata. Cùm igitur quod decens nobis decorúmque eſt, hanc conditionem mihi accommodet, tantiſperdum ſimul verſor cum his qui omnia ementiuntur & ſimulant, quandoque implacidè fero meam innocẽtiam, quam ſanè adaptare nõ valẽs ad eam quæ eſt hîc noſtra tẽpeſtate

venuſtatem ac ſolertiam, interdum quidem obedire adigor diſtrahenti me naturæ, nonnunquam verò cum cœperim neceſſitate impelli, non ſtatim magno vt opinor riſui ludibrióque ſum obnoxius, quippe qui diſcrepantem ſcilicet laruam ac perſonã ſimulo & repræſento meóque capiti non inſidentem. Tuum porrò officiũ eſt ô amice hanc meditationem cùm ſis aſſecutus atque eorum quæ ſunt in regulis artis exquiſitáque diligentia compos fueris, & ad extremum propoſiti finẽ adipiſcẽdo migraueris, exiguo quodam libro & epiſtolæ ſimili iuxta artem tradere mihi huis ſcientiæ edicta, & quaſi verò me nouiter aduenientẽ in aulã quamuis quinquagenarium, dirigere in hoc vitæ munere, vt tandem integra conditione defungar, inſidioſè captans mediocria quædam ad vitam conſequentem honeſtã & ſtudioſam neceſſaria. Quî enim non ſperarem ex te præceptore addicere quandã ex vtilibus & fructuoſis iſtis obſeruationibus, vitæque habitũ componere in eum, qui nunc mihi ſtatutus & decretus eſt. Quãdoquidẽ nonnullos cernimus eorũ qui maieſtatis cauſa fauſtè excipiuntur & commendantur, quum huic theatro ſe adiunxerint, ſui vultᵒ ſeueritatem abiicere quouis modo prodeſſe videatur, impudentiámque verſipellem & nihil non perficientem induere, donec victores fiant eorum quæ ipſi perſequi aggrediebantur. Vale; & huic propoſito opinionẽ tuam lubẽti animo apponẽs,

κομψότητα καὶ ἀγχίνοιαν, ποτὲ μὲν εἴκειν ἀναγκάζομαι ἀνθελκούσῃ με φύσει, ποτὲ δὲ φθάσας βιάζεσθαι, οὐ φθάνω πολλοῦ ὡς οἶμαι γέλωτα ὀφλισκάνων, ὡς ἀπεοικὸς δῆθεν πρόσωπον ὑποκρινόμενος καὶ ἐμῇ κεφαλῇ οὐκ ἐνιζάνον. σὸν γε μὴν ἔργον ἐστὶν ὦ φίλε ταύτης τῆς θεωρίας ἐφικομένου τε, καὶ τὰ κατὰ τοὺς κανόνας τῆς τέχνης κατωρθωκότος, κατά τε τὸ πέρας ἐπιτυχῶς ἀπαλλαγέντος, βραχεῖ τινὶ βιβλίῳ καὶ ἐπιστολοειδεῖ τεχνολογῆσαί μοι τὰ τῆσδε ἐπιστήμης παραγγέλματα, καὶ ὡσπερεὶ νέηλυν ἐμὲ αὐλικὸν καίπερ πεντηκοντούτη, διαπαιδαγωγῆσαι ἐν ταύτῃ τοῦ βίου ἐπιτηδεύσει, ὅπως ἂν τελευτῶν ἐπιτίμως ἀπαλλάξαιμι. συνεσκευασμένος μέτρια ἄττα εἰς βίον τὸν ἐπιόντα κόσμιον καὶ φιλόκαλον. πῶς γὰρ οὐκ ἂν ἠλπίσαιμι ὑπὸ σοῦ καθηγεμόνος μεταμαθήσεσθαί τι τῶν χρησίμων τούτων θεωρημάτων, καὶ τὸ σχῆμα τοῦ βίου μεθαρμόσειν εἰς τὸ νῦν ἐμοὶ προῃρημένον καὶ ὑποτιθέμενον. ὅπου γε ἐνίους ὁρῶμεν τῶν ἐπὶ σεμνότητι εὐφημουμένων, ἐπειδὰν τῷ θεάτρῳ τούτῳ πεπλησιάκασι, τὴν σεμνοπροσωπίαν ἀποτιθεμένους ὅπῃ ἂν συμφέρειν δοκῇ. ἀναίδειάν τε τὴν πανοῦργον καὶ ἀποτελεστικὴν μετενδεδυκότας, ἕως ἂν ἐπικρατεῖς γένωνται ὧν αὐτοὶ μετιέναι ἐπεβάλοντο. ἔρρωσο, καὶ ταύτῃ τῇ ὑποθέσει τὴν ἐπίνοιαν τὴν σὴν προσβάλλων ἄσμενος,

τούτην ἐπέξιθι, τὴν ἀηδίαν τήνδε παρηγορῶν τὴν ἡμετέραν, ἐκ τῆς τοῦ χρόνου δυστυχίας καὶ πολέμου ἡμῖν παρενοχλοῦσαν. Θρήκησι παρὰ τῇ αὐλῇ, σεπτεμβρίου μηνὸς ἐνάτῃ ἱσταμένου.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ
φιλεταίρῳ εὖ πράττειν.

ΠΟλλὰ μὲν ἔχων ὦ ἑταῖρε τῆς τύχης καταμέμψασθαι τότε ἐμὸν ἀεὶ φρόνημα πρόπαλαι καθελούσης, καὶ ἀποσπευσάσης ἐμὲ ἐπὶ τὰ γενναῖα φερόμενον τῶν διανοημάτων, τοιαῦτά τε ἐπιτηδεύματα ἐνστήσασθαι προθυμούμενον, οἷα καὶ ἀνθρώπῳ δοκεῖ προσήκειν εὖ καὶ καλῶς πεφυκότι, καὶ οὐχὶ τῶν πολλῶν ἑνὶ, ἕν γε νῦν ἐν τοῖς μάλιστ' ἂν εἰκότως αὐτῇ ἐπιμεμψαίμην, τοῖς τρισὶν αὐτῷ μησὶ τοῖς ὑπογύοις ὑπὸ ταύτης κεκαινοτομημένον, ἐν ᾧ δὴ πολύ μοι τὸ ἔντι παράλογον ἀναπέφηνεν. οἶμαι δὲ καὶ σοὶ οὕτω φανεῖσθαι αὐτό. μνᾶσθαι τινὰ σύνταξιν χρηματιστικὴν ἐπιτηδεύων, ὑπὸ τοῦ βασιλέως ἐμοὶ αὐθαιρέτως τε καὶ λαμπρῶς εἰς τὸ παρὸν ἐπαγγελθεῖσαν, καὶ ἤδη τεταγμένην (οἶσθα γὰρ τὸ ἐκτενὲς καὶ φιλόδωρον αὐτοῦ) ὑπερήσθην εὐήθης ἐγώ, ὡς ἄρα τὸ πρᾶγμα τοῦτ' ἤμελλε ἐπ' ἀνθρώπῳ γενήσεσθαι τῷ τε βασιλείων χρημάτων, μετά γε τὸν βασιλέα καὶ τοὺς τὰ πρωτεῖα λαχόντας τῆς ἄγαν κυριότητος, αὐτοκρατεῖ, καὶ κορυφαίῳ ὑπάρχοντι ταύτης τῆς ἐπιστασίας. ᾔδειν γὰρ τοῦτον εἶναί σοι

iſtud perſequere, noſtram hanc moleſtiam leniés, ex temporis difficultate bellóque nos interturbātem. Trecis in aula, Septembris menſis nono die ineuntis.

GVLIELMVS BVDÆVS
OFFICIOSO AMICO
BENE AGERE.

IN multis quidem valens ô chare ſodalis fortunam increpare & meum ſemper propoſitum dudum abſumentem, & me dehortantem ad præclaras tendentem commentationes, taliáque vitæ munera inſtituere exoptātem, quæ etiam apparent homini conſentanea eſſe benè honeſtéque natura diſpoſito, & non è pluribus vni, vnum quidẽ modò in primis iure in ipſa culparem, iſtud ex his quæ nouata immutatáque fuerunt ab ipſa tribus menſibus recentibus, in quo profectò ingẽs mihi reuera & inopinatus caſus apparuit. ſuſpicor autem & tibi ipſi hunc in modum viſum iri. Ambire quoddam ſtipendium pecuniarium inſtituens, à rege mihi ſua ſponte atque ſplendidè in præſentia promiſſum, & iam deſignatum ac delegatũ: Nam nõ ignoras liberalitatẽ & munificentiã ipſius: Mirificè gauiſus ſum ſtupidus ego, quòd ſcilicet negocium iſtud debebat fieri tractaríque apud hominem & regiarum pecuniarum merum imperium habentem, poſt quidem regem eóſque qui primas partes adepti ſunt ſupremæ dominationis, & apud eum qui erat vertex huius principatus. Nam exploratum habebam hunc eſſe tibi

beneuolũ ac beneficum. Atqui ſemel experientiam ceperam ipſius bonitatis erga eruditionis cultores viros propenſæ, quemadmodum vtique tunc arbitrabar. Vbi primùm ambitionem hanc in animũ meum induxi, interim certè ſperãs maiorem & ſtabiliorẽ aliam elargitionem, mihi quidem impræſentiarum promiſſam, dum tandem poteſtas fuerit ac temporis opportunitas conceſſerit euenturam, rex quidem pollicitationis continuò memor, tùm verò cœnæ vacabat: circunſpectans huc & illuc circa menſam & in hunc oculos coniiciens, vocans que eum penes quẽ eſt plena poteſtas penſionum ſoluendarum, fortuitò reſpiciens, mãdatum quoddam ipſi dedit ſubauſcultanti auribus meis ignotũ. Legitimum eſſe quippe noſti tu quidem apud nos huiuſmodi regum congiaria ſeu publicas erogationes haud prius vim & auctoritatẽ obtinere, antequã ij qui præfecti ſunt fiſco & coactioni argentariæ regum mandatis ſubſcribant. Animaduerte nunc igitur rem nouam & abſurdam, exitúmque negotij in contrarium meæ expectationis interuerſi, niſi quid poſtea cõminiſcar. Quemadmodum enim iudicio contendens apud candidum arbitrum & iuſtum, vſque adeò languidè confidentér que perſequendum eſſe negotium exiſtimabam, ne videlicet grauiter & acerbè agerem cum homine natura procraſtinatore, ſempér que quod in re præ-

εὔνουν καὶ εὐεργέτην. καί τοι καὶ ἅπαξ ἀπόπειραν ἐτύγχανον εἰληφὼς τῆς αὐτοῦ χρηστότητος εἰς τοὺς φιλομαθεῖς τῶν ἀνδρῶν ἐπιρρεποῦς, ὥς γε τηνικαῦθ' ἡγούμην. ὡς οὖν τὴν παραγγελίαν ταύτην τάχιστ' ἐπεβαλόμην. μεταξὺ δὴ προσδοκῶν μείζω καὶ ἀσφαλεστέραν ἄλλην δωρεὰν ἐμοὶ μὲν ἐν τῷ παραυτίκα καθωμολογημένην, ὅτ' ἐξουσία δέ ποτε καὶ καιρὸς ἐνδῷη ἐκβησομένην, ὁ μὲν βασιλεὺς τῆς ἐπαγγελίας εὐθέως μεμνημένος (ἦν δὲ τότε πρὸς τῷ δείπνῳ) παπταίνων ὧδε κἀκεῖσε περὶ τὴν τράπεζαν, καὶ τοῦτον καθορῶν καὶ καλῶν τὸν αὐτοκράτορα τοῦ συντακτικοῦ, καὶ παρακύψας, ἔνταλμά τι αὐτῷ ἔδωκεν ὠτακουστοῦντι οὐκ ἐξακουστόν μοι ἤδη γ' ἀφισταμένῳ. νενομίσθαι γοῦν ἔγνως σύ γε παρ' ἡμῖν τὰς τηλικαύτας τῶν βασιλέων ἐπιδόσεις μὴ πρότερον κυρίας εἶναι, πρὶν τοὺς ἐφεστηκότας τοῦ ταμιείου καὶ χρηματιστικοῦ τοῖς τῶν βασιλέων ἐπιτάγμασι προσυπογράφειν. σκέψαι δὴ νῦν τὸ παράδοξον, καὶ πέρας τοῦ πράγματος, εἰς τοὔμπαλιν που τῆς ἐμῆς ἐλπίδος περιτραπέντος, ἢν μή τι εἰσαῦθις ἐπινοήσω. ὥσπερ γὰρ δικαζόμενος παρ' εὐμενεῖ διαιτητῇ καὶ προσήκοντι, οὕτω τοι ἀμελῶς καὶ πεποιθότως ἐπεξιτέον εἶναι τῷ πράγματι ἐλογιζόμην, ἵνα μὴ δῆθεν ἐπαχθῶς προσφεροίμην τῷ ἀνθρώπῳ τὴν φύσιν διαμελλητῇ, καὶ ἀεὶ τὸ παρα-

χρῆμα

χρῆμα διαναβάλλεσθαι φιλοῦντι. ὁ δὲ, κατάρχων εὐθὺς ἀπὸ τῆς μετὰ τοῦ βασιλέως κοινολογίας ψυχαγωγῆσαί με ὑπήρξατο, καὶ ἀναρτήσασθαι ἑαυτοῦ, οὐδὲν ὑγιὲς, ὡς ἔοικεν, ἐνθυμούμενος. τὴν ἐμὴν ἐλπίδα πολλάκις ἐπιρρωννύς, καὶ καλῶς καὶ εὐελπίστως τὸ πρᾶγμα εἰπέσθαι φήσας, ἵνα μὴ ἐνοχλήσαιμι. εἶτα ὡς ἐνεστήκειν αὐτῷ δριμύτερον, περὶ ἡμέραν τρίτην ἢ τετάρτην τοιαῦτα μειδιάματα ὅγε χαριζόμενος οἷα καὶ τοῦ μνηστευομένου δὴ πράγματος ἐνέχυρα εἶναι ἀξιόπιστα. ἔσθ᾽ ὅτε δὲ ὑποσχέσεσιν ἐνωμότοις τε καὶ ἐμπροθέσμοις τὴν προσδοκίαν τὴν ἡμετέραν προσαγόμενος, καὶ κατακηλῶν ἐμὲ ἐμπεριπαθοῦντα τῇ αὐτοῦ ἀναβολῇ. εἰς τοὐπιὸν γὰρ ἀεὶ καὶ εἰσαῦθις αὐτίκα δὴ μάλα διεκρούετο. καὶ ταῦτα ποιῶν καὶ λέγων, ἐστερνοτύπει, διομνύμενος ἦ μὴν εὔνοιαν ἐμοὶ ἀποδείξειν ποτ᾽ οὐ τὴν τυχοῦσαν. ἄχρις οὗ τελευτῶν ἐμοῦ τ᾽ ἀποκαμόντος αἰσθόμενος, καὶ εἰς τὴν τοῦ φῆσαι ἀπηχῶς ἢ οὐ φῆσαι ἀνάγκην ὅγε καταστὰς, ἐμοῦ στενοχώρως κατεπείγοντος καὶ τάχα που ἀτέχνως, καὶ διαδύσεις δὲ οὐκ ἔτ᾽ ἔχων προσεφευρίσκειν, παντοῖος ἤδη τῷ λόγῳ καὶ τῇ ὄψει γενηθεὶς, τὸ τῆς ἀναιδείας πρόσωπον ἐνάψασθαι ἤδη διαρρήδην εὐλαβήθη, τὸ ἔσχατον δηλαδὴ καταφύγιον τηλικαύτης στενοχωρίας. ἰδοὺ δή σοι ἡ καταστροφὴ τοῦδε τοῦ πανουργικοῦ

ſenti exequendum eſt prorogare ſolito. ille autem à principio ſtatim cõmunicationis cum rege demulcere me cœpit, & ex ſuo ipſius nutu me ſuſpendentẽ tenere, nil ſimplex, vt videtur, animo concipiens: meam expectationem ſæpenumero confirmans, rectéque & bona ſpe rem proceſſuram dicens, ne ipſum interpellarem. Mox quia obſiſterẽ ipſi vehemtiùs, tertio quoque die vel quarto huiuſmodi leniores blandioréſque riſus ille mihi condonans tales qui etiam eius quod ambitioſè affectabam certè negotij arrhabones eſſent idonei. quandoque porrò promiſſis iuramento factis necnon præfinitis expectationem noſtram alliciens, ac permulcens me ſtomachantem ipſius dilatione: in futurũ enim ſemper & propediem reiiciebat. Iſtáque faciens ac dicens, pectus tundebat, iureiuraddo aſſeuerans nimirum ſuum fauorem ſe mihi demonſtraturum aliquando non triuialem. donec tandẽ me elangueſcentem ac defatigatum comperiens, & in dicendi manifeſtè vel non dicendi neceſſitatem ille quidem veniens, me arctè ſolicitante & confeſtim ſine dolo, detrectationes verò haud etiamnum valẽs preterea adinuenire, multiplex iam ſermone aſpectúque effectus, impudentiæ perſonam induere continuò palam veritus non eſt, nouiſſimũ ſcilicet perfugiũ tantæ anxietatis. Ecce ſanè tibi cataſtrophe exitúſque huius fraudulentæ

O

fabulæ ac ſubdolæ, à fortuna nobis cõparatæ doloſéque ſtructæ, quæ me vexauit mulcta nummorum amplorum per ſingulos annos cõſtitutorum, id quidem propter eũ qui extruſit negotium. Nunc autẽ deinceps animaduerte mores verſatiles necnon vrbanitatem fabulæ, non inſitam fortaſſis ingenio amici tui, aliáſque haud malè audientis temporibus elapſis, verùm quæ ſit facultatis hîc vſitatæ, atque etiam aulæ cõgruens. Is enim, neque nũc me indignè ferente, ſibi temperat à ſalutatione illa pellaci & illecebroſa feſtiuáque in fortuitò oblatis occurſibus quũ minimè facultas datur nobis nos ſummouendi à via aut inclinato capite intuendi. Nec ſolùm verò, ſed etiam aliquoties, vt reſciſco ex narrantibus, in ore Budæum habet tanquam vnicè amatum, partim quidem nõ ſecus atque multa doctrina cumulatum probúmq. virũ, partim verò vt ab aliquo ſuorum ipſius neceſſariorum dilectum ex ſynceris. Talia verò aſſeuerans, puto, opinatur me recta via deducere fruſtratum in ambitione mea, & à ſententia dimouere, quô ipſum deintegro obſequioſè colam, idem (aiunt) ſaxum incaſſum reuoluens. Quandoquidem nunc comem & affabilem potentiam habet iſte diſſimulationis ſtudioſus, in temporis incommoditatem culpam retorquẽdi, quæ [inquam contigit] ob bellum iam concitatũ. in quã illius dilatio nihil ſani repræſentare nobis ſemper viſa, id quod à nobis exige-

δράματος καὶ ὑπούλου, ὑπὸ τῆς τύχης ἡμῖν παρασκευασθέντος καὶ ἐσκευωρημένου, πληξάσης ἐμὲ ζημίᾳ χρημάτων πολλῶν κατ᾽ ἔτος συντεταγμένων, τόγε ἐπὶ τούτῳ τῷ ἐκκρούσαντι τὸ πρᾶγμα. νῦν δ᾽ αὖθις σκόπει τὸ ἠθοποιϊκόν τε καὶ εὐτράπελον τοῦ δράματος, οὐκ ἔμφυτον μὲν ἴσως τῷ τρόπῳ τοῦ φίλου σου, ἀλλ᾽ ὥστε οὐ κακῶς ἀκουσάντος ἐν τοῖς πρότερον, ἀλλὰ τῆς ἐμπειρίας οὖν ἐνταῦθα ἐπιχωριαζούσης, καὶ δὴ καὶ αὐλικοπρεπές. ὁ μὲν γάρ, οὐδὲ νῦν ἐμοῦ δυσαρεστοῦντος, φείδεται προσηγορίας ἐκείνης ἐπαγωγοῦ καὶ φιλοφρονητικῆς ὅτε ἔτυχεν ἐν ταῖς παρατυχούσαις ἀπαντήσεσιν, ὅτ᾽ οὐκ ἔξεστιν ἡμῖν ἐκτρέπεσθαι τὴν ὁδὸν ἢ παρακύπτειν. οὐ μόνον δέ, ἀλλὰ καὶ ἔστιν ὅτε, ὡς ἀκούω τῶν λεγόντων, διὰ στόματος Βουδαῖον ἔχει ὡς στεργόμενον, πῆ μὲν ὡς πολυμαθῆ καὶ καλὸν ἄνδρα, πῆ δὲ ὡς ἕνα τῶν ἑαυτοῦ φίλων ἠγαπημένον ἐν τοῖς πάνυ. τοιαῦτα δὲ φάσκων, οἶμαι, οἴεταί με ἐπανορθώσασθαι σφηλάμενον ἐν τῇ παραγγελίᾳ, καὶ μεταπεῖσαι, ὡς αὐτὸν ἐξ ὑπαρχῆς θεραπεύσαιμι, τὸν αὐτόν φασι λίθον τινὰ ἄλλως ἀνακυκλῶν. ἐπεὶ τοίνυν ἔχων εὐπρόσωπον ἐξουσίαν ἔχει ὁ δὲ φιλείρων, τὴν δυσχέρειαν τοῦ χρόνου αἰτιᾶσθαι, τὴν διὰ τὸν πόλεμον ἤδη συμβαλλόμενον. εἰς ὃν ἡ ἐκείνου διαμέλλησις οὐδὲν ὑγιὲς ἐμφαίνειν ἡμῖν ἀεὶ δοκοῦσα, ὃ ὑφ᾽ ἡμῶν προσδό-

μένον ἐφείλκετο ἐξεπίτηδες. πρὸς τοῦτον τοίνυν τὸν ἄνδρα τί ἂν πάθοιμι ἐμὲ νῦν δυσωπούμενον. δῆλος γάρ εἰμι εἴθ' ἑκὼν εἴτ' ἄκων, ὅμως δὲ δῆλός εἰμι τὴν ὁδὸν αὐτοῦ ὅτ' ἐγχωρεῖ ἐκτρεπόμενος, καὶ οἱονεὶ ὑπ' αὐτοῦ ἐντρυφᾶσθαι τὴν παιδείαν αἰσχυνθεὶς τὴν ὁποιανδηποτοῦν, καίτοι τὸν ἀθρόον ὁρῶν ἀγελαίους ἑσμοὺς ἐπισύροντα τῶν ἀκολούθων, ἀνδρῶν γ' ἀξιολόγων, ὑφ' ὧν δορυφορεῖται τὸ ἀξίωμα αὐτοῦ. ἀτὰρ τὸ τοιοῦτον, ἦθος τἀνδρὸς ὦ φιλότης, ἐπίκλητόν τε, καὶ ἐνταῦθα ἀνηρημένον, ὡς αὐτίς εἴποι τῶν σοι συγκατατιθεμένων, ὡς δὲ ἐμοὶ συναχθόμενοι ὀξυχόλως εἴποιεν, σκαιὸν καὶ ἀπεοικὸς τηλικούτοις ἀξιώμασι, καὶ λωβώμενον τὴν εὐφημίαν αὐτοῦ, ἀλλ' ἆρα μὴν τοῦτο τὸ ἦθος πότερόν ποτε συναπομισεῖν ἐμοὶ αὐτἀνδρον, ἄξιον εἶναι σοι νομίζεις, ἢ δι' αἰτίας γοῦν τὸν ἄνδρα καὶ ἐγκλήσεως ἄγειν ἐπὶ τούτῳ τῷ ἐλαττώματι, οὐ μᾶλλον ἐμῷ ἢ σῷ, εἴγε κοινὰ τὰ τῶν φίλων. ἢ μᾶλλον ἐγὼ σός τε φίλος καὶ μαθητής (καίπερ εἰς σὲ φοιτήσας ὅτι σπανιώτατα, καὶ πολλοῖς δὴ σταθμοῖς διὰ παντὸς σχεδὸν ἀπηρτημένος τῆς ἑταιρείας τῆς σῆς) τουτονὶ τὸν φίλον σου εὖ ποιῆσαί σε ὅπῃ παρείκοι φθάσαντα, ἑτέρου τέ του τῶν ἐμοί τε καὶ σοὶ εὐνοϊκῶς ἐχόντων, εὐεργέτην ἔσεσθαι ἐλπιζόμενον, δι' ἀπεχθείας καὶ ὀργῆς ἔχων, οὐκ ἂν φθάνοιμι πλημμελεῖν δοκῶν εἰς

batur conſultò attrahebat. Aduerſus hunc proinde virum quid admitteré me nunc grauiter aſpicientem. Conſpicuus enim ſiue vltroneus ſiue inuitus, attamen manifeſtus ſum in itinere ab eodē cùm ſors obtulerit deflectere, & velut ab ipſo inſolenter eludi eruditionem qualemcunque rubore perfundi, quanuis ipſum aſpiciens condenſatum gregem ductitantem pediſſequorum, virorum quidem memorabilium, à quibus ſtipatur protegitúrq. ipſius amplitudo. verùm talis mos viri, ô tu qui ipſa es amicitia, aduentitius atque hîc collectus eſt, quemadmodum quiſpiam protulerit eorum qui tibi annuunt, vt porrò mihi condolentes iracundè dixerint, ſiniſter & abhorrens à tanta dignitate, & mutilans ipſius commendationem. Atqui vtrum tandem hunc morem aulicum mecum leuiter odiſſe cum ipſo viro, dignum eſſe tibi putas, vel certè virum inſimulare, in iúſque vocare pro iſto incommodo, non magis meo quàm tuo, quum quidem res amicorum communes ſint: ſiue magis ego tuúſque [ſim] amicus ac diſcipulus: quanquam ad te accedens quàm rariſſimè & pluribus ſanè ſtationibus ac diuerſoriis aſſiduè penè diremptus ac diſſociatus à tuo ſodalitio. in hunc talem amicum tuum te commodo afficere quatenus licuerit præoccupantē, & alteri cuipiam eorum qui in me & te beneuolo ſunt affecti animo, munificum fore ſperantem, inimicitias capiens iratúſque, haud videor perperàm & iniquè agere in

amicitiam noſtram, ipſiúſque leges violaſſe? cùm decens nimirum & conueniens ſit viro amico, ſuam ipſius vltionem & compenſationem amicitiæ gratioſè concedere, eum qui iniuria laceſſiuerit ex reatus periculo eximenti: ac veluti deo proſpera ſacra facere charitatis præſuli hac victima. Non enim iſtud inficias ire neque valerem neque vellem, quominus fas ſit expletam ſuíſque numeris abſolutam amicitiam & exploratam vltrò citróque hactenus exercentes, quiduis commodi priuatim prodere, ad conſeruandum commune bonum, vel quod amicitiam continet. Hanc ego alrercationem, ingentis in iure diſceptationis capacem & controuerſiæ, ſi ad ſapientes quidem delata ſit propter calculum ſeu ſuffragium confidentes, decertantes porrò iudicialiter viros & oratores, tibi ſoli vt arbitro iudicare permitto, vtrū iudicio damnaueris in eo me conquieturum ſpondens, neque immiſſurum id quod ex controuerſia compoſitum arbitrióque iudicatum fuerit in aliam iuriſdictionem. Agedum argumentum iſtud perſequens mihi reſpondeto, non quaſi admonitione admodum indigenti huius rei cauſa, & neceſſariorum commiſeratione, ob diſcendi cupiditatis nomen in ſumma publicéque neglectum apud nos, ſed tanquam tuas literas mirum in modum concupiſcenti. Vale, ô vir amantiſſime, hánc que epiſtolam, non ſecus atque poſitum & fundamentum quoddam excipito fucatum necnon accuratè excultū.

φιλίαν τὴν ἡμετέραν, τά τ' αὐτῆς δίκαια παραβαίνειν; ὡς πρέπον δηλαδὴ καὶ καθῆκον ὂν ἀνδρὶ φίλῳ, τὴν ἑαυτοῦ ἐκδίκησιν καταχαρίσασθαι τῇ φιλίᾳ, τὸν ἠδικηκότα αὐτὸν ἐξαιρουμένῃ. καὶ ὡσπερανεὶ τῷ θεῷ καλλιερεῖν τῷ φιλίῳ τῷδε τῷ ἱερείῳ. οὐ γὰρ ἂν ἔξαρνος τοῦτ' εἶναι οὔτε δυναίμην οὔτε βουλοίμην, μὴ οὐ δεῖν τοὺς κατάπλεών τε φιλίαν καὶ πεπιστωμένην πρὸς ἀλλήλους μέχρι τοῦδε ἠσκηκότας, ὁτιοῦν ἰδίᾳ συμφέρον καταπροΐεσθαι, ἐπὶ τῷ σώζειν τὸ κοινὸν, ἢ τὸ φιλίαν κρατοῦν. ταύτην ἐγὼ τὴν ἀμφισβήτησιν, πολλὴν ἂν δικαιολογίαν ἐγχωρήσασαν καὶ διαδικασίαν, εἰ εἰς τοὺς σοφοὺς μὲν εἰσήγετο ἐπὶ ψήφῳ συγκαθίζοντας, ἀγωνιζομένων δὲ δικανικῶς ἀνδρῶν δεινῶν καὶ λογοποιῶν, μόνῳ σοι διαιτητῇ ἐπιτρέπω, ὁπότερον ἂν δικάσῃς τούτῳ ἐπαναπαύσεσθαι ὑπισχνούμενος, οὐδ' ἐφήσειν τὸ δεδιῃτημένον εἰς ἄλλο δικαστήριον. φέρε δὴ τὴν ὑπόθεσιν ταύτην διώκων ἐμοὶ ἀντεπίστελλε, οὐχ ὡς παρηγορίας ἄγαν δεομένῳ ἐπὶ τῷδε, καὶ συμπαθείας τῶν φίλων, διὰ τὸ φιλομαθείας ὄνομα κοινῇ ἀτιμαζόμενον ἐν ἡμῖν, ἀλλ' ὡς τῶν σῶν γραμμάτων οὐ μετρίως ὀρεγομένῳ. ἔρρωσο, ἄνερ φίλτατε, καὶ ταύτην τὴν ἐπιστολὴν, ὡς θεματισμόν τινα δέχου ἐπίπλαστόν τε καὶ ἐπιτηδευτόν.

ἐπὶ τῷ τὴν δεξιότητα τὴν σὴν ἀσκῆσαι. Θρήκησι πρὸς τῇ αὐλῇ, σεπτεμβρίου μηνὸς τετάρτῃ ἐπὶ δέκα.

ΒΟΥΔΑΙΟΣ ΦΙΛΗΚΟΩ εὖ πράττειν.

Ἡ ἐσχάτη σου ἐπιστολὴ τῶν δεινῶν μνησθεῖσα τῶν ἄρτι τῇ κελτικῇ ἐπιφύντων, κατάδηλός ἐστι τὴν ἐμὴν κακῶς ἐξηγημένη, τῆς τε ἡμετέρας ἐννοίας τῆς ἐν ταύτῃ οὐκ εὐστόχως τυχοῦσα. ἐμφαίνει γὰρ ἄντικρυς, ὡς ἡμεῖς οἱ ἐνταῦθα διαιτώμενοι, τῶν τε βεβουλευμένων ὑπὸ τοῦ βασιλέως καὶ διατεταγμένων οὐ πόῤῥω ἀφεστῶτες, καὶ πάντα τι σχεδὸν τὰ τῇδε ἐποπτεύοντες, τοῖς πολλοῖς δὴ ὁμοφρονοῦντες, τὰ αὐτὰ προσδοκῶμεν περὶ τοῦ πολέμου ὑπαρχομένου, δεινῶς τε καὶ δριμέως ἤδη συγκρουομένου. οὐκ ἀπῳδὰ δῆθεν οὐδ' ἀπεοικότα τῶν παρ' ἡμῖν ταραχωδῶς διαφημιζομένων. ὅπως οὖν εἰδῇς ὅσον ἀποδέομεν τοῦ ὁμογνωμονεῖν καὶ συγκατατίθεσθαι τοῖς τὰ τοιαῦτα πεπεισμένοις, ἢ προσανῆ γε τὴν ἀκοὴν ἐνδιδοῦσι τοῖς τάδε τυχόντως καὶ εἰκῇ φλυαροῦσι, βουλοίμην ἄν σε ἔγωγε οὕτω περὶ ἐμοῦ γιγνώσκειν, ὡς τοιούτων μὲν ἀκροαμάτων καταγελῶντος, τῶν τὰ μὲν τῶν πολεμίων τερατωδῶς μεγαλυνόντων, τὰ δὲ ἡμέτερα βασκάνως καταστελλόντων. φόβητρα μέντοι εἶναι ταῦτα καὶ ὑποθήκας ὁμολογοίμην ἂν τοῦ θεοῦ,

ad excolendam exercendám que tuam ſolertiam. Trecis apud aulam. Septembris menſis quatto & decimo die.

BVDÆVS AVDITIONIS STVDIOSO BENE AGERE.

POſtrema tua epiſtola res graues commemorans quæ paulo ante in Celtica regione extiterunt eãque inuaſerunt, conſpicua eſt meã malè explicaſſe, noſtrámque intentionem quæ in ea eſt non exactè attigiſſe. Indicat enim haud dubiè, quòd nos hîc degentes, & ab his quæ conſilio decernuntur ab rege & edicuntur non procul diſiuncti, & omnia penè quæ hîc aguntur ſpeculantes, cum multis profectò idem ſentientes, eadem præſagimus de bello incipiente ingruentéque, violenter atque acriter iam collidente nóſque profligante, vt pote non abſona neque diſconuenientia ab his quæ apud nos turbidè diuulgantur. Vt igitur intelligas quantum alieni ſumus vt conſentiamus & annuamus his qui talia ſibi perſuadent, vel pronas aures demittentibus his qui hæc vulgariter & inconſultò deblaterant, velim te equidẽ ſic de me reputare, veluti tales quidem recitationes ludibrio habente, eorum qui geſta hoſtium prodigiosè exaggerant & amplificant, noſtra verò malignè ſupprimunt. Terriculaméta porrò eſſe hæc & documenta dei faterer,

noſtram petulentiam vt diuinam decet maieſtatem refrenantis, & obliuionem eiuſdem benefactorũ, neque ſolum, ſed etiam iacturam grauem ac terribilem præterea cõminantis, niſi continuò exhibeamus nos ad ſanam mentem rediiſſe: Ac certè etiam interim dum proſpero fruimur ſucceſſu in intemperatam & immodicam licentiã delapſi ſumus, continentiam ſtatim addiſcamus vna cum modeſtia: nõ item etiam exitium denuò vibrantis, & baculum quendam pernicioſum ac internecinum ipſius indignationis. Ne enim fiat iſtud quidem, intercedente, nimirũ, pro his qui ſunt in dignitate ac diuitiis luxúque dirumpuntur necnon malignè agunt, pietate nationis, quæ populum ſemper & innocentem damno liberans, conſeruat profectò & reum & ſontem à ſupplicio. Et non iſta quidem conſideratio viri eſt, ea quæ cohærebunt propriis ſuis rebus optantis, aut temerè & abſurdè imaginantis vel tanquam ſomniando animo agitantis ad ſeipſum ſpectantia, verùm eius qui ex veriſimilibus magis ac probabilibus obſeruat futurum. Itaque ſedulus & permagnus copiarum apparatus me inceſſit, omniúmque [pertinentium] ad neceſſitatem bellicam congregatio, tardè quidem fortaſſis accuratè inſtructa, ſit enim iſtud quidem, præter ſpem tamen & mirabiliter cõpoſita ſimulatque nos excitari cœpimus, ac periculum ſentire ſanè confeſtim in nos graſſaturum, niſi

τὴν ἡμετέραν που ἀκολασίαν θεοπρεπῶς σωφρονίζοντος, καὶ ἀμνηστίαν δὲ τῶν αὐτοῦ εὐεργεσιῶν. οὐ μόνον δὲ, ἀλλὰ καὶ κακοπραγίαν δεινὴν προσέτι ἐπαπειλοῦντος, ἢν μὴ παραχρῆμα φανῶμεν ἀνανήψαντες. καὶ δῆτα καὶ ἀνθ' ὧν μεταξὺ τῆς εὐπραγίας εἰς ἀκρατῆ καὶ ἀσύμμετρον ἐξουσίαν παρωλίσθομεν, ἐγκράτειαν εὐθὺς μεταμάθωμεν μετὰ κοσμιότητος. οὐ μὴν δὲ καὶ ἐξώλειαν αὖ ἐπανατειναμένου, καὶ βακτηρίαν τινὰ φθόριον τῆς ὀργῆς αὐτοῦ. μὴ γὰρ γένοιτο τοῦτό γε, ὑπερευχομένης, δήπου τῶν τ' ἐν ἀξιώμασι καὶ τῶν πλούτῳ διαθρυπτομένων τε καὶ πεπονηρευμένων, τῆς εὐσεβείας τοῦ ἔθνους, ἥτις τὸ δημοτικὸν ἀεὶ καὶ ἀθῶον ἐξαιρουμένη, συνεκσώζει δὴ καὶ τὸ ἔνοχον καὶ ὑπεύθυνον τῆς τιμωρίας. καὶ οὐχ ὅδε μὲν ἀναλογισμὸς ἀνδρός ἐστι, τοῦ τὰ ἁρμόσοντα τοῖς ἰδίοις αὐτοῦ πράγμασιν εὐχομένου, ἢ εὐήθως, καὶ ἀτόπως ἀναπλάττοντος ἢ ὀνειροπολοῦντος τὰ ἑαυτῷ συντελέσοντα, ἀλλὰ τοῦ ἐκ τῶν εἰκότων μᾶλλον καὶ πιθανῶν στοχαζομένου τὸ μέλλον. ἀμέλει ἡ ἐπιμελὴς καὶ παμμεγέθης τῶν τε δυνάμεων παρασκευὴ ἐπέρχεταί μοι, καὶ πάντων τῶν εἰς τὴν χρείαν τὴν πολεμικὴν συναγωγὴ, ὀψὲ μὲν ἴσως ἐπιτηδευθεῖσα· ἔστω γὰρ τοῦτό γε, παραλόγως μέντοι καὶ ἀξιαγάστως ἐξαρτυομένη, ἐπειδὴ τάχιστα ἔφθημεν ἡμεῖς ἐγηγέρθαι, καὶ τὸ δεινὸν αἰσθάνεσθαι, αὐτίκα δὴ ἡμῖν ἐγκατασκήψον, εἰ μὴ

προγνοήσοιμεν. ταῦτα δὴ πάντα τεκμη-
ριουμένῳ μοι ἔσκεπται. ὃ δέ τοι τὴν εἰ-
κασίαν τὴν ἡμετέραν οὐχ ἥκιστα ἐπικυ-
ρώσασαν, καὶ πᾶσαν δὴ σχεδὸν τὴν ἐκ τοῦ
κινδύνου ἐνθυμηθέντος καὶ ἐσκεμμένου
δυσθυμίαν ἐνοῦσαν, ἐναπομάξαι, ὃ
πρόσωπόν ἐστι τοῦ βασιλέως ἡμῶν ἐν
ταράχῳ γε τούτῳ γαλήνης οὐ τῆς τυ-
χούσης μεστόν. ἐν δὲ τῷ λόγῳ τῷ αὐτοῦ,
καὶ πάσῃ τῇ πρὸς τὸν πόλεμον ἐξοπλίσει,
πολὺ τὸ πεποιθὸς ἐνορώμενον, καὶ φρόνη-
μα δὲ ὡς ἀληθῶς βασιλικὸν ἅμα καὶ αὐ-
τοκρατορικόν, προαγορεύειν μοι δοκεῖ καὶ
ἐπαγγέλλεσθαι λαμπρόν τι κατόρθωμα
πρὸς ἡμῶν ποτὲ γενησόμενον, τὸ μήνυ-
τρόν τε τοῦδε τοῦ ἀγῶνος κρίσιμον, καὶ εἰς
τοὺς μετέπειτα αἴσιον. τὰ μὲν δὴ τῶν ἑλ-
βετίων τάγματα πρὸς τόνδε τὸν λογισμὸν
τυγχάνει καθήκοντα, οὕτω τῷ τε θυμῷ
καὶ καθοπλισμῷ πρὸς τὸν ἀγῶνα συγκε-
κροτημένα, καὶ μάχης ἐφιέμενα τῆς
πρὸς ἔθνος αὐτοῖς ἀπηχθημένον, ὥστε
ἀξιόνικον εἶναι χρὴ νομίζειν τὴν τούτων
προθυμίαν, εἰ καὶ τὰ ἄλλα μέρη τῆς στρα-
τιᾶς, τῆς ἀλκῆς οὐ μνησθείη τῆς κελτικῆς.
ἐπὶ τούτοις μὲν οὖν τοῖς σημείοις, αἰσίοις
εἶναι καὶ εὐσυμβόλοις, καὶ τηλικαύτης
ἐλπίδος ἐχεγγύοις, τεθαρρηκὼς ἔγωγε, ὁμόσε χωρεῖν ἔγνων τῇ γνώμῃ καὶ εὐ-
θαρσίᾳ τῷ δεινῷ προσιόντι, οὐδένα λόγον οὐδ᾽ ὅλως ποιούμενος
τῶν εἰκῆ τι θρυλλημένων. καὶ σὺ τοίνυν, ὦ φίλε, τῷ ἐμοὶ εἰσηγητῇ καὶ συμ-
βούλῳ περὶ τῶνδε χρῆσθαι

proſpiciamus. Hæc certè omnia à
me cum iudicio coniectante ſunt
explorata. Quod porrò coiecturã
noſtram maximè confirmauit, &
omnem certè propemodum ex
damno animo concepto animad-
uerſóque anxietatem incluſam ab-
ſterſit, vultus eſt regis noſtri in tu-
multu quidem iſto tranquillitatis
haud triuialis refertus In ſermone
verò ipſius, & vniuerſa ad bellum
inſtructione, ingens confidentia
inſpecta, & animoſitas porrò reue-
ra regia ſimúlq. imperatoria, præ-
nunciare mihi videtur ac promit-
tere luculentum & memorabile
quoddam facinus à nobis tandem
fieri debere, vniuerſæque huius cõ-
tentionis ſignum iudicatorium &
ad poſteros fauſtum. Heluetiorum
itaque agmina ad hanc computa-
tionem conueniunt, tanta animi
vehementia & armatura ad præliũ
adornata, ac pugnam affectantia
contra nationem ipſis odioſam, vt
victoria dignam eſſe oporteat exi-
ſtimare eorum promptitudinem,
quanuis aliæ partes exercitus ſtre-
nuitatis Celticæ memores nõ ſint.
propter hæc itaque argumenta, ſe-
cunda opinor, & cum facilitate
obuia, ac in tanta expectatione ſat
fidei habentia, confiſus equidèm,
obuiam ire cogitaui conſilio & fi-
ducia, periculo aduentantj, nullam
prorſus rationem habens eorum
quæ inconſultò in vulgus ſparſa
ſunt. Cæterùm tu, ô amice, ſi me
ſuaſore & conſiliario ob has res vti

haud indignum cenſeas, eos qui iſta diuulgarunt ineptéque effutierunt perperam & acerbè audiens, valere permittas ipſos deo nobis quoque inimicos. Quos profectò deteſtari & improbare poſſemus in peregrina regione impudenter mendacio vtentes in indigenas, niſi impunitatem eſſe peregrinis compertum haberemus in noſtra patria quodcunque videatur incõditè blaterantib. At enim valeant iſti peſſimè perituri obtrectatores, quorum ſcelerata ora tãquam folles quidam inauſpicati execrabiléſque, flatu excitare apparẽt tãti belli ſcintillas, in flammã quidẽ funeſtã nunc procedentes, quæque pabulando vaſtabit vtique in futurum duorum regum maximas & vberrimè creſcentes fortè dominationes. Hæc ad te ſcribens noueram Moſonium ciuitatẽ ſubactam, aliáſque in proxima parte periculi conſtitutas. Quas quidem aduerſariis nos candidè patiẽtérque relinquimus, interim ſanè exercitum vndequaque cum virorum delectu legentes. Et enim liceat Marti eiúſque matri Bellonæ, facultates apprehendere noſtras languidè leniterque, non ſecus atque maiorem & completã cum deteſtatione procurantibus iacturam, quam nobis aſtruentes aduerſarij cis atque vltra Alpes adornarunt. Enimuerò & nos bona ſpe expectamus vires repentè fore vt ea quæ pignori capta ſunt iniuſtè ab his, cum fœnore repetant ac recuperent. quanquam

οὐκ ἀπαξιοῖς, τῶν διασκεδασάντων ταῦτα καὶ ἀπερμολογησάντων παρακούων, χαίρειν δὲ ἐῴης αὐτοὺς θεῷ τε καὶ ἡμῖν ἐχθρούς. ὧν δὴ θαυμάσαι δὲ δυνηθείημεν τῶν ἐν ἀλλοδαπῇ ἀνέδην καταψευδομένων τῶν ἐγχωρίων, εἰ μὴ ἄδειαν εἶναι τοῖς ἀλλοφύλοις γνοίημεν ἐν τῇ ἡμετέρᾳ πατρίδι ὅτι δὴ δοκῇ περιλαλοῦσιν. ἀλλὰ δὴ ἐρρώσθων οὗτοι οἱ κάκιστ᾽ ἀπολούμενοι βάσκανοι, ὧν ἐπίτριπτα τὰ στόματα οἱονεὶ φῦσαι τινες δυσοιώνιστοι καὶ ἀπαίσιοι, ἀναρριπίσαι δοκεῖ τηλικούτου τοῦ πολέμου τοὺς σπινθῆρας, εἰς φλόγα γε νῦν ἐπιδιδόντας ὀλέθριον, καὶ νεμομένην που εἰς τὸ ἐπιὸν ἀμφοῖν τῶν βασιλέων μεγίστας καὶ ὑπεραδρυνομένας τυχὸν ἐπικρατείας. ταῦτά σοι ἐπιστέλλων ἤδειν Μοσώνιον πόλιν κατεστραμμένην, ἄλλας τε ἔγγιστα τοῦ κινδύνου καθεστηκυίας. ἅς τινας τοῖς πολεμίοις ἡμεῖς εὐγνωμόνως προϊέμεθα, μεταξὺ δὴ τὰς δυνάμεις πάντοθεν ἀνδρολογοῦντες. ἐξέστω γάρ τοι τῷ Ἄρει καὶ τῇ τούτου μητρὶ Ἐνυοῖ, τῶν κτημάτων ἅψασθαι τῶν ἡμετέρων ἠρέμα καὶ πρᾳέως, ὥσπερ αἰεὶ μείζω καὶ ἀνάπλεων ἀφοσιουμένοις ὄλεθρον, ὅνπερ ἡμῖν συστάντες οἱ πολέμιοι ἐντός τε καὶ ἐπέκεινα τῶν ἄλπεων συνεκρότησαν. οὐ μὴν ἀλλὰ καὶ ἡμεῖς εὐελπίστως προσδοκῶμεν ἐξουσίαν ἐν ἀκαρεῖ γενήσεσθαι τὰ ἐνεχυρασθέντα ἀδίκως ὑπὸ τούτων, ἐπιτόκως ἐπαναλαβεῖν καὶ ἀνακομίσασθαι. ἢ μήτοι

τούτων

τούτων διάγνωσις οὐκ ἀσφαλής, καὶ δὴ καὶ τὸ τοῦ ἔργου πέρας, οὐκ ἐφ' ἡμῖν τοῖς βροτοῖς, ἀλλ' ἐπὶ τῷ θεῷ ἐστι, τῷ τὴν οἰκουμένην τε καὶ τὸ περιέχον αὐτὴν ἀπροαιρέτως πρυτανεύοντι. ἔρρωσο, ἐν αὐλῇ, Θρήκησι νῦν οὔσῃ, σεξτιλίου μηνὸς τετάρτῃ φθίνοντος. ἔτει ἀπὸ τῆς θεογονίας εἰκοστῷ πρώτῳ πρὸς τοῖς χιλίοις καὶ πεντακοσίοις.

horum inquiſitio non firma, ideóque operis exitus, non in arbitrio noſtro qui mortales ſumus, ſed in dei poteſtate eſt, qui orbem terrarū quódque illū ambit ſuo nutu arbitrió que moderatur. Vale, in aula, Trecis quæ nunc eſt, Sextilis menſis quarto die ceſſantis. Anno à dei in carne generatione viceſſimo primo vltra mille & quingentos.

ΒΟΥΔΑΙΟΣ ΦΙΛΗΚΟΩ
εὖ πράττειν.

Οἶμαί σε τῶν ἀγγελιαφόρων ἤδη ἀκηκοέναι τὰ τῆς πολιορκίας τῆς πρὸς ταῖς Μασσερίαις, ὡς ἄρα τοσοῦτον ἔσφαλται τοῖς ὑπεναντίοις καὶ ἠτύχηται, ὅσον τὸ πρότερον αὐτῶν κατόρθωμα ἐγεγόνει τὸ περὶ Μοσώνιόν τι καὶ τινὰς ἄκρας Ροβέρτου τοῦ δυνάστου ᾑρημένας αὐτοβοεὶ, καὶ ἐκκοπείσας. ἃ δὴ εἰκότως αὐτοῖς καὶ εὐλόγως συνέβη. αὐτοῦ μὲν γὰρ ἐνέτυχον οἱ πολέμιοι πῆ μὲν, σαθροῖς ἐρύμασι καὶ εὐαλώτοις· πῆ δὲ, ἀγεννέσι φρουραῖς καὶ πάνυ φιλοψυχούσαις, ἐμπλήκτως τε διακειμέναις πρὸς ταυτασὶ τὰς βροντὰς, τὰς ἐκ τῶν ἑλεπόλεων ἐκρηγνυμένας. καίτοι ἀνεκτότερον ἂν εἴη, εἰ τούτων ἀκούειν ὑπέστησαν τρίτον. ὅπου γε αὐτοὶ ἐφθακέναι ἐξηλέγχθησαν ἐνδιδόντες τοῖς ἐχθροῖς μήπω εἰς ἔργον καὶ βίαν ἱεμένοις. ἐνταῦθα δὲ αὖ οἱ αὐτοὶ οὗτοι οἱ πολέμιοι εἰς μελαμπύγους

BVDÆVS AVDIENDI AVIDO BENE AGERE.

ARbitror te à regiis viatoribus iam accepiſſe ea quę [narrātur] circa Maſſerias, quemadmodū vtique tantum erratum eſt ab hoſtibus & peſſimè tractati ſunt, quantum prius ipſorum memorabile facinus fuerat circum Moſonium necnon quaſdā arces Roberti præfecti ipſo clamore occupatas, & erutas. Quæ profectò iure ipſis meritóque euenerunt. Illic enim inuenerunt hoſtes partim quidem, putria & carioſa munimenta captúque facilia: partim verò, ignobiles cuſtodias valdéque vitæ diſpendio formidantes, anxiè attonitéque affectas ad iſta tonitrua ex machinis bellicis erumpentia. Et quidem magis tolerandum eſſet, ſi ter ea audire ſuſtinuiſſent. Quandoquidem ipſi iamiā coërciti cōuictique ſunt cedentes hoſtibus ſuis nōdum ad opus & violentiā feſtinantibus. Ibi autem iterum iidem ipſi aduerſarij in nigrum podicem habentes

queádmodum aiunt deueniſſe cõperiere, & eos qui ſtrepitus iſtos ſubſanarét ab re minaces ac periculum ſuſcipere patriæ gratia affectarent. Quocirca etiam perſpicere eſt animo attendentibus, & perpendere quantum homo homini præſtat, aut quod quidem veritati magis conſentaneum eſt, quantũ vir homini. Atque ideo hoſtes remoto prælio vbi proſtrauiſſent huiuſmodi munimenta, nimirum non expectantibus aſpectũ ipſorũ præſidiariis principibus, ac ſeipſos continuò cum incolis hoſti permittentibus, magnificè profectò de ſe ſentire ſubitò minacitérq. exorſi ſunt ſuæ ipſorum ferocitatis diſciplinæque[militaris] cauſa, ac certè etiam in regem nóſque ipſos deblaterare veluti molles & euiratos, à progenitorúmque virilitate deflectentes. Irridendi ſanè ipſi & ignaui. Qui quidem regni huius multiplicem potentiam, omnémque exercitum ipſius ex vnica vili caterua coniectura colligentes & expendentes, omnia quæ in conſpectu ſuo eſſent Lutetiam vſque ſubtracturos illico ſperarunt, ac ciuitates magnas diuitiíſque afflu̇etes vaſtãdo ſe acturos atque laturos dicebant quæ ſunt in Gallia noſtra. Quantus porrò iſtis proteruis ac petulantibus viris occurrerit modò nec opinatus euentus commemoratione dignũ eſt. Quandoquidem iſti vnius vel duorum caſtellorum ſeu vrbium expugnatione admodum animo elati, locupletiſſimã ſubitò ſpacioſam regionem ipſa aptitudine con-

φασὶ περιπεσόντες ᾔσθοντο, τῶν τε κλώπων τούτων καταπιμύξαι τοὺς τὴν μάτην ἀπειλητικὴν καὶ προκινδυνεύειν τῆς πατρίδος προθυμουμένους. ᾗ καὶ διιδεῖν ἐστὶ τοῖς προσέχουσι τὸν νοῦν καὶ διαδοκιμάσαι ὅσον ἄνθρωπος ἀνθρώπου διαφέρει, ἢ τό γε ἀληθέστερον, ὅσον ἀνὴρ ἀνθρώπου. καὶ γάρ τοι οἱ πολέμιοι ἀμαχεὶ καταστραμμένοι ταῦτα τὰ ἐρύματα, οὐχ ὑπομεινάντων δήπουθεν τὴν ὄψιν αὐτῶν τῶν φρουράρχων, καὶ ἑαυτοὺς εὐθὺς σὺν τοῖς ἔνδον ἐκδεδωκότων, μέγα δὴ φρονεῖν εὐθὺς καὶ ἀπειλητικῶς ἤρξαντο ἐπὶ τῇ αὐτῶν ἀλκῇ καὶ ἐμπειρίᾳ, καὶ δῆτα καὶ καταλαλεῖν τοῦ βασιλέως καὶ ἡμῶν, ὡς ἀνάνδρων τε καὶ τῆς προγόνων ἀνδραγαθίας ἐξεστηκότων. γελοῖοι δὴ αὐτοὶ καὶ εὐήθεις. οἵ γε τὴν τῆς βασιλείας ταύτης πολυδυναμίαν, καὶ πᾶν τὸ στρατιωτικὸν αὐτῆς ἐκ μιᾶς τῆς τυχούσης πείρας ἐστοχασμένοι καὶ μετρήσαντες, πάντα τὰ ἐν ποσὶν ἄχρι τῶν Παρησίων ὑπάξεσθαι ὅσον οὐδέπω ἤλπισαν, καὶ πόλεις μεγάλας καὶ εὐπορούσας πορθήσαντες, ἄξειν τε καὶ οἴσειν ἔφασαν τὰ κατὰ τὴν Γαλατίαν τὴν ἡμετέραν. ὅσος δὲ τούτοις φιλολοιδόροις ἀνδράσιν ἀπήντησε νῦν ὁ παράλογος ἀξιομνημόνευτόν ἐστιν. ὁπηνίκ' οὗτοι ἑνὸς ἢ δυοῖν χωρίων ἁλώσει ἄγαν πεφρονηματισμένοι, τὴν ὀλβιωτάτην ἡμῶν εὐθὺς εὐρυχωρίαν τῇ αὐτῇ εὐφυΐᾳ καρ-

πώσεσθαι ᾤοντο καὶ ἀκράτῳ δὴ τῇ ἐλπίδι, ὡς ἔπος εἰπεῖν, προκαταπιόντες τήνδε τὴν εὐδαίμονα χώραν, θριάμβους μὲν ἑαυτοῖς τε λαμπροτάτους, καὶ ἀγαθῶν φασὶν ἀγαθίδας ὠνειροπόλουν, ἡμῖν δὲ αὖ τοῖς οἰκτροῖς ἐξώλειάν τε καὶ κακῶν ἰλιάδας παραγγέλλοντες, πόῤῥωθεν μαχαίρας ἀνετείνοντο. οὗτοι τοίνυν αὐτοὶ περὶ πόλιν μικρὰν τῶν μεθορίων μετρίως τε ὠχυρωμένην, οὐδὲ φύσει γε στεγανῶς ἱδρυμένην. ἄπρακτοι ἡμέρας ἤδη τριάκοντά που ἐνιζόμενοι, συνιᾶσιν, οἶμαι, εἰ μὴ πάμπαν ἀσυνέτως ἔχουσι, τῶν ὤτων, ὡς ἡ παροιμία φησὶ, τοῦ λύκου λαβόμενοι. ἀμέλει ἤτοι ἀπαλλάττεσθαι αὐτόθεν ἐντρεπόμενοι, ἄνευ τοῦ παραστῆσαι τοῦτο τὸ πολίχνιον, ἢ ὑπεξάγειν εἰς τὴν πρόσω, καὶ ἐκείνην τὴν πόλιν ἐᾶν χαίρειν, σφαλερὸν εἶναι νομίζοντες, ἅμα τ' ἐπὶ τῇ σφετέρᾳ βλάβῃ καὶ αἰσχύνῃ ἐναπομένειν μέλλουσι, καὶ προσμαχεῖσθαι τῷ λιμῷ, ὅσα γε ἔξεστι τεκμηριοῦσθαι ἐξ ὧν τε οἱ περὶ φρούραρχον ἔγνωσαν καρτερεῖν καὶ παραβάλλεσθαι ἕνεκα τοῦ σώζειν τὴν παρακαταθήκην. καὶ οἱ περὶ τὸν βασιλέα δὲ προὐνοήσαντο, ἐν ὅσῳ ἀξιόμαχον δύναμιν συνάγουσιν οἱ ἐπὶ τὴν στρατολογίαν ἀπεσταλμένοι. ἄλλως τε ἡ πολιορκουμένη πόλις οὕτως ἔχει εὐπορίας τε καὶ εἰσκομιδῆς τῶν ἐπιτηδείων καὶ τῶν καθ' ἡμέραν, ὡς εὐπρόσιτον αὐτὴν εἶναι τοῖς εἴσω εἰσελαύνουσι, καὶ πάλιν

ſumpturos putabant: ac petulanti profectò ſua fiducia, vt vno verbo abſoluam, præabligurientes hanc fortunatam regionem, triumphos quidem luculentiſſimos, & bonorum quemadmodũ aiunt glomos ſomniando ſibi adiudicabant, nobis verò rurſus miſerandis perniciem malorum quoque Iliadas renunciantes, enſes è longinquo extendebant. Proinde iidem ipſi circa vrbem anguſtam conterminorum, mediocritérque munitam, nec natura quidem ſolidè ſitam, re infecta dies iam triginta ferme reſiſtere vlteriúſque progredi nõ valere animaduertunt, opinor niſi planè ineptè ſe gerant, auribus, vt prouerbiũ dicit, lupum tenẽtes. ſcilicet aut effugere inde reuerentes, procul à ſubigendo & in ſuam ditionẽ compellendo iſto oppidulo, vel exercitum educere in vlteriorem regionem, & illam vrbem ſinere valere, perniciosũm ac dubium eſſe putãtes, ſimúlque in ſuum detrimentũ ac dedecus permanſuri ſunt, faméque dimicaturi, quatenus facultas eſt coniecturam capere, ex quo & princeps præſidiarius totáque eius ſodalitas ſtatuerunt patiẽti animo ſtuſtinere ac periclitari cõmiſſum pignus ſeruandi gratia. Et rex porrò huic rei proſpexit, dum pares ad pugnandum copias colligunt hi qui ad militũ delectum miſſi ſunt. Aliáſque vrbs obſidione cincta ſic ſe habet ad affluentiam atque inuectionem rerum neceſſariarũ & quotidianarum, vt peruia ipſa ſit his qui intro ingrediũtur, rurſúſq.

labori cedentes præſidiarios milites vel miſerè affectos exportantibus. Tantum hi abſunt vt quidpiã extremũ patiãtur, vt quidem cibariis aut potionibus egentes, aut in edẽdi neceſſitatem turpẽ & abſurdam adducãtur, quæ famis eſt remedium. Iſtud igitur videntur hoſtes præſagiiſſe, murorũ rimis quidem ipſi appropinquare nondum aggreſſi, neque ad manus venire congredíque per ea quæ diruta euersáque ſunt ex muro, ne noſtris quidem ipſos in acie ordinata prouocantibus internè. In inani porrò credulitate acquieſcentes, iñ altero ciuitatis latere tentoria figunt, non obſidione cingentes quidem ea lege vt in arctum cogerent inhabitantes & impetuosè in anguſtum redigerent, contracti porrò, & patefactam viam noſtris ac recurſum condonantes, tanquam inuaſionem quandam repentino impetu ſuſpicantes, ex quo ſanè acceperunt ab exploratoribus ſuis, inſtare regium exercitum. Iam inde enim omnia tabernacula trans fluuium dimouerunt mœnia allabentem ac præterfluentem, antea quidem media parte ipſorum intra flumen cõſtituta. Quod porrò emolumentũ eſt ipſis huiuſce obſidionis qui callent res bellicas aſſerunt non intelligere, niſi ſpecialiter ceſſationem hanc ſubdio cœlóque patente frãgentes, ſe aſſuefacturos opinantur ſuos ipſorum milites ad eam quæ ſuccedet ipſis iamiam à noſtratibus iacturę malignitatíſq. retributionẽ.

τοῖς τοὺς ἐκκαμόντας τῶν ἐμφρουρῶν ἢ δυσαρεστοῦντας ἐκκομίζουσι. τοσοῦτον οὗτοι ἀποδέουσι τούτων ἐσχάτων τι παθεῖν, ὥσγε σιτίων ἢ ποτῶν ἀπορούμενοι, ἢ εἰς ἀναγκοφαγίαν ἄτοπον ὑπαχθῆναι ἀλεξητήριον οὖσαν τοῦ λιμοῦ. τοῦτο τοίνυν ἐοίκασιν οἱ πολέμιοι προσδοκῆσαι, τοῖς γε ῥήγμασιν αὐτοὶ προσμίξαι τῶν τειχῶν οὔπω τετολμηκότες, οὐδ᾽ εἰς χεῖρας ἥκειν διὰ τῶν κατερηριμμένων τοῦ τείχους, οὐδ᾽ ἡμετέρων γ᾽ αὐτοὺς ἐν παρατάξει προσκαλουμένων ἔντοσθεν. κενῇ γε μὴν ἐλπίδι ἐφησυχάζοντες, ἐπὶ θάτερα τῆς πόλεως σκηνοῦσιν, οὐ περικαθίζοντες μὲν ἐφ᾽ ᾧ στενοχωρεῖσθαι τοὺς ἔνδον καὶ ἀθρόως συνελαύνεσθαι, συνεσταλμένοι δέ, καὶ ἀνεῳγμένην τὴν ὁδοιπορείαν τοῖς ἡμετέροις καὶ παλινδρομίαν ἐνδιδόντες, ὥσπερ ἔφοδόν τινα ἐξαίφνης ὑφορώμενοι, ἐξ ὧνπερ γε δὴ ἀκηκόασι τῶν σκοπῶν τῶν σφετέρων, ἐγγίσαι τὸν βασίλειον στρατόν. τοὐντεῦθεν γὰρ ἅπαντα τὰ σκηνώματα ἐπέκεινα τοῦ ποταμοῦ μετέστησαν τοῦ τὰ τείχη παραρρέοντος, πρό γε τούτου τῶν ἡμίσεων αὐτῶν ἐντὸς τοῦ ποταμοῦ καθεστηκότων. ὅτι μὲν οὖν ὄφελός ἐστιν αὐτοῖς τῆσδε τῆς πολιορκίας οἱ ἔμπειροι τῶν πολεμικῶν οὔ φασι συνιέναι, χωρὶς εἰ μὴ τὴν ἀργίαν ταύτην ὑπαίθριος κατατρίβοντες, ἐθίζειν οἴονται τοὺς σφετέρους αὐτῶν στρατιώτας εἰς τὴν ἐπιγενησομένην αὐτοῖς ὅσον αὐτίκα ὑφ᾽ ἡμετέρων ἀμοιβὴν κακοπραγίας.

τὰ μὲν ὅτι ἀμφὶ τοὺς ἐμφρούρους οὕτως ἔχει τανῦν εἶναι, ὥστε κατὰ χώραν αὐτοὺς μένοντας, τὸ θραυόμενον τοῦ τείχους καὶ κλονούμενον, ἐπὶ καιροῦ ἀντερεῖσαι χῶμά τε χοῦντας πρὸς αὐτῷ καὶ ἀντεπαμωμένοις, πρόβλημα δήπου ἀσφαλέστερον τειχισμοῦ, καὶ μᾶλλον ἀπεῖργον τὴν ὁρμὴν καὶ βίαν τὴν ἔξωθεν. τοῦτο δὴ μόνον κακοπαθοῦντας, ὅτι τὰς ἀκοάς, ὡς ἔοικεν, ἔφθησαν ὑπημβλυῶσθαι ὑπὸ τῶν σιδηροβόλων μηχανῶν ἐνδελεχῶς καταβροντώντων. εἰ καὶ ἔνιοι φασὶ χαίρειν αὐτοὶ καταυλούμενοι τοῖς πυραυλικοῖς τουτωνὶ τῶν ἐργαλείων κατηχήμασι, καὶ ὡσπερανεὶ ἐναγωνίοις τε τισὶ τέρπεσθαι ἢ καὶ τοῖς τοῦ Ἄρεως αὐλοῖς. τὸ δὲ μάχιμον αὐτῶν τοῦ στρατοῦ, πεζοὶ μὲν, τριῶν οὐκ ἐλάττους μυριάδων, ἱππεῖς δέ που ἑξακισχίλιοι γνησιωμένῃ πανοπλίᾳ ἐσκευασμένοι, ἄνευ γε τῆς ἀκολουθίας εἰς συμπλοκὴν ἀχρήστου. ἡμῖν μὲν οὗτοι πάντες καὶ τῇ ἡμετέρᾳ φιλέχθρως διακείμενοι καὶ δηωτικῶς, πολλὰς ἤδη κώμας πυρπολῆσαι ἐφθακότες καὶ ἀγροικίας, τἄλλα δὲ ἀμέμπτοι ὅσα γε κἀμὲ εἰδέναι, τόν γε τοῦ βασιλέως ἀκολούθοις οὐ τοῖς ἐσχάτοις ἑκάστοτε συνεξεταζόμενον. οὐδὲ μὴν ἀγεννῶς χρώμενοι ἐξουσίᾳ τῇ πολεμικῇ. ἔσθ᾽ ὅτε δὲ καὶ ἐκοινολογήσαντο οἱ αὐτῶν ἀστειότεροι τισὶ τῶν ἔνδον γενναιοτάτοις, καὶ κατὰ τὸ ἐνδεχόμενον ἀλλήλοις ἐχρήσαντο κεχαρισμένως μονομαχοῦντες δή·

Præſidio occupati quidem ſic ſe habent in præſenti, vt ipſi qui morantur in regione, muri fracturam & corruptionem, in tempore opportuno ſuffulſerint, aggerémque ſpargentes prope ipſum & coaceruantes, munimentum vtique murorum extructione cautius, ac magis propulſans impetum vímque externam: Ob id ſanè duntaxat defatigati, quoniam eorum aures, vt coniicere fas eſt præoccuparint obtundi à machinis ferrum iaculantibus iugiter tonantibus. Quamuis quidam fateantur voluptatem capere ipſi permulſi ignem emittentium horum inſtrumétorum ſonitibus, & veluti palæſtricis quibuſdam Martis tibiis oblectari. Pars verò pugnax & bellicoſa exercitus ipſorum, pedeſtres quidem copiæ, haud minores ſunt triginta millibus, equites porrò ſexies mille legitima armorum vniuerſitate apparati, dempta conſequentia quidem ad conflictum inepta. Illi quidem omnes in nos & noſtram patriã odioſè hoſtilitérque animati, multos iam pagos & prædia flammis perdere præoccuparũt. In aliis verò inculpati quatenus quidem me ſcire par eſt, me [inquam] qui cum regis aſſeclis non nouiſſimis vbique verſor: nec tamen ingenerosè vtentes licentia militari. Aliquoties verò etiam publicè loquebantur ipſorum feſtiuiores cum quibuſdam internorum generoſiſſimis, & quatenus licuit mutuo auxilio vtebantur ad gratiam ſingulari certamine cõtendentes profectò

ex cōuentione cauſa ſuæ vnuſquiſque amicæ, vt mos eſt, & in ipſo duello ſe candidè excipiétes ac inter ſe propinantes. Quæ autem iam trans Alpes honorificè necnō proſperè huc vſque euenerunt, quid operæprecium eſt etiam tibi recēſere omnium paulò antè, ſat ſcio, certior qui factus es. vtpote cùm non modò agminibus & militibus inuadentes aduerſarios vicimus, & à pugna ſe ſubducentes eos ad ſua ipſorum caſtra, quæ ſunt in peregrina regione, perſecuti, ab obſidione qua oppugnarunt vrbem vnam è noſtris abductos: verumetiam cōiurationem nefariam, à nōnullis hominibus profligatis adornatam atque compoſitā, inſidiáſque periculoſiſſimas diuino inſtinctu apertas conſpicuáſque facientes in præfectura eminentiſſimi coërcuerunt à conatu ſuperbientes viros ob ſua flagitia, quæ iam proceſſiſſe videntur. Ob quæ profectò nihil tam timendum nobis eſſe arbitror, perinde ac iram diuini numinis & Nemeſim ſcelerum vltricem, ſi videlicet deinceps accepti beneficij obliuionem habere in his quæ ab ipſo in nos beneficè collata ſunt perſeueremus. Nobis enim ipſis conſcij ſumus vt qui permulta ingratè egerimus in ipſum, propterea quòd res noſtras diſpenſauit, & à ſcopo ſanè prætereūtes rectò tramite deduxit conatus, cùm ne ſermone ſaltem gratiarum actiones ipſi reddiderimus. Et verò ſi par eſt ingenuè dicere & ſine dolo,

ἐκ συγκειμένου ὑπὲρ τῆς ἰδίας ἕκαστος ἐρωμένης, ὡς ἔθος, καὶ ἐπὶ τῇ μονομαχίᾳ προσφιλοφρονούμενοι καὶ προπίνοντες ἀλλήλοις. Τὰ δὲ δὴ ἐπέκεινα τῶν ἄλπεων ἐνδόξως τε καὶ ἐπιτυχῶς μέχρι τούτου ἐκβεβηκότα, τί δεῖ καὶ ἀπομνημονεῦσαί σοι πάντ' ἤδη, εὖ οἶδ' ὅτι, πυθομένῳ. ὅπου γε οὐ μόνον τάγμασι καὶ στρατοπέδοις ἐπερχομένων ἐχθρῶν κεκρατήκαμεν, φυγομαχοῦντας τούτους ἐπὶ τὰ σφέτερα αὐτῶν ὀχυρώματα τὰ ἐν τῇ ὑπερορίᾳ μετιόντες, τῆς πολιορκίας ἣν ἐπολιόρκουν πόλιν μίαν τῶν ἡμετέρων ἀποσεσοβημένους. ἀλλὰ καὶ συνωμοσίαν δεινήν, ὑπ' ἀνθρώπων τινῶν ἀπονενοημένων συγκεκροτημένην τε καὶ κατασκευασθεῖσαν, ἐπιβουλήν τε παραβολωτάτην σὺν θεῷ ἐξεληλεγχότες οἱ τῆς ἐπαρχίας προεστῶτες, ἔπαυσαν τοῦ ἐπιχειρήματος τοὺς γαυρουμένους ἄνδρας ἐπὶ τοῖς πονηρεύμασιν ἤδη προβεβηκέναι δοκοῦσιν. ἐφ' οἷς δὴ οὐδὲν οὕτως εὐλαβητέον ἡμῖν εἶναι ἡγοῦμαι, ὡς τὴν ὀργὴν τοῦ θείου καὶ ἀδράστειαν, ἥν γε τἀποτοῦδε δι' ἀχαριστίας ἔχοντες τὰ ὑπ' αὐτοῦ ἡμῖν εὖ εἰργασμένα διατελῶμεν. σύνοιδαμεν γὰρ ἡμῖν αὐτοῖς πόλλ' ἀγνωμονήσασιν εἰς αὐτόν, ἀνθ' ὧν τά τε ἡμέτερα πράγματα διῴκηκεν, καὶ ἀπὸ σκοποῦ δὴ παραφερόμενα ἐπηνώρθωσε τὰ ὁρμήματα, οὐδὲ λόγῳ γοῦν τὰ χαριστήρια ἀποτίσασιν αὐτῷ. καὶ μὴν δὴ καὶ εἰ ἀφελῶς δεῖ φάναι καὶ ἀτεχνῶς,

καθόσον τῇ δίκῃ μὲν πλεονεκτούμεν, τῆς δ' εὐορκίας τῶν σπονδῶν εὐλαβέστερον περιεχόμεθα, δικαιότεροι δήπου τυγχάνομεν ὄντες πλέον φέρεσθαι παρὰ τοῦ θεοῦ, τοῦ τὰ πάντα καθορῶντος καὶ βραβεύοντος προνοητικῶς, καὶ ταῦτα κατὰ τοὺς ἀγῶνας τούτους. ἐπεὶ ἐν μὲν τῇ Ἰταλίᾳ μὴ παρασπόνδως ἡμᾶς πολεμεῖσθαι, οὐδ' ἂν εἷς ἔξαρνος εἴη, εἰ καὶ ὅτι ἂν τύχῃ προφασίζοιντο οἱ ἀντιπαρατείνοντες ἡμῖν. τὸ μέντοι κατὰ τὸν καθολικὸν ἐπονομασθέντα βασιλέα καὶ αὐτοκράτορα εἶναι φάμενον, ὁποιανδηποτοῦν πρόφασιν ἔχειν δύναται, καὶ συνηγόρους που εὑρέσθαι. τὰ τοίνυν κατὰ τὴν Ἰταλίαν τοῦ θείου διαιτῶντος, κατεδικασάμεθα τῶν ἀντιδίκων μέχρι γε δὴ τοῦδε. τὰ δὲ ἐν τῇ πατρίδι ἔτι μετέωρα φέρεται, δι' ἄρεως μὲν καὶ ταῦτα κριθησόμενα, βραβεύοντος δὲ τὴν δίκην τοῦ Διὸς τοῦ σωτῆρος, τήν γε σώζουσαν ὡς πεποίθαμεν θησομένου κατὰ τὸ πέρας ἡμῖν. οὐ μὴν ἀλλὰ καὶ ἡμᾶς μὴ τοιούτους εἶναι τἆλλα οὐκ ἂν ἐξαρνησαίμην, οἵοις ἂν τὸ θεῖον αὐτὸ ἠγρεισημένον πολλαχῶς καὶ ἠγνωμονημένον, λαμπρᾶς δὲ τινὸς τιμῷτο περισήμου, (ὃν τὴν ὅμως οἰωνὸν ἀποδιοπομποίμην ἂν) καὶ εἰς τοὺς ἀπογόνους γε διήξοντος τοὺς ἡμετέρους. ὥστε οὐκ ἄγαν θαυμαστέον ἐστί σοι τὸν δῆμον καταρχὴν ἐκτεθαμβημένων κατὰ πόλεις, καὶ τῶν πολεμικῶν τὰ ἔσχατα

quoniã iure quidẽ antecellimus, & hoc fidele ſanctúmque iuſiurandũ fœderum religioſius omni ex parte amplexi ſumus, digniores vtique exiſtimus à deo ampliùs reportare omnia cernente & circõſpectè miniſtrante, præſertímque in certaminibus iſtis. Et ſi in Italia quidem nulla fœderis percuſſi violatione nos belligerare, nullus inficias ierit, licet quicquid contigerit cauſentur qui nobis obſiſtunt. Quod porrò [attinet] ad Catholicum nuncupatum regem & qui imperator eſſe dicitur, qualemcũque excuſationẽ conſequi poteſt, & patronos vſpiã comparare. Cæterùm quantum ad Italiam ſupremo numine hanc cõtrouerſiam diſceptante, condemnauimus in cauſa nobis aduerſantes hactenus quidem certe. Quæ autem in patria etiamnum ſuſpẽſa feruntur, per Martem quidem ea etiam iudicanda ſunt [eiuſdémque arbitrio componẽda,] gubernante hanc cauſam Ioue liberatore, qui tandem nobis, vt fiduciam habemus, iam liberatricem conſtiturus ac definiturus eſt. Quinimo nos tales eſſe alioqui non negarim, quibus ipſum diuinum numen ob noſtram ingratitudinem infenſum ſæpenumerò & iniquè affectum, larga & memorabili quadam mulcta in nos animaduertat (quod tamen omen abdicarim) etiam ad poſteros quidem noſtros penetratura. Itaque non admodum mirandum eſt tibi populum in principio obſtupefactum eſſe per vrbes, etiã hoſtibus poſtrema damna

ſibi ipſis impendere atque proponi coniectantibus. Panicus enim is terror fuit, cælitus nimirum in nos ſæuiens vt faſtum inflatum ſummittere deprimereq́ue diſcamus, & immodicã ſuperbiã abiicere quę pro rebus auſpicatò geſtis olim inſurrexit. Caſtigatio igitur hæc dei eſt, immodicè ſuperbientes præ ingenti temporis ſalubritate ac ſuauitate reprimere criſtas repentè cogentis, ac mediocria ſapere. Quinetiam in his ſpeculari res humanas facultas eſt, & quantopere caducæ ſunt, & in lubrico collocatæ. Quãdoquidem neque ferocitatis nec præclaræ actionis confidentia ad firmitatem peruenit & conſtantiã. Denique haud Mars conatus eſt apprehendere pignora noſtra, & excubitores noſtri lubentes ipſi ceſſerunt, quibus profectò tutelam conſideratiſſimè delatam eſſe opinabamur, ex quo ſuperiùs præoccuparunt ſe oſtentare. In quibus quiſnam mentis quidem compotium prudentiáque præditorum non deprehenderit prouidentiæ principatum & imperium, regum copias in ludibrio ſibi ipſi conſtituentis, & vt aiunt ſurſum ac deorſum miſcentis. Sed enim rectè quidem quoad euentum iſtud: forſitan enim iſtas primitias belli ſoluere nos mundi moderatrix diuinitas conſtituit, conuenientem vtpote vltionem expiando eorum quæ contra ipſam improbè commiſſa ſunt. Quatenus ſanè commodum perceperit Gallia ex remiſſo

ἐπηρτῆσθαι ἑαυτοῖς ὑποπτευόντων. πανικὸς γὰρ οὗτος ὁ φόβος ἐγένετο, οὐρανόθεν δή που ἡμῖν ἐγκατασκήψας ὅπως τὸ φρόνημα ἐπηρμένον καθεῖναι μανθάνοιμεν, καὶ τὸ ἄγαν γαυρίαμα καταλύειν τὸ ἐπὶ τοῖς ἐπιτετευγμένοις ἔμπροσθεν ἐπανεστηκός. παιδεία γοῦν ἐστὶν ἥδε τοῦ θεοῦ, τοῦ τοὺς ἄγαν κομῶντας ὑπὸ πολλῆς εὐημερείας, καταστέλλειν τοὺς λόφους ἐξαίφνης ἀναγκάζοντος, καὶ τὰ μέτρια φρονεῖν. καὶ μὴν ἐν τούτοις σκέψασθαι τὰ τῶν ἀνθρώπων πάρεστιν, ὡς ῥευστά τε τυγχάνοντα, καὶ καθιδρυμένα ἐπ' ὀλισθηροῦ. ὅπου οὐδὲ τῆς ἀλκῆς καὶ ἀνδραγαθίας τὸ τεθαρρηκός, ἐπὶ τοῦ ἀσφαλοῦς βέβηκε καὶ ἑστηκότος. ἀμέλει οὐκ ἔφθη τῶν ἡμετέρων ὁ Ἄρης ἐνεχύρων ἅψασθαι πειραθεὶς, καὶ οἱ φύλακες ἡμῶν ἑκόντες αὐτῷ παρακεχωρήκασιν, οἷς δὴ περιμηθέστατα ἐπιτετράφθαι ᾠόμεθα τὴν φυλακήν, ἐξ ὧν ἐν τοῖς πρόσθεν ἐφθάκεσαν ἐνδεικνύμενοι, ἐν οἷς γὰρ τίς οὐκ ἂν ἐπιγνοίη τῶν γε ἐμφρόνων καὶ νουνεχόντων τὸ κράτος τῆς προνοίας καὶ τὰς τῶν βασιλέων δυνάμεις ὡσεὶ ἐν παιγνίῳ τιθεμένης ἑαυτῇ, καὶ ἄνω φασὶ κάτω ποιούσης. ἀλλὰ γὰρ εὖ γε τοῦ συμβήματος. τάχα γὰρ τάσδε τὰς ἀπαρχὰς τοῦ πολέμου ἐκτίνειν ἡμᾶς τὸ θεῖον διέταξε, τὴν γιγνομένην δῆθεν τιμὴν ἀφοσιουμένους τῶν εἰς αὐτὸ πλημμεληθέντων. ὅσον γε μὴν ἀπολελαυκυῖα ἡ Γαλατία ἔσται αἰρομένης

τῆς

τῆς τιμωρείας ταύτης, καὶ τὸ πλεῖον μέρος ἡμῖν καταχεχαρισμένης, τὸ μέλλον τοὐντεῦθεν ἀποδείξει, νουνεχόντως δὴ ἡμῶν ἢ ἀκολάστως τῷ ἐνδόματι τούτῳ χρησαμένων παραχρῆμα, καὶ τὰ ἄξια δὲ καθεξῆς οἰσομένων ὧν ἂν τύχωμεν βεβουλευμένοι τε καὶ δεδρακότες. ἀλλὰ μὴν εἴ τι ἐπίφθονόν ἐστι τοῦ κράτους τοῦ ἡμετέρου, καὶ τῷ θεῷ δὲ καὶ τῇ ἐπουρανίῳ βουλῇ συνέδοξεν ἐπ' ἀγαθῷ τῷ ἡμετέρῳ, περιτεμεῖν τὰ ὑπερέχειν δοκοῦντα τῶν γιγνομένων ὅρων καὶ τῆς ἐπιπολασάσης ἂν ὀλβιότητος, εἴγε κατὰ χώραν ἐᾶν τὰ ἡμέτερα δυνηθείημεν, εὐξαίμην ἂν αὐτῷ μάλιστα εἰς τὴν ἐπέκεινα τῶν ὁμογλώττων ἡμῖν ὅρων καὶ ἀλλόφυλον οὖσαν, ἀναβάλλεσθαι τό, τε περιαίρημα τοῦτο, καὶ οἱονεὶ περισίμημα τῆς ἐξαντλούσης τὰ οἴκοι καὶ ἐγχώρια πλεονεξίας. ἔρρωσο, σεπτεμβρίου μηνὸς δεκάτῃ ἀπιόντος.

ΒΟΥΔΑΙΟΣ ΦΙΛΗΚΟΩ
εὖ πράττειν.

Ὀγδόην οἶμαι τὴν ἡμέραν ταύτην οἱ Γερμανῶν ἡγεμόνες τὴν πόλεως ἅλωσιν ἀπεγνωκότες, κατέλυσαν τὴν πολιορκίαν τῶν Μασσερειῶν, καὶ αὐτόθεν ᾤχοντο ἀπιόντες, οὐκ οἶδ' ὅτι στρατῷ χρησόμενοι τἀποτοῦδε. ὅτι μὴ τοῦτο μόνον, ὡς ἄρα ἢ μάλιστα κακῶσαι ἂν τὴν ἡμετέραν οἴονται καὶ ἀνηκέστως λυμήνασθαι, ταύτῃ δήπου ἐκεῖνοι δῃώσαντες διεξελῶσι,

iſto piaculo, & maiori ex parte nobis condonato, rerum exitus iam inde patefaciet, prudenter certè nobis vel petulanter indulgentia & permiſſione iſta confeſtim vtétibus ac digna porrò deinceps reportantibus his quæ in animo habuimus atque executi ſumus. Atqui ſiquid imperij noſtri odioſum eſt, & deo ac cœleſti curiæ communi quodam cōſenſu placuit boni cauſa noſtri reſecaſſe ea quæ excedere videntur legitimos limites ac beatitudinem ferocientem, ipſum ſupplex exorauerim potiſſimum in regionem vltra confines noſtros ſitam, & eorum qui nobiſcum ſimili loquela vtuntur, necnō alienigenam, repellere ademptionem ceu fortunarū imminutionē hanc, atque mulctam inſatiabilis plus habendi cupiditatis haud acquieſentis in rebus ſuis domeſticis & indigenarum. Vale, Septembris menſis decimodie abeuntis.

BVDÆVS AVDITIONIS STVDIOSO
BENE AGERE.

OCtauo opinor die hoc Germanorum rectores vrbis expugnationem deſperantes & de ea ſpem omnem abiicientes, diſſoluerunt obſidionem Maſſeriarum, atque inde ſe receperunt, haud ſcio in quo exercitu vſuri deinceps. Quoniam non iſtud ſolum, quòd videlicet prout maximè opprimere patriā noſtram putant & atrociter omni opprobrio afficere, ita profectò illi populātes peragrabunt,

& obuia ſuiſque pedibus expoſita quæque diripient quàm ferociſſimè. indicium ſit. In vnam enim ciuitatem ipſam quidẽ nullo præſidio fultam, conciues verò acres & animoſos habentem in itinere irruẽtes, iuxta potentiam ſuam expugnatam ipſam effecerunt internecioni obnoxiam atque habitantes in ea, omnia quidem militaria inſtituta tranſgrediendo, niſi ſanè in more poſitum eſſe dicant apud nationes noſtræ ætatis expugnatione captas vrbes vnà cum hominibus incendio vaſtandas eſſe, neque à pueris ſibi temperandum innocentibus neque à rebus ſanctis neque ſacris. Illi igitur talis cuiuſdã recentis inſtituti ſanguinolenti authores fuerunt his qui poſt hoc tẽpus bellum ſunt illaturi, nulla in re penitus alia miſerandos & calamitoſos iniuria afficere valentes, præterquàm quòd expugnati & eximiè ſuperati tentarunt ſuos ipſorũ hoſtes inſectari atq. punire. Quod, quæ non fecit ciuitas, non euiratorum quidem neque inſtrenuorum hominum? Iſti proinde ſe moroſos ac difficiles nimirum gerentes eò quòd in obſidio & incurſu quodã, perperam egiſſent, & amplius quã cẽtum ſuorum militum periiſſent, demptis captiuis atque occiſis in cibariorum cõparationibus, haud iram cohibuerunt: prauo affectui verò cedentes, ac neſcientes quomodo ipſius conſtantiam & grauitatem meritò fulcirent, profectò in ipſos obuios quoſque hunc abiecerunt, licet ipſi innoxij eſſent. ſed

καὶ τὰ παρατυχόντα διαρπάσονται ὅτι πολεμικώτατα. τεκμήριον δέ. πόλει γὰρ μιᾷ ἀφρούρῳ μὲν αὐτῇ, πολίτας δὲ δριμεῖς καὶ εὐψύχους ἐχούσῃ, παρὰ τὴν ὁδοιπορίαν προσβάλλοντες, κατὰ κράτος ἁλοῦσαν ἐποίησαν ἐξώλη αὐτήν τε καὶ τοὺς οἰκήτορας, πάντα γε τὰ νόμιμα παραβαίνοντες τὰ πολεμικά, εἰ μὴ ἄρα νενομίσθαι φασὶ παρὰ τοῖς καθ' ἡμᾶς ἔθνεσι τὰς ἑαλωκυίας πόλεις αὐτάνδρους πυρπολῆσαι, οὔτε παίδων φειδομένους τῶν ἀκάκων, οὔθ' ὁσίων οὔθ' ἱερῶν. οὗτοι τοίνυν τοιοῦτό τι καινοτόμημα φονικὸν εἰσηγήσαντο τοῖς ἐπὶ τούτῳ πολεμήσουσιν, οὐδὲν οὐδ' ὅλως ἄλλο τοῖς οἰκτροῖς καὶ ἀθλίοις μνησικακεῖν δυνηθέντες, πλὴν ὅτι τοὺς ὑπεναντίους ἑαυτῶν ἀμύνεσθαι ἀπομεμαχημένοι ἐνεχείρησαν, καὶ καταμεμαχημένοι, ὅπερ τίς οὐκ ἂν ἐποίησε πόλις, τῶν γε οὐκ ἀνάνδρων οὐδὲ μαλακισθέντων ἀνθρώπων; οὗτοι τοίνυν δυσμαχέτως δήπουθεν ἔχοντες ἐφ' οἷς κατὰ τὴν πολιορκίαν καὶ καταδρομήν τινα ἐτύγχανον ἡμαρτηκότες, καὶ πλέον ἢ ἑκατὸν τῶν σφετέρων στρατιωτῶν ἀπολωλεκότες, ἄνευ τῶν ᾑρημένων τε καὶ ἀνῃρημένων ἐν τοῖς ἐπισιτισμοῖς, οὐ κεκρατήκασι τῆς ὀργῆς. ἡττημένοι δὲ τοῦ πάθους, καὶ οὐκ ἔχοντες ὅπῃ τὸ ἐμβριθὲς αὐτοῦ δικαίως ἀπερείσωνται, κατὰ τῶν παρατυχόντων δὴ τούτων ἀπεσκευάσαντο τοῦτο, καίπερ αὐτῶν ἀνυπευθύνων ὄντων. ἀλλὰ

γὰρ οὗτοι μὲν ἀπεφθάρησαν εὐθὺς τῆς ἡμετέρας χώρας, ἐξαισίως, ὡς ἐλπὶς, καὶ δυσοιωνίστως προοιμιασάμενοι ἐπὶ τὰ ἀκολουθήσοντα ἐφεξῆς δράματα τοῖς ὑπ' αὐτῶν ὑπηργμένοις. συμβολή γε μὴν ὑπ' αὐτῶν ἤδε καὶ σύγκρουσις ἐγεννήθη πολέμου πανωλέθρου, εἰς πολλοὺς δήπου χρόνους συναψομένου ἀσπόνδως καὶ συρραγησομένου, ὑπερμεγέθης τε δυνάμεις ἀποτρυχωσομένου ἀμφοῖν τῶν βασιλέων, ἢν μὴ τὸ θεῖον τῶν δεήσεων ἐπακοῦσαν τῶν ὑπὸ δήμων δεδεημένων, συμβαλλομένους παύσῃ αὐτοὺς, καὶ εἰς ὁμόνοιαν ἐπαναγάγῃ. τῆς μέντοι τῶν Γερμανῶν δυσμενείας, καὶ τῆς εἰς τὴν ἡμετέραν χώραν ἐφορμήσεως καὶ εἰσβολῆς ὑπέκκαυμα δήπου ἐγένετο καὶ ἀκόνημα ἐνίων τῶν γειτνιώντων ἡμῖν τὸ φιλαπεχθήμον, ἐπιμιξίαν γ' ἐχόντων ἐγγυτέραν καὶ αἰέκαθεν ἀεὶ ὕπουλον. εἰς τούτων δὴ κατ' αὐτὸ τὸ ἔκαυσμα ἀπώλειαν οὐκ εἰς μακρὰν ἐκλαμψόμενον, ἢν τὸ δίκαιον ἰσχύσῃ καὶ ἡ ἀδράστεια παρῇ παρὰ τοῖς ἐπουρανίοις. ἀλλὰ μὴν ὁ ἱερὸς καὶ ἅγιος ἀνὴρ, ὁ τὴν συνωμοσίαν ὅλην συστήσας κατὰ τῆσδε τῆς κλεινῆς ἐπαρχίας, ἐπωνύμου τῆς πάνυ θεοσεβείας, καὶ ἁπάσης, ὡς γοῦν λόγος τεθρύλληται, ὦ γῆ καὶ ἐπουράνιοι, συγκροτήσας τὴν παρασκευὴν πανταχόθεν ἐπίφοδον ἡμῖν, οὐδὲν τοιοῦτον ὑπ' εὐηθείας καὶ χρηστότητος ὑφορωμένοις, αὐτός γε πρὸ τῶν ἄλλων ἐξάλλων, καὶ ὥσπερ εἰ ἐνόπλου τινός

enim iſti quidem in perniciem ſuā diſceſſere continuò è regione noſtra, intempeſtiuè, vt ſpes eſt, ac inauſpicatò exorſi ad fabulas poſthæc ſequuturas ea quæ ab ipſis incœpta ſunt. Hic porrò congreſſus ab iiſdem & offenſio belli pernicioſi exorta eſt, in multa nempe tempora hæſuri atrociter ac erupturi, permagnáſque copias amborū regum abſumpturi, niſi diuina maieſtas deprecationes exaudiat à plebe factas, certamen ineuntes reprimat ipſos, & in concordiam redigat. Atqui Germanorum ſimultatis, & in noſtram regionem impetus & incurſionis incitamentum vtique fuit & irritamentum nonnullorum nobis conterminorum queruloſa inimicitia, conſuetudinem quidem habentiū propinquiorem & à longè ſemper infidam atque ſubdolam. In eorum proinde hæc ipſa fax damnū breui temporis curriculo exarſura, ſi æquitas valuerit & vindicta diuina adfuerit apud cælicolas. Atqui diuinus ac ſanctus vir, qui conſpirationem integram aſtruxerat contra hanc inclytam prouinciam, quæ nomen ſortita eſt ex illuſtri pietate, & totū, vt alioqui fama diuulgata eſt, ô terra & cælites, vbi concinnè compoſuiſſet bellicum apparatum omni ex parte nobis extantem, nil tale præ ſimplicitate comitatéque ſuſpicantibus, ipſe quidem ante alios impetuosè exiliens, & tanquam armati cuiuſdam

tripudij præſultor, haud compertum habeo qua in re laceſſitus ſe ipſum dimittere ex principe ſeu imperatoria animi parte præoccupauit, atque etiam ipſe reuera ex intellectu ſuo elapſus eſt. Haud enim alius vir in multis exiſtimatione clarus, auguſtum ſanctúmque religionis domicilium antiſtitum, & ſacerdotio cæremoniiſque perbeatum, propugnaculum fecit Martis truculentiſſimi. Et vt iracūdiæ cupiditatíq. aliquid cōdonaret, morum quidē manſuetudine ductus & incitatus in ipſo (vt opinio eſt) inſitorum, ex pacis porrò delubro repugnantibus auſpiciis egreſſus, in Bellonæ orcheſtram deſiliit. Vbi certè talis tantæque maieſtatis venerationem, & in præteritis rebus nominis celebritatem per ſaltandi imperitiam perdidiſſe (aiunt) haud veritus eſt, tanti atque talis theatri conſeſſu in eum oculos defigente. verumenimuerò quodnā culpare poſſet noſtratium flagitiū iſte, quod inſtar ſit huius ipſius cōſilij, ob quod ſanè ipſum in diſcrimen & periculum venerit vera religio, quantum quidem in hominibus ſitum eſt. Quod & aliâs & ſæpenumerò iam noſtra ętate euenit, deo nimirum perſpicuè oſtendente in talibus, ac veluti ſanè confirmante ſuos ipſius electos, vt pote quia ſalutaris religio cæremoniáque in æternitatem perdurabit abſque vlla intermiſſione, ex incorruptis videlicet proueniēs fundamētis, & admodū ornatè iactis. Quū verò permittatur ipſi, liceátq. patri,

χορεστασίας ἔξαρχος, οὐκ οἶδ' ὅτι παθὼν, ἑαυτὸν ἀφεῖναι ἐκ τοῦ ἡγεμονικοῦ ἔφθακε, καὶ δὴ καὶ αὐτὸς ὡς ἀληθῶς τοῦ λογισμοῦ ἐκπεσεῖν. οὐ γὰρ ἄλλος ἀνὴρ ἐπὶ πολλοῖς εὐδοκιμήσας, τὸ σεβάσμιον οἴκημα τῶν τῆς εὐσεβείας ἀρχηγῶν, καὶ ἐπὶ ἱερωσύνῃ πανόλβιον, ὁρμητήριον ἐποιήσατ' ἂν ἄρεως φονικωτάτου, καὶ ἐφῶτε τῷ ὀργιστικῷ καὶ τῷ ἐπιθυμητικῷ ἐνδοῦναι, τοῦ ἐπιεικοῦς μὲν ἤθους ἐκφερόμενος αὐτῷ, ὡς λόγος, ἐμπεφυκότος, τοῦ τε μυχοῦ δὲ τῆς εἰρήνης ἐκφθαρεὶς, ἐπὶ τὴν ὀρχήστραν καθήλατ' ἂν τὴν τῆς ἐνυοῦς, ὅπου δὴ τοῦ τοιούτου καὶ τηλικούτου ἀξιώματος τὸ αἰδέσιμον, καὶ τὴν ἐπὶ τοῖς πεπραγμένοις εὐδοκίμησιν ἀπορχήσασθαι φασὶν οὐκ ηὐλαβήθη, τοῦ τοσούτου καὶ τοιούτου θεάτρου συγκαθίσματος εἰς ἐκεῖνον ἀτενίζοντος. ἐπεὶ τί ἂν αἰτιᾶσθαι δύναιτ' ἂν ἁμάρτημα τῶν ἡμετέρων οὗτος, ἀντάξιον τούτου τοῦ βουλεύματος αὐτοῦ, καθ' ὃ δὴ αὐτὸ παρακεκινδύνευται τὰ τῆς ἀληθινῆς θρησκείας τό γε ἐπ' ἀνθρώποις ὄν. ὅπερ καὶ ἄλλοτε καὶ πολλαχῶς ἤδη ἐφ' ἡμῶν ἐγένετο, τοῦ θεοῦ δήπου ἐναργῶς ἀποδείξαντος ἐν τοιουτοισὶ, καὶ οἱονεὶ δὲ πιστωσαμένου τοὺς ἑαυτοῦ ἐκλεκτοὺς, ὡς ἡ σωτήριος τελετὴ εἰς αἰῶνα τυγχάνει διαρκέσουσα ἀναπαύστως, ἐπ' ἀφθάρτων δῆθεν βεβηκυῖα τῶν θεμελίων, καὶ εὖ μάλα καταβληθέντων. ἐξὸν δὲ αὐτῷ, καὶ προσῆκον τῷ πατρὶ,

εἴ τι ἠδίκητο ἢ ἠγνωμόνητο ὑπὸ τοῦ πάντων πρεσβεύοντος τῶν υἱῶν αὐτοῦ, ἤτοι ἀποκηρύξαι ἢ ἄλλως δίκην εἰσπράξαι αὐτόν, ἕως τύχοι ἀπὸ τούτου πειθαρχίας τῆς δεούσης· ὁ δὲ τῆς φιλοστοργίας ἀφέμενος τῆς τῶν πάλαι προηγησαμένων ἀρχιερέων, καὶ πολλὰ χαίρειν φράσας τῷ καλῷ καὶ τῷ πρέποντι, αἷς τε ἔτυχεν εὐθὺς αἰτίαις ἐπεξελθὼν, καὶ θανάτου δὴ αὐτῷ τῷ υἱῷ τετίμηται τῷ πρεσβείου ἐν τέκνοις εἰληχότι, καὶ ἀπωλείας τῆς ἐσχάτης, αὐτῷ τε καὶ τοῖς ἐγγόνοις καὶ πάσῃ τῇ θεραπείᾳ αὐτοῦ. οὕτως ἀνὴρ τἄλλα ἀξιέπαινος, καὶ δὴ καὶ ἀμέμπτως γε εἰς τήνδε τὴν ἀξίωσιν, ὡς λόγος, ὑπηγμένος, ἐκπαθῶς εἶχε καὶ ἐκτόπως περὶ τὰ εἰς νοῦν ἅπαξ ἐμβεβλημένα καὶ δικαίως κἀδίκως. ἐφ' οἷς διὰ στόματος γινόμενος τοῖς ἀνθρώποις οὐκ ἐπ' ἀγαθῷ, ἤδη, ὡς οἶμαι, ᾔσθετο, παρ' ὃ καὶ εἰς τὸ ἐπιεικὲς τοῦ ἤθους ἐπανήξειν ἐπίδοξος ἡμῖν ἐστιν. ἑαυτοῦ τε εὐφυΐᾳ ἄλλ' ἄττα χρήσεσθαι τῇ οἰκουμένῃ χρειωδέστερον, ᾗ οὐρανόθεν ἐγκεχείρισται. οὕτω γὰρ περὶ τούτου πέπεισμαι, οὐκ αὐτὸς μὲν ἐγνωκὼς αὐτόν, τῶν ἄλλων δὲ διακηκοὼς αὐτοῦ τό, τε φιλάγαθον φύσει καὶ φιλόλογον διεξιόντων, ὑπὸ τῶν πεπλησιακότων αὐτῷ διεφθαρμένον. παυόντων μὲν οὖν οἱ πολέμιοι

ſiquid contra leges iuráque commiſſum aut præpoſterè actum fuerat ab omnium ipſius filiorum natu maximo honoratiſſimóque, vel abdicare vel alio modo pœnas ab ipſo exigere, donec ab eo obſequiũ decens & opportunum impetrauerit: ille porrò miſſam faciens naturalem beneuolentiam priſtinorum antecedentium ſummorum pontificum, & ingentem ſalutem decori ac dignitati dicens, & quibuſuis protinus offenſionibus in eum irruens, etiam capitis certè ipſum filium poſtulauit & perniciei extremæ, qui primogenituræ ius ætatíſque prærogatiuam inter filios ſortitus eſt, ipſúmque & poſteros omnémque comitatum ipſius. Sic vir alioqui commemoratione dignus, atque etiam omni remoto crimine quidem in hunc glorioſum titulum (vt hominum exiſtimatio eſt) cùm irrepſiſſet, immodicè affectum ſe præbuit & ineptè in his quæ ſemel in mentem immiſſa iniectáque fuerunt quo iure quáque iniuria. Ob quas res in ore cũ ſit hominib⁹ haud boni cauſa, iam, vt mea eſt opinio, id reſciuit, propter quod etiam in morum manſuetudinem rediturus eſſe videtur nobis: eiuſdémque ipſius naturalis induſtria alia quædam commodiùs in orbis terrarum vſum conuerſura, qui cælitus eiuſdem imperio traditus commiſſúſque eſt. Sic enim de eo perſuaſum habeo, cùm ipſe quidem haud cognouerim ipſum, ab aliis porrò audiuerim recitantibus ipſius naturæ habitum & probitatis amorem & in literatos beneuolentiam, labefactatam ab his qui eidem adiacent. Modum imponant vtique aduerſarij

ſuæ ipſorum petulantiæ, & ſacratiſſimam auguſtiſſimámque dignitatem integumentum malitiæ iam non faciant. Ipſi quidem in mandatis ſuis & edictis præſcriptis palámque propoſitis, hæc & illa in regem noſtrum falſa mendoſáque verba proferentes, iſtud verò potiſſimùm ignominiosè obiicientes, quòd religionem eccleſiaſticam ſibi infenſam reddiderit. Ex his enim commentis fruſtra ſperarunt ſeparaturos eſſe ab eodem ex confœderatis eos qui apprimè addicti ſunt, & ſemper ipſi præſidio adeſſe obnixè contẽderunt. Ipſe tamen rex Franciſcus tametſi ſib i ipſi nulla in re cõſcius ſit ignauè feciſſe vel perfidiosè, multa verò paſſus propterea quòd benè meritus ſemper ſit de rectore ipſius religionis, nihilominùs videtur perpetuò pacificè placidéque ſe gerere. Quanquã eò ipſe fermè venerit vt ex propriis & auitis bonis eiiceretur & ab hoſtibus & ab illo inſuaui ingratóque, inſidias graues, ô Deus, eidem molientibus necnon filiis ipſius. Enimuerò & ille vtranuis in partem delegerint nunc aduerſarij, paratus, quatenus quidem me cognoſcere par eſt ex his quæ ab eodem recitante audio, & agente ſentio, ac potiſſimùm matre ipſius paci ſemper operam nauante pro ſua facultate. Itaque hûc & illuc animum flectens æquali pondere modò, minimo negotio deflexerit quocunque procliuẽ eſſe præſentium animaduerterit rerum ſtatum. his re-

τὴν φλυαρίαν ἑαυτῶν, καὶ τὸ ἱερώτατον ἀξίωμα μὴ ποιουμένων ἤδη πρόσχημα τῆς κακουργίας. ἐν τοῖς μὲν διατάγμασιν αὐτοῖ ἰδίοις καὶ τοῖς παραγγέλμασι προγεγραμμένοις, τὰ καὶ τὰ καταψευδομαρτυροῦντες τοῦ βασιλέως ἡμῶν, τοῦτο δὲ εἰς τὰ μάλιστα καταιτιώμενοι, ὅτι τῇ θρησκείᾳ ἀπήχθηται τῇ ἐκκλησιαστικῇ. διὰ τούτων γὰρ εἰκῆ ἤλπισαν τῶν ἐπινοημάτων, ἀποσπάσεσθαι τούτου τοὺς ἄγαν προσαθεμένους τῶν ὁμοσπόνδων, συμβοηθεῖν ἀεὶ αὐτῷ προσφιλοτιμησαμένων. αὐτὸς γε μὴν ὁ βασιλεὺς Φραγκίσκος εἰ καὶ ἑαυτῷ μηδὲν σύνοιδε ἀγεννῶς εἰργασμένῳ ἢ παρασπόνδως, πολλὰ δὲ παθόντι δι' ὧν εὖ πεποιηκὼς ἀεὶ ἔφθη τὸν τῆς θρησκείας αὐτῆς ἐπιστάτην, ὅμως ἔοικεν ἀεὶ εἰρηνικῶς διακειμένῳ καὶ εὐαρέστως. καίπερ παρ' ὀλίγον ἐλθὼν τῶν ἰδίων αὐτὸς καὶ πατρῴων ἐκπεσεῖν ὑπό τε τῶν ἐχθρῶν καὶ ἀγνωμονοῦντος ἐκείνου, ἐπιβουλὴν δεινήν, ὦ θεέ, ἐπιβουλευσάντων αὐτῷ τε καὶ τοῖς αὐτοῦ. οὐ μὴν ἀλλὰ καὶ ἐκεῖνος εἰς ὁπότερον ἂν ἕλωνται νῦν οἱ ὑπεναντίοι, εὐτρεπής, ὅσα γε κἀμὲ συνιδεῖν ἐξ ὧν τε λέγοντος τούτου ἀκούω, καὶ πράττοντος αἰσθάνομαι, καὶ ταῦτα τῆς μητρὸς αὐτοῦ τῇ εἰρήνῃ ἀεὶ σπουδαζούσης ἐκ τῶν ἐνόντων. ὥστε ταλαντευόμενος τὴν γνώμην ἰσορρόπως νῦν, ῥᾳδίως ἂν ἀποκλίνειεν ὅπῃ ἂν ἐπιρρεπῆ εἶναι τὴν τῶν παρόντων [illegible] πραγμάτων κατάστασιν, τούτων

οὕτως ἐχόντων ὅστις ἂν τὸ παρελθὸν διανοῆται τοῦ πολέμου τούτου πρότερον ἐξάψας τοὺς σπινθῆρας, τοῦ χειμῶνος δ᾽ ἂν ἐπιγινομένου μαρανθέντας, διακαέστερον αὐτὸς αὖθις ἀναρριπίσαι, ἴστω μὲν αὐτὸς μὴ λησόμενος, αἰτίαν τε δι᾽ αἰῶνος ἕξων, δύο τῶν ἐξοχωτάτων δαίμονας ἐπικρατειῶν τε καὶ βασιλέων ἐνδόξων ἀλλήλοις συγκεκρουκέναι, ἐπὶ λαμπροτάτῃ ζημίᾳ καὶ ἀνηκέστῳ θεοσεβείας τῆς δοκίμου. καὶ μὴν εἰ οὕτω τινὲς εἰσὶ νεμεσητικοὶ, ὥστε τὴν ἐπιπολάζουσαν ἡμῶν καὶ ἔκπλεων εἶναι δοκοῦσαν εὐημερίαν βαρύνονται, οὐ κατ᾽ ἀξίαν πράττειν αὐτοῖς δοκούντων ὑπερμέτρως εὐθυμουμένων, ἐννοούντων μὲν αὐτοὶ ὅτι αἱ μέγισται δυνάμεις συνορεύουσαι, ἅλις μὲν ἀφ᾽ ἑαυτῶν προσκρούουσαι ἀλλήλαις, εὐφυεῖς τυγχάνουσιν οὖσαι, καὶ εἰς ἅμιλλαν αὐτοκίνητοι. ὁποτέρα μέντοι τούτων ἑτέρας μαραινομένης τῶν μειζόνων ἐφιεμένη περιγένηται, καὶ δὴ ταύτην λογιζέσθωσαν εἰς νεμεσητοτέραν εὐθενίαν καὶ ἀκαταπαυστοτέραν ὑπερέξειν, τὴν ἄλλως τότε μεταμελείας ἀκολουθησούσης τοῖς τῷ βρίθοντι τῆς ἡμετέρας ὕστερον δυσχεραίνουσιν. ἔρρωσο, ἐν αὐλῇ, τοῦ ὀκτωβρίου μηνὸς τῶν νέων καλενδῶν τῇ ὑστεραίᾳ.

bus eo pacto ſe habentibus quiſquis penitus in animo habuerit ſe huius belli elapſo tempore inflammaſſe ſcintillas, hyeme adueniente quæ marceſcent & extinguentur, ardentiùs ſe ipſum iterum excitaturum, ſcito quidem minimè obliturus, criminationíque perpetuò ſe obnoxiũ fore, duos genios eminentiſſimorũ imperiorũ atque regum clariſſimorum inuicem in conflictum impuliſſe, ſuper emicãtiſſimo & inexpiabili detrimento probatæ religionis. Quod ſi vſqueadeò nonnulli ſunt mordaces & indignabundi, vt exuperantem noſtram & expletam eſſe apparentem vitæ commoditatem grauiter & iniquo animo ferant, haud pro meritò agere cum ipſis videamur, ſed ſupra modum hilariter viuamus, ſecum reputent quidem ipſi maximas poteſtates conterminas, ſat quidem per ſe ipſas ſe inuicem offendere, acres cùm ſint, & in dimicationem ſuapte natura concitatæ. Vtralibet porrò earum altera deficiente magnificentiorum rerum cupida conſtiterit incolumis, protinus hanc exiſtiment in inuidioſiorem incolumitatem & inquietiorem venturam eſſe, incaſſum deinceps pœnitentia comitante eos qui grauitatem noſtræ regionis graui & iniquo patientur animo. Vale, in aula, Octobris menſis recentium calendarũ poſtridie.

ΒΟΥΔΑΙΟΣ ΦΙΛΗΚΟΩ.

ΕΙΣ τοὔμπαλιν ἡμῖν τὰ τῆς διαίτης στρατιωτικῆς ἀπέβη. ᾤμην γὰρ κιν-

BVDÆVS AVSCVLTATIONIS STVDIOSO.

E Diuerſo nobis vitæ ratio militaris ſucceſſit. Putabã enim pe-

riculum fore duntaxat ab hoſtium impetu:ac me, nunc in primã hanc militiam qui exiuerim , cùm ſim quinquagenarius , non minimè formidaturum eſſe apud bellicos conflictus & manuum cõſertiones in diſcrimen adduci vitæ . Item verò etiam hiſce menſibus hybernis,me vexatum iri equidem à temporis iniuria & frigore videbar. Qui quidẽ in medio iam autumno exercitus curam gerere incipiẽte rege (tum etenim primùm manifeſtè ſemotáque omni diſſimulatione,fracti fœderis perfidia ſe violatum eſſe comperit)cum ipſius comitatu coniunctus fui.Quem profectò interim dimittere , viri eſſe ſtatuebam ego vitæ cupidi atque contumelioſè de ſe ipſo cenſentis. Quanquam ſolitus ſim impos eſſe ad frigus vehementer ſentiendum in priſtinis temporibus hyemis. Hæc autem in contrarium omnino nos & præter expectationem nimirum circonſteterunt : Quæ tu longè admirareris : neque ipſe ex aduerſo inſtructos quidem cernẽs hoſtes , horum verò ac noſtrorum conflictum quamprimùm futurũ arbitrans, ſed & tubæ clangorem percipiens, certamen iamiam futurum indicantem , ne tunc quidem formidoloſus fui : rege nimirum fretus audactérque ſe gerente , & ſuos ipſius milites per agmina cõponente conſtanter & eos excitante.Nec verò ego ipſe à rigoris ſeueritate refrigeratus tandem ægrotaui, licet ſine tecto quidem aliquo-

δυνον ἔσεσθαι μόνον ἀπὸ τῆς τῶν πολεμίων· καί με νυνὶ περὶ τὴν ταύτην στρατείαν ἐστρατευμένον ὄντα πεντηκοντούτη, ἐνεστηκυιῶν μαχῶν οὐχ ἥκιστα ἀποδειλιάσειν τε, καὶ παρὰ τὰς συμβολὰς καὶ συνάψεις τῶν χειρῶν κινδυνεύσειν περὶ τῆς ψυχῆς. ἅμα δὲ καὶ ἐν τουτοισὶ τοῖς μησὶ χειμερίοις, κακώσεσθαι ἔγωγ᾽ ὑπὸ τῆς ὥρας καὶ ῥίγους ἐδόκουν. ὅς γε μεσοῦντος ἤδη τοῦ φθινοπώρου στρατηγεῖν ἀρχομένου τοῦ βασιλέως, (τότε γὰρ δὴ πρῶτον ἄντικρυς καὶ ἀπροφασίστως παρεσπονδημένος ᾔσθηται) τῆς ἀκολουθίας κατειχόμην. ἧς δὴ τηνικαῦτα μεθίεσθαι, πρὸς ἀνδρὸς εἶναι ἔκρινον ἐγὼ φιλοψύχου τε, καὶ ἀτίμως περὶ ἑαυτοῦ βεβουλευμένου. καίπερ δυσρίγως ἔχειν κατὰ τοὺς πρόσθεν χρόνους τοῦ χειμῶνος εἰωθὼς καὶ βαρυτέρως. ταῦτα δὲ ἐς τοὐναντίον πάντως ἡμῖν καὶ παράδοξον περιέστη, ἀμέλει (ὅπερ σὺ παρὰ πολὺ ἀγασθείης ἂν) οὐδ᾽ αὖθις ἀντιπαρατεταγμένους μὲν ἰδὼν τοὺς πολεμίους, τούτων δὲ καὶ τῶν ἡμετέρων σύρραξιν αὐτίκα δὴ ἐσομένην, οἰόμενος, ἀλλ᾽ οὐδέ γε τῆς σάλπιγγος ἐπαΐων, τὸν ἀγῶνα ὅσον οὐδέπω ἐσόμενον σημαινούσης, οὐδὲ τότε περίφοβος ἐγενόμην. τῷ βασιλεῖ δήπουθεν πεποιθὼς ἀδεῶς τε διακειμένῳ, καὶ τοὺς ἑαυτοῦ συντάττοντι εὐκαταστάτως καὶ παραθαρρύνοντι. οὐδὲ μὴν οὐδ᾽ αὖθις ὑπὸ ῥίγους καταψυχθεὶς ποτ᾽ ἔκαμον, καίτοι ἀστέγως γ᾽ ἐνίο-

τε διαιτώμενός τε καὶ ὡς ἂν τύχοι αὐλιζόμενος ἐν κώμαις ἡμικαύτοις τε καὶ ἡμιπτώτοις. ὑπὸ πυρὸς μέντοι αὖ ὀλίγου δεῖν ἔφθημεν ἡμεῖς ἀποτεθνάναι. τῆς νυκτὸς γὰρ παρεληλυθυίας ἐφ' ἧ περ ἤδη ἡ ἡμέρα ἐπέλαμψεν, ἐτυγχάνομεν πολλοὶ εἴσω συνῳκισμένοι ἄλῳ τινὸς ὑπωρόφου, οἷαί περ αἱ τῶν ἐγχωρίων εἰσὶν αὐτόθι καὶ τῶν γε ἡμετέρων τῶν ἐνταῦθα αἱ πλεῖσται. ἦν δὲ παμμεγέθης τε καὶ παμπληθῶν δεσμῶν σιτηρῶν τε καὶ κριθινῶν γέμουσα. ἐγὼ μὲν οὖν ἐν ταύτῃ μετὰ τῶν ἵππων ἓξ τῶν ἐμῶν καὶ τῶν σκευῶν περὶ γωνίᾳ τινὶ καθιδρυμένος καὶ συνελαθεὶς, χάριν ὅμως εἶχον τῷ τε θεῷ τε καὶ τοῖς περὶ ταύτην τὴν ἐπιμέλειαν οὖσιν, ἐπὶ εὐρυχωρίᾳ ἐκείνη ἐμοὶ ἐπισταθμευομένη, ὥς γε ἦν στενοχώρημα σύμπαν τὸ κατὰ τὴν παρεμβολήν. ἐν κραββάτῳ τε ὁδοιπορικῷ κατακλιθεὶς μεγαλοπρεπῶς, ἐπιπόλαιον ὑπνώττοντι ἐῴκειν. οὐ γὰρ ἐξῆν τοῦ δεινοῦ περιϊσταμένου γιγνομένης ἀπολαῦσαι τῆς ἀναπαύλης. ὅμως μέντοι ἀμωσγέπως κοιμωμένου μου, ἰδοὺ δὴ ἀμφί που τὴν δευτέραν φυλακὴν, βοὴ καταπληκτικὴ ἐξανίστησιν ἡμᾶς, ἀναβοώντων τινῶν περὶ ἐμπρησμὸν τοῦ στρατοπέδου, καὶ συμβοηθεῖν, ὡς ἔθος, ἐκκαλευμένων. ὡς οὖν τάχιστα τὸν θόρυβον ὅστις ἐστὶν ᾐσθόμην. εἶχε γὰρ ἐμὲ, ὡς ἔφην, φροντὶς ἀεὶ καὶ προσοχὴ μεριμνῶσα, ἐπισταμένου δῆθεν εἰς ὅσον κινδύνου

ties degens & vtcunque pernoctans in pagis ſemiuſtis atque ſemirutis: præ incendio & oppreſſione quidem rurſus fermè nos cœpimus perire. Etenim nocte prætereunte ex qua hæc dies effulſit, eramus multi eodem conturbernio vtentes in area cuiuſdam pauimenti ſubtegulanei, qualia indigenarum ſunt illic & noſtratium quidē iſtic degentium plurima. Erat autem prægrandis atque quamplurimis colligamentis frumentariis hordeaceis quoque referta. Sanè quidem ego in eius cū equis ſex meis & ſarcinis angulo quodam ſitus & compulſus, gratiam tamen deo habebam necnon his qui in hac cura vigilātiáque verſantur, illius ſpacioſi loci gratia mihi pro diuerſorio aſſignati, prout erat loci anguſtia vniuerſa in caſtrenſi ordinatione. Et in grabbato itinerario recumbens magnificè, leuiter dormitanti conſimilis eram. Non enim licebat periculo circonſtante apta & idonea frui quiete, nihilominus certè quodammodo ſopiente me, ecce ſanè circiter ſecundam vigiliam, vociferatio horrida excitat nos, exclamantibus nonnullis ad incendium caſtrorum, & in præſidium concurrere, vt in more poſitum eſt, prouocantibus. Vbi primùm itaque tumultū quicunque eſſet percepi, habebat enim me, ſicuti dixi, ſolicitudo ſemper & attentio me anxium reddens, ſcientem vt pote in quātum periculum

redactus eram in area incluſus ſurculoſa aridaque materia ſcatente, quamplurima profectò tædarum accenſione omnia illuſtrãte. Enimuero poſteaquam intellexi vociferationis originem, è lecto ſtatim exiliens, ac famulos meos excitans, acceleraui negotium ſpeculaturus. Id autem erat conflagratio magna domum maximam depaſcens, formidabilem aſpectum habens & admodum terribilem. Ex qua ſanè exilientes huc & illuc ſcintillæ, tum verò flagrantes auulſiones ſeu abſtractiones ferebantur ea quæ in circuitu erant attingentes & protinus comburentes. Porrò autem illa flamma exercitum omni ex parte illuſtrante, & cunctis ex his qui erãt in tentoriorum ſerie ſenſim ſe erigentibus, exportãtes plurimos turbulentè quæ in caſtris erant vidiſſes, & præproperè ſarcinas colligẽtes. Quemadmodum certè paſſim ex hac expeditione in re militari experientia regis & imperatoria facultas apparuit, ſic & illic eluxit ſtrenuitas necnon ſolertia eiuſdem ad omniáque expedita ſemper, & ad quoſlibet vſus tempeſtiuè expoſita. Is quippe è diuerſorio in primordio ſtatim exiens & in id reuertens, cùm tumultuationem & diſcordiam ſua præſentia componens ac dirimens, tùm, quæ in primis conducibilia erant imperãs apud excubias conſtitutas aduerſus eam quæ in opinione erat hoſtium aggreſſionem, interim ingẽti militum multitudine adducta, quæ

καθεστήκειν ἐν τῇ ἅλῳ καθειργνύμενος φρυγανώδεις ὕλης μεστῇ, παμπλήθεις δὴ δᾳδουχίας πάντα καταλαμπούσης. ἀλλ' ἀμέλει ὡς συνῆκα τῆς βοῆς τὴν αἰτίαν, τῆς τε κλίνης εὐθὺς ἐκθορών, καὶ τοὺς ὑπηρέτας τοὺς ἐμοὺς ἐξανιστάς, ἔσπευδον τὸ πρᾶγμα θεωρήσων. τὸ δὲ ἦν πυρκαϊὰ μεγάλη οἶκον μέγιστον νεμομένη, φοβερὰν ὄψιν ἔχουσα καὶ δεινῶς ἐκπληκτικήν. ἐξ ἧς δὴ ἅλλοντες τῇδε κἀκεῖσε σπινθῆρες, καὶ δὴ καὶ φλογώδη ἀποσπάσματα, τῶν πέριξ ἐφέροντο προσαπτόμενα καὶ εὐθὺς ἐμπιπράντα. τῆς δὲ δὴ φλογὸς ἐκείνης τὸ στρατόπεδον ἅπαν περιλαμψάσης, καὶ πάντων τῶν ἐν τῇ παρεμβολῇ κατὰ μικρὸν διαναστάντων, ἐκφοροῦντας τοὺς πλείους θορυβωδῶς τὰ ἔνδοθεν εἶδες ἄν, καὶ κατὰ σπουδὴν σκευαγωγοῦντας. ὡς μέντοι ἑκάστοτε ἐπὶ τῆς εἰσβολῆς ταύτης τό, τι στρατηγητικὸν τοῦ βασιλέως καὶ τὸ αὐτοκρατορικὸν ἐξεφαίνη, οὕτω καὶ ἐνταῦθα ἐξέλαμψεν ἡ προθυμία τε καὶ δεξιότης αὐτοῦ, πρὸς πάντα τε εὐσταλὴς ἀεί, καὶ πρὸς τὰς ἑκασταχοῦ χρείας ἐν δέοντι ἐγκειμένη. οὗτος γάρ τοι τοῦ καταλύματος κατ' ἀρχὴν εὐθὺς ἐξιὼν καὶ παραγενόμενος, τοῦτο μέν, τὸν θόρυβον καὶ τὴν ταραχὴν τῇ αὐτοῦ παρουσίᾳ καταστήσας, τοῦτο δέ, τὰ προὔργου ἐπιτάξας πρὸς τὰς φυλακὰς κατὰ τῆς ἐπιδόξου τῶν πολεμίων ἐφορμήσεως, εἶτα πολυχειρίαν προσαγαγόμενος τὴν

ἐκφλέγωσιν ἀποψύξουσαν, πορρωτέρω ἑξῆς προβεβηκυῖαν, ἄδειαν ἡμῖν ἐκπλέων παρέσχετο, καὶ ἀσφάλειαν τῆς φλογὸς ἐπὶ τούτοις κατὰ μικρὸν συνιζηκυίας. πρὸ δὲ τούτου, τὸ δὲ ἀπὸ τῶν πυρῶν δέος ἕτερον συνεπέπλεκτο μεῖζον, διαπορούντων δήθεν ἡμῶν καὶ δεδιότων μή ποτε αὕτη ᾖ τῶν πολεμίων παρασκευὴ, καὶ σκευώρημά τι στρατηγηματικὸν, ἐφ' ὅτῳ περισπωμένοις ἡμῖν θορυβωδέστερον καὶ ἀπασχολουμένοις ἔχον δὴ αὐτοὶ καὶ φονικώτερον ἐπιθήσονται. ὁ μὲν οὖν κατὰ τὴν νύκτα τοῦτον εἶχε τὸν τρόπον. ὁ δὲ μεσουρανοῦντος τοῦ ἡλίου καταλαβὼν ἡμᾶς κίνδυνος, καὶ ἐκεῖνον ἐκδεξάμενος τὸν νυκτερινὸν, καὶ τοῦτο δὴ ἀξιόλογον ἕξει τὸ ἀπομνημα. μετὰ τὴν ἱερουργίαν εὐθὺς σῖτον ἀναιρούμενος, καὶ τὰ πρὸς τὴν ἱππασίαν ἐνδεδυκώς τε καὶ ὑποδεδεμένος, ἐτύγχανον μὲν περιπατῶν καὶ προσδιαλεγόμενος τῶν ἐμοὶ συνήθων τινί. ἐν τούτῳ δὲ σάλπιγξ τὸ δεύτερον ἤδη ἀνακλάγξασα, καὶ τὴν ἀναζυγὴν σημαίνουσα, ὑπέμνησεν ἡμᾶς ἐξακτέον εἶναι τοὺς ἵππους ηὐτρεπισμένους, ὡς ὅσον αὐτίκα ἱππασομένου τοῦ βασιλέως. εὐθέως οὖν ἤμην πρὸς τὸ κατασπεύδειν τοὺς οἰκέτας τοὺς ἐμούς. καὶ ταῦτα διότι ἑώρων τοὺς ἄλλους ἤδη ἐκτὸς τῶν ἱπποστασίων ὄντας, καὶ τοὺς ἵππους χαλιναγωγοῦντας, ὡς ποιεῖν εἰώθασιν οἱ ἐν προσδοκίᾳ ὑπάρχοντες. τοῦτο οὖν ἡμῶν

incẽdium inhibitura eſſet, longiùs deinceps progreſſum, ſecuritatem nobis expletam præſtitit, & cautionem incendij propter has res leuiter confidentis. Sed antea, hac ex igne formidine altera maior connexa copulatáque fuit, elaborantibus ſcilicet nobis ac pertimeſcentibus ne fortè ea eſſet aduerſariorũ inſtructio, & fraudulenta machinatio quædam ſtratagematica ſeu militaris, qua de cauſa occupatos nos turbulentiùs atque detentos faciliùs ſanè ipſi & crudeliùs inuaderent & aggrederentur. Is itaque metus in ea nocte hunc in modũ ſeſe habet. Sed periculũ quod nos apprehendit ſole mediam cæli partem occupante, & vbi nocturnum illud expuliſſet, etiam iſtud profectò memoratu dignum habebit monumentum. Poſt miſſæ ſacrificium continuò cibum capiens, & ea, quæ ad equitatum pertinent, indutus atque calceatus ocreatúſque, incedebam quidem & colloquebar cum quodam meorum familiarium: aſt hoc interim ſpatio tuba iterum iam clangorem emittens, & caſtrorum motionem canens, nos commonefecit educendos eſſe equos paratos, veluti iamiam equitaturo rege. Confeſtim igitur eram intentus ad accelerandum famulos meos: potiſſimùm eò quòd cernebam alios iam extra ſua ſtabula eſſe, & eos qui equos moderarentur, quemadmodum facere pro more habent qui ſunt in expectatione. Iſtud ergo nobis

ſtudioſè curãtibus, ædificiũ quoddam ſuperbum meo ſtabulo finitimum flamma obliteratrice & exitioſa impenſè ſic oppreſſum & ſubitò abſorptum eſt, ita vt niſi factũ ſimul comperiens, equum quo oblector vehi ego exprompſiſſem, túmque mihi miniſtrantes, tantũdem agere vnumquemq. turbidè admonuiſſem, etiã igni locum dare, haud incolumes nunc eſſemus. Ideóq. in exiguo tẽporis interuallo vicum totum prægrandem, & vnà cum tabernaculis tanti exercitus capacem, hæc inflammatio vndique cingens obliterauit in cinerem redactum, nobis ſpectaculum iſtud cum formidine ſuſpicientibus, præterea res bellicas deteſtantibus. Quinetiam neque ipſe rex exercitus dux & rector, interea dum armaretur, & ornatum viæ militari conuenientem induẽs ac pro amuleto appendens, tranquillitatem huius tumultuationis adeptus eſt, ſicuti audiui commemorante eodem hanc ærumnã, propemodum quidem eò veniens vt propter fumum & ardorem omnia ambientem enecaretur. Aſt incendio vaſtandi in hoc Hannonum territorio vicos, auctores quidem ſunt Vulcani miniſtri oriundi nimirũ à Germanis & Hannonibus. Qui hanc legem bellicam introducentes flagrandi, ea vſi ſunt priores ferociter ac odioſè. Nam moribus receptum eſt apud ipſos hac via incipere bellica opera. Quos profectò factis paribus cõpenſare è no-

διὰ σπουδῆς ἀγόντων, οἴκημά τι μέγα συνεχὲς τῇ ἱπποστάσει τῇ ἐμῇ, φλογὶ ἀφανιστικῇ σφόδρ' οὕτω κατείληπτο καὶ ἐξαίφνης κατεπόθη, ὥστ' εἰ μὴ τὸ πρᾶγμα συναισθόμενος, τὸν ἵππον ᾧ χαίρω ὀχούμενος αὐτὸς προὐχειριζόμην?, τοῖς τε διακονοῦσί μοι τότε, τὸ αὐτὸ ποιεῖν ἕκαστον θορυβωδῶς ἀνεμίμνησκον, καὶ τῷ πυρὶ παραχωρεῖν, οὐκ ἂν νῦν σῷοι ἦμεν. καὶ γάρ τοι ἐν ἀκαρεῖ τὴν κώμην ἅπασαν παμμεγέθη, καὶ σὺν ταῖς σκηναῖς τοσαύτην χωροῦσαν στρατοπεδείαν, ἡ ἐκφλόγωσις περιβαλλομένη ἠμαύρωσεν ἀποτεφρωθεῖσαν, ἡμῶν τὸ θέαμα ἐκεῖνο καταπληττομένων, καὶ δὴ καὶ τὰ πολεμικὰ μυσαττομένων. καὶ μὴν οὐδ' αὐτὸς ὁ τοῦ στρατοῦ ἡγούμενος βασιλεύς, μεταξὺ καθοπλιζόμενος, καὶ τὴν σκευὴν τὴν πρὸς ὁδὸν στρατευτικὴν ἐπαναβαλλόμενος καὶ περιάπτων, ἄδειαν τούτου θορύβου εὕρηται, ὡς ἤκουσα ἀπομνημονεύοντος αὐτοῦ τὸ δεινόν, παρ' ὀλίγον γε ἐλθὼν ὑπὸ τοῦ καπνοῦ καὶ τοῦ καυσώδους πάντα περιέχοντος ἀποπνιγῆναι. τοῦ δὲ πυρπολεῖσθαι τὰς ἐν τῇδε τῇ Αὐνωνίδι κώμας, αἴτιοι μὲν οἱ ἡφαιστίδαι ἀπόγονοι δήπου τῶν Γερμανῶν καὶ Αὐνώνων, οἱ τόνδε τὸν νόμον πολεμικὸν εἰσηγούμενοι τὸν καυσώδεον?, ἐχρήσαντο πρότεροι ἀπηνέως καὶ φιλαπεχθημόνως. νενόμισται γὰρ παρ' αὐτοῖς οὕτω κατάρξασθαι τῶν πολεμικῶν ἔργων. οὓς δὴ τοῖς ἴσοις ἀμείψασθαι τὴν ἡμε-

τέρων τινὲς βουλόμενοι, φείδεσθαι τῶν ἀόπλων σωμάτων τοῦ βασιλέως παρεγγυῶντος, τὴν ἑτέραν ἐτράποντο τῆς τιμωρίας ὁδόν, ἀντιδρῶντες ἃ πεπόνθεσαν. οἶδα δέ τινας τῶν κωμῶν φυγάδας τῶν ὑπὸ πολεμίων καταπεπρησμένων, τῷ στρατῷ ἀκολουθοῦντας τῷ ἡμετέρῳ, πάντα ποιήσειν φάσκοντας ἐπὶ τῷ μετιέναι τοὺς προηδικηκότας φιλέχθρως καὶ ἀνελεημόνως, οὓς ἡ βασιλέως ἐπιμέλεια πολλάκις τυγχάνει ἀπερύξασα, τὰ πυρὶ ἄφνω καὶ λάθρα καίοντας ὅπη ἂν τύχοιεν ἐξουσίας. ἔρρωσο.

ſtris nonnulli volentes, ſibi temperare ab inermibus corporibus rege admonente, in alteram deflexerũt vindicationis viam, viciſſim agẽtes & rependentes quæ paſſi fuerant. Animaduerti porrò aliquos pagorum deſertores ab hoſtibus combuſtorum, exercitum noſtrum ſequentes, nihil non ſe acturos eſſe dictitantes ea lege vt vlciſcendo perſequerentur eos qui hoſtiliter & ſemota omni miſericordia prius laceſſiuerant, quos regis vigilantia multoties propulſauit, incendia repentè occultéque excitantes quocunque modo facultatem conſequerentur. Vale.

ΒΟΥΔΑΙΟΣ ΦΙΛΗΚΟΩ εὖ πράττειν.

ΟΥ πάνυ που, ὦ οὗτος, δοκῶ μοι ἡμαρτηκέναι τῆς εὐστοχίας, ἐν οἷσπερ αὐτὸς τυγχάνω ἐστοχασμένος κατ᾽ ἀρχὰς καὶ προειρηκὼς περὶ τοῦδε τοῦ πολέμου. καὶ γάρ τοι μέγα φρονοῦντες τὸ πρότερον οἱ ὑπεναντίοι τῇ μὲν, ἐπὶ τῇ σφετέρᾳ ἑαυτῶν ἀνδρίᾳ, τῇ δὲ, ἐπὶ τῇ ἡμετέρᾳ ἀμηχανίᾳ καὶ ἀθυμίᾳ, πολλὴν ἂν ἀσυνεσίαν νυνὶ καὶ προπέτειαν ὀφλισκάνοιεν. οἵ γε ἀτρεμοῦντος πρότερον τοῦ βασιλέως, καὶ κατὰ χώραν μένοντος, πρὸ τοῦ ἀκριβῶς ἐξετάσαι τὸ γινόμενον, καὶ ἐξελέγξαι τῶν τἀναντία φρονούντων αὐτῷ τὰ παρανενομημένα, καίπερ ἐπιόντων καὶ καταδραμόντων ἤδη αὐτῶν πανστρατιᾷ, καὶ τὰ μέσα καὶ ὀλβιώ-

BVDÆVS AVDIENDI AVIDO FELICITER AGERE.

NOndum magnoperè, heus tu, mihi videor defeciſſe aberraſſéque à rectè coniiciendi dexteritate, quibus in rebus, ipſe coniectura collegi à primordio ac præmonui de hoc bello. Ideóque ſuperbiẽtes in primis aduerſarij tum quidem, propter ſuam ipſorum generoſitatem, tum verò noſtræ imbecillitatis & anxietatis cauſa, ingenti inſania modò contumaciáque digni æſtimari queunt. Qui quidem rege prius intrepidè quieſcente, & in ſua ſtatione manente, ante exactam & accuratam facti exquiſitionem, & priuſquàm refutaſſet iniquitates eorum qui ipſi contraria cogitabant, quamuis inuadentibus & excurſione depopulantibus iam ipſis cum vniuerſo copiarum agmine, & media citiſſi-

máque patriæ noſtræ ſe direpturos eſſe iactantibus, haud piè quidem iurare hunc iidem ipſi & in confœderationibus acquieſcere affirmabant, ſed propter vecordiam conuitio afficiendo obiurgabant, inhærere aſſeuerantes vſquequaque eum anxium & hæſitantem, nec intelligentem vbi & quo pacto conſulendum ſit ſuo ipſius principatui propemodum euertendo reſoluendóque. Aſt illi non ſecus atque elumbem, & inſtrenuũ ipſum ac diſſolutum irridebant, tempus opportunum ad militarem inſtructionem in muliebri ſodalitate per luxum libidinémque cõterere garrientes, nihil expediẽtem fructuoſum ad propulſationem & præcautionem. Enimuerò & Hannonibus cum iactantia oſtendere aſſiduam ſuam dicacitatem & verſutiam volentibus, iſte diuulgatus eſt ſermo, lepidus opinor & ſcitus omninò, regem inſectari propulſaréque eorundem inuaſionem alacri animo affectantem, minimè valuiſſe: nam non amplius etiam nunc ſupereſſe Gallorum genus non fucatum quidem & ſyncerum. Cuius rei cauſa eundem regem tanquam gallum gallinaceum apud gallinas verſari, vt ex his fœtus gigneret, ac nationem reſtauraret. Sunt porrò qui regem haud quaquam nobis eſſe aſſeuerarent, verùm in principatus priuatione Francos ſuperſtites eſſe, nullatenus verò etiam viuendi licentiam obtinere. His vocum dilatationibus ac nugis homines nimio riſu geſtientes ſeipſos arbitrabantur ærumnoſos effecturos eſſe Francos, & adhuc vigentem cum

πατα τῆς ἡμετέρας πατρίδος παρεσήσεσθαι ἀπειλησάντων. οὐκ εὐορκεῖν μὲν τοῦτον αὐτοὶ καὶ ταῖς σπονδαῖς ἐμμένειν ἡγοῦντο καὶ ἔφασκον, ἀλλ' ὑπὸ τῆς ἀβελτηρίας ἐλοιδορεῖτο, ἐπικαθῆσθαι φάμενοι παντὶ πάντως ἠπορημένον, οὐδὲ εἰδότα ὅπῃ καὶ ὅπως βοηθητέον εἴη τῇ πατρίδι καὶ τῷ αὐτοῦ κράτει ὅσονούπω παραλυθησομένῳ. οἱ δέ, ὡς μαλακιζόμενον αὐτὸν καὶ καταβλακευόμενον ἔσκωπτον, τὸν καιρὸν τῆς στρατολογίας ἐν τῇ γυναικωνίτιδι καθηδυπαθεῖν ἀδολεσχοῦντες, οὐδὲν λυσιτελοῦντα τῶν χρησίμων πρὸς τὴν ἄμυναν καὶ προφυλακήν. ἀλλὰ μὴν καὶ τῶν ἀννώνων παρενδείκνυσθαι πολὺ τὸ εὐτράπελον καὶ κομψὸν βουλομένων, τοῦτο τεθρύλληται τὸ φθέγμα, στωμύλον οἶμαι καὶ χαρίεν ἐπιεικῶς, τὸν βασιλέα ἀμύνεσθαι τὴν σφῶν ἔφοδον προθυμούμενον, οὐ δυνηθῆναι. οὐκέτι γὰρ καὶ νῦν περιεῖναι τὸ γένος τῶν γάλλων γνήσιόν γε καὶ ἀκέραιον, οὗ ἕνεκα αὐτὸν οἷον τὸν ἀλεκτρυόνα πρὸς ταῖς ἀλεκτρυαίναις ἐνδιατρίψαι, ὅπως φύσειεν ἐκ τούτων νεοττούς, καὶ τὸ ἔθνος ἀποκαταστήσειεν. εἰσὶ δὴ οἱ καὶ βασιλέα οὐδ' ὅλως ἡμῖν εἶναι ἔφησαν, ἀλλ' ἐν ἀναρχίᾳ τοὺς φράγκους ἐπιζῆν, οὐ μὴν δὲ καὶ αὐτονομεῖσθαι. τουτοισὶ τοῖς στωμύλμασιν ἀνθέσπει καγχάσιχοι σφᾶς αὐτοὺς ᾤοντο ἐξώλεις ποιήσασθαι τοὺς φράγκους, καὶ τὸν ἐνσταῖτα

πόλεμον καταπολεμήσεσθαι. ὅπως οὖν τὸ πρᾶγμα περιέστη τούτοις, τοῖς τοῦ Φραγκικοῦ γένους εὔκλεια συμπεπτωκέναι ἤδη αὐτοῖς δοκοῦσιν, λὰξ, ὡς ἄν τις εἴποι, ἐναλλομένοις, τὰ συμβεβηκότα ἐναργῶς φανερὸν ποιεῖν δύναται. στρατηγεῖν γοῦν τοῦ ἄρχοντος ἡμῶν καὶ εἰσελαύνειν εἰς τήνδε τὴν χώραν ἐπιβαλλομένου, οἱ μάλιστα τῶν ἀπεχθανομένων ἡμῖν, φρονηματίαι φαινόμενοι, καί τι καὶ ἄρεως δὴ πνέοντες οἱ Αὔνωνες, καὶ τὸν μὲν φθόνον ἡμῖν ἀνέκαθεν ἀεί, ὡς ἂν δυνηθεῖεν μάλιστα, ὑπεκκαίοντες, νυνὶ δὲ τοῦ πολέμου τουτουὶ τοῦ καυστικοῦ δᾳδοῦχοι, ὡς λόγος, καὶ ἐμπρηστικοί, οὐδέποτε ἐφαίνοντο ἀρήξοντες τῇ ἑαυτῶν ὅπῃ ἔτυχε ἀντιδεδῃωμένῃ, ἐφ᾽ ὅτῳ δὴ ἐγκλήματι αὐτοί, ὡς ἔπος εἰπεῖν, ἐρήμην ἡλώκασιν ὑφ᾽ ἡμῶν, τὴν δίκην ταύτην ἀδικίας ἐφ᾽ οἷς ἀδίκων χειρῶν ἦρξαν, ἐπαγαγόντων αὐτοῖς. ὧν δὴ ὁ ἄρχων ἡμῶν βασιλεύς, τὸν αὐτῶν ἄρχοντα αὐτοκράτορα καταδικάσασθαί μοι δοκεῖ, αὐτός γε εἰς τὸ κριτήριον ἐλθών, ἐκείνου οὐδ᾽ ἀπαντήσαντός πω εἰς τὴν κυρίαν, οὐδ᾽ ἄλλους πέμψαντος τήν γε τὰ ὅλα κρινοῦσαν μάχην, συνάπτειν ἂν ὑπομείναντας. τοῦτο μέντοι τὸ τῆς παροιμίας οἱ Αὔνωνες πεπονθότες μοι δοκοῦσι, καὶ δὴ καὶ εἰς σφέτερον αὐτῶν γένος μετενηνοχότες τοὐντεῦθεν τὸ πάλαι θρυλ-

hoſtibus diſcordiam prælio ſuperaturos. Proinde quonam modo facti moleſtia eoſdem cinxerit ac presſerit, qui Francici generis titulũ claritatémque (quæ iam ipſis apparet corruiſſe conſediſſéque) pedis ictu, (vt quiſpiam dixerit,) feriunt, ea quæ fortuitò contigere non ita pridem explanare poſſunt. Itaque arte ſtratagematica ſeu militari florere principe noſtro & equitatu ingredi in hunc Hannonum agrum tentãte, qui potiſſimùm nobis ſunt infeſti & odioſi, magnificè de ſe ſentire patefacientes, & quidpiam etiã Martis ſanè ſpirãtes Hannones, ac maleuolentiam quidem nobis à longè ſemper quàm maximè potuerunt ſubinflammantes, nunc porrò belli huius ardẽtis tædas geſtantes, vt fama volat, & incendiarij, neutiquam conſpicuè viſi ſunt tueri ſuam ipſorum regionem vbi fors fortuna tulit mutua flamma direptam. Propter quod ſanè delictum ipſi (vt vno verbo abſoluam) deſerta indictáque cauſa conuicti ſunt à nobis, quippe qui intenderimus ipſis hanc impietatis actioné, eò quòd iniuſtarum manuum auctores fuerunt. Qua profectò rex qui erat dux noſter, ipſorũ ducem impetratorem mulctauiſſe à me cenſetur, ipſe quidem in iudicium veniens illo necdum ſeſe offerenre ad diem vadimonij nec alios mittente qui ſuſtineãt cõmittere hãc dimicationem harum diſcordiarum ſummam quæ diiudicet. Iſta porrò parœmia Hannones affecti eſſe mihi videntur, atque etiam in ſuũ ipſorum genus trãſtuliſſe poſthac quæ quidem diuulgata diſſe-

minatáque fuit, Hãnones quidem malum non patiebantur, illi autem ad ſe ipſos euocarunt. Quanquam & ipſi propter conſternatam & attonitam fugam obliuioſos ſe præbentes, vniuerſas quidem ſuas ædes ab habitatoribus deſertas dimiſerunt, & ad panẽ conficiẽdum idoneis aliis ſeminibus, necnon cibariis referta habitacula excipiendo frumento comparata dereliquerunt. Quæ profectò domicilia fœni & hordeorum in exercitum vtilitatem immittebant, præterea etiam humi ſtratis aſſeclis & militibus lõgè vtilia erant, & iumẽtis verò ſubſternebantur & equis. Quod certè iiſdem interueniſſe vt facerẽt quiſnam arbitratus fuiſſet, & hoc viaticum diſpoſuiſſe nobis in eorundẽ ipſorum regionem cum impetu ingreſſuris, propterea quòd ipſi auctores fuerunt noſtratibus incendio vaſtãdi, principe noſtro interea quietè viuere ſuos ipſius ſanctè incorruptéque edicto præcipiente. Tuquidem certè, ô amice, à priſtino recreatus ac refocillatus nunc animi deliquio, & ex cura necnon mœſtitia illa erectus, in quam delapſus fueras propter eorum qui iſtic degunt vaniloquorũ ac deblateronum mendacium, iuſtè atque decenter illos his fauſtis felicibúſque nunciis remunerari potueris. Iſti enim vna quidem vel duabus noſtris offenſis immaturè in nos ingreſſi, ac proteruè inuadentes, digni ſunt ſua vice audire nunc hæc, eò quòd contumelioſè mutilatã ſuam ipſorum patriam, & extrema paſ-

λούμενον, οἱ Ἄννωνες μὲν κακὸν οὐκ εἶχον, οἱ δ' ἐφ' αὑτοὺς ἐπεσπάσαντο. καίτοι γε καὶ αὐτοὶ ὑπὸ τῆς ἐμπλήκτου φυγῆς ἀμνημόνως διακείμενοι, πάσας μὲν τὰς οἰκήσεις, τῶν οἰκούντων ἐρημωθείσας προήκαντο, καὶ τῶν σιτοποιουμένων ἄλλων σπερμάτων τε καὶ χιλῶν κατάπλεω τὰ οἰκήματα ἐγκατέλιπον τὰ σιτοδόχα. ἃ δὴ χόρτου καὶ κριθῶν ἐν τῷ στρατοπέδῳ χρείαν ἐπάγοντα, προσέτι καὶ τοῖς χαμαικοιτοῦσι τῶν ἀκολούθων καὶ στρατιωτῶν εὔχρηστα ἦν, καὶ τοῖς ὑποζυγίοις δὲ ὑπεστοιβάζοντο καὶ τοῖς ἵπποις. ὅπερ δὴ ἐπελθεῖν τούτοις ποιεῖν ἄν τις ὑπολάβοι, καὶ τουτὶ τὸ ἐφόδιον ἡμῖν παρασκευάσαι εἰς τὴν ἑαυτῶν εἰσβαλοῦσιν, ἀνθ' ὧν ὑπῆρξαν αὐτοὶ πυρπολήσαντες τῶν ἡμετέρων, τοῦ ἄρχοντος ἡμῶν τηνικαῦτα ἡσυχίαν ἄγειν εὐόρκως τοῖς ἑαυτοῦ παραγγείλαντος. σὺ μὲν δή, ὦ φίλε, τῆς πρόσθεν ἀνενεγκὼν νυνὶ λειποθυμίας, καὶ ἐκ τῆς μερίμνης τε καὶ κατηφείας ἐκείνης ἐπανακύψας, εἰς ἣν καταπεπτώκεις διὰ τὴν τουτωνὶ τῶν αὐτοῦ σπερμολόγων ψευδολογίαν, δικαίως ἂν καὶ προσηκόντως τούτοις ἂν ἀμείψαιο τοῖς εὐαγγελίοις ἐκείνους. οὗτοι γάρ τοι ἑνὶ μὲν ἢ δυοῖν ἡμῶν σφάλμασι προώρως ἐπεμβεβηκότες, καὶ προπετῶς ἐπιφῶτες, δίκαιοί εἰσιν ἀντακοῦσαι νῦν ταῦτα, δι' ὧν λελωβημένην αὐτῶν τὴν πατρίδα, καὶ τὰ ἔσχα-

τὰ παθοῦσιν αὐτοὶ πείσονται, ἀνθ' ὧν αὐτὴ λυμεῶνας τῶν πόλεων τῇ ἡμετέρᾳ ἐφθάκει ἐπαφεῖναι. ἅμα δὲ τῷ αὐτῷ ἀκροάματι τουτοισὶ τοὺς βασκάνους τῆς καταλαλιᾶς ἔσῃ καταπεπαυκὼς, καὶ τοῖς ἐκπλαγεῖσι τῶν τὰ φίλα ἡμῖν φρονούντων, ἐφ' οἷς προεντετυχηκότες ἐτυγχάνομεν, σύ γε ἀποκαταστήσῃ τὴν εὐθυμίαν. ὁποῖ' ἄττα μὲν οὖν ἔσται τὰ τούτων ἑξόμενα τῶν προλαβόντων κατορθωμάτων, ὁ θεὸς μὲν εἰδείη ὁ πάντων τῶν ἀνθρωπίνων πραγμάτων αὐτεξούσιος, ᾧ δὴ καὶ τοῖς θείοις ἅμα πᾶσι συνδόξειε κύρια ἡμῖν ποιῆσαι τά τε τῆς σωτηρίας σύμβολα προτοῦδε ἐκφανέντα, καὶ νίκης τελευτώσης πάντα εἰς τοὐπιὸν διακρινούσης τὰ ἀμφισβητήσιμα. ἀλλά τοι εἰ ἡ ἐλπὶς εὐλόγως εἰς νοῦν ἐμβεβλημένη, ἀσφαλίζεσθαι ἁμωσγέπως δύναται τὴν διάνοιαν τὴν περὶ πράγματος μέλλοντος ἐπαμφοτερίζουσαν, εἰκότως μέντ' ἂν εἰς τὰ ἐπὶ τούτοις εὐψύχως ἴοιμεν καὶ πεποιθότως. καὶ ταῦτα οὐδὲν ἡμῖν συνειδότες οὐδὲ παρανενομημένον οὐδὲ κατεπιορκημένον. ἀμέλει ἐκ τῶν μέχρι τοῦδε τεκμήριόν ἐστιν οὐκ ἀπαίσιον οὐδὲ δυσοιώνιστον, ὅπου γε τὰ προφθάσαντα, εὖ καὶ καλῶς ἡμῖν περιῆλθεν. οἵ γε ἀνθ' ὧν οὔπω ἀνταιρόμενοι τοῖς ἐπιοῦσιν ἀντιπάλοις πεπόνθαμεν, διπλάσια ἤδη αὐτοῖς

ſam ipſi comperient, quoniam eadem vrbium corruptores & vaſtores in noſtrã præoccupauerat immittere. Simul porrò hac ipſa recitatione iſtos obtrectatores à nefanda garrulitate compeſcueris, & in ſtuporẽ redactis his qui nos amicitia familiaritatéque proſequuntur, propterea quòd prius repugnantibus auſpiciis tractati fueramus, tu quidem in integrum ſtatum reſtitues alacritatem: Cuiuſmodi ſanè quidem erunt ea quæ his conſentanea futura ſunt præcedentibus magnis ac memorabilibus facinoribus, deus quidem viderit qui in omnibus humanis operibus ſuis numeris abſolutam potẽtiam adeptus eſt, cui profectò diuíſque ſimul omnibus viſum fuerit minimè abroganda nobis facere & ſalutis indicia antehac ſanè elucentia, & victoriæ tandem omnia in ſubſequens tempus decidentis ac dirimentis quæ in dubio poſita ſunt. Veruntamen ſi ſpes optimo iure in mentem immiſſa, munire ac protegere vtcunque poteſt ſententiam de re euentura in ancipiti collocatam, ritè quidem ad ea que poſthac [ſubſequentur] animosè iuerimus & confidenter. Præſertímque nullius rei nobis conſcij neque legibus repugnantibus perpetratæ neque periurio fractæ. Quapropter ex his quæ hactenus [præceſſerunt] teſtimonium eſt non indecẽs nec inauſpicatum & exitiale, ſi quidem ea quæ elapſa ſunt, rectè præclaréque nobis contigere. Qui propterea quòd nondum reluctantes adorientibus aduenietibúſque aduerſariis iniuria ſumus laceſſiti, duplicia iam ipſis

S

reddidimus diripiendo illorum facultates & euertendo, diuino vtique numine diſponente, minimè acquieſcentes in præſentibus pulchréq. conſtitutis rebus Hannones cõtinuò primas partes reportarunt detrimenti ac fugæ, qui Germanos concitant. Etenim iſti debebant veluti Marti primitias offerre de ſuo ipſorum agro, quamuis ab homicidiis nobis temperauerimus, cùm hoſtes neque à puerorum cæde abſtinuiſſent. Quocirca contigit patriæ noſtræ, à conſpiratis tãtis támque numeroſis hoſtibus & coniuratis, perfidioſè in ſeditionem deueniſſe coniicienti, non modò protruſiſſe cum exercitu & equitatu ingreſſos, & perniciẽ profectò eidem ſe illaturos dicentes, verumetiam periculum in ipſos & ærumnam conuertiſſe. Aſt aduerſariis noſtris rurſum contigit, ex quo iidẽ auſpicati ſunt militari apparatu inuadere facultates noſtras multo copioſiores, & educere & ferre quę ante pedes eſſent affectando, ipſis [inquam cõtigit] incõmodum percipere ex his quæ impiè patrata fuerunt ab iiſdem. Porrò autẽ horum operũ emendatio denominationem profectò mutuabitur à rege noſtro Franciſco, quo obſiſtente eorũ ductorib⁹ iniquè obuiaquæque expellentibus ex agris, & comminationes quaſdam & homicidia ſpirantibus, confeſtim eorum victoriæ, vt ſic dicam, paulatim extinctæ fuerunt, & conticuere ſuperbientes ipſi, & quaſi laureati ob vnius vrbis expugnationem nõ ad-

πορθοῦντες τὰ ἐκείνων καὶ καταστρεφόμενοι, ἀπετίσαμεν, τοῦ θείου δή που διατάξαντος, τοὺς μὴ στέρξαντας τοῖς παροῦσι καὶ καλῶς καθεστηκόσι τοὺς Ἄννωνας, οἵτινες τοὺς Γερμανοὺς ἐπομισάντες διατελοῦσι, καὶ δὴ τὰ πρωτεῖα ἄρασθαι τῆς τε λύμης καὶ φυγῆς. καὶ γὰρ οὗτοι ἔμελλον ὥσπερεὶ τῷ Ἄρει ἀπάρξεσθαι τῆς ἰδίας σφῶν αὐτῶν, εἰ καὶ τῶν ἀνδροκτονιῶν ἡμεῖς ἐφεισάμεθα, τῶν ὑπεναντίων οὐδὲ παιδοκτονίας ἀφεστώτων. τοιγάρτοι περιεγένετο τῇ ἡμετέρᾳ πατρίδι, ὑπὸ συστάντων τοσούτων καὶ τηλικούτων ἐχθρῶν καὶ συνωμοτῶν, παρασπόνδως κατασασιάσασθαι δὴ δοξάσῃ, οὐχ ὅπως διώσασθαι τοὺς εἰσελάσαντας, καὶ ὄλεθρον δὴ αὐτῇ περιποιήσειν φαμένους, ἀλλὰ καὶ τὸν κίνδυνον εἰς αὐτοὺς καὶ τὸ δεινὸν περιτρέψαι. τοῖς δὲ ἐχθροῖς ἡμῶν αὖθις αὖ περιγέγονεν, ἐξ ὧν οἵπερ ὑπῆρξαν ἐλασείοντες εἰς ἡμέτερα, καὶ ἄγειν, καὶ φέρειν τὰ ἐν ποσὶ γλιχόμενοι, αὖθις ἀπολαύειν πολλαπλασίονα τῶν παρηδικημένων ὑπ' αὐτῶν. τούτων δὲ δὴ τῶν πραγμάτων ἡ κατόρθωσις, ἐπώνυμος δὴ ἔσται τοῦ βασιλέως ἡμῶν Φραγκίσκου, οὗ περ ὑπαντωμένου τοῖς τούτων ἡγουμένοις ἐξωθοῦσι διὰ τῶν ἀγρῶν, καὶ ἀπειλητικόν τι καὶ κατασφακτικὸν πνέουσι, παραχρῆμα τὰ τούτων νικητήρια, ὡς εἰπεῖν, ἐμαράνθη, καὶ πέπαυνται μεγαλοφρονοῦντες αὐτοί, καὶ οἷον δαφνηφοροῦντες ἐπὶ τῇ ἁλώσει μιᾶς πόλεως οὐκ ἀ-

γαμ ἀξιολόγου. φέρε δὴ ἄνθρωποι νῦν εὐτράπελοι καὶ κομιδῆ ἀστεῖοι, διατελούντων χαριεντιζόμενοι σαρκασικῶς, καὶ δὴ καὶ τωθάζοντες λεγόντων τὸν ἡμέτερον βασιλέα δῃουμένης τῆς Γαλλίας ἀτρεμεῖν ὡς ἐπικαθήμενον τοῖς ᾠοῖς τῶν ὀρνίθων τῶν αὑτοῦ, καὶ ἐκλέψαι μελετῶντα γαλλίσκους τινὰς νέους εἰς ἀποκατάστασιν τοῦ γένους ἤδη ἠφανισμένου. σχέτλιοι δὴ ἄνθρωποι, οἳ ἀργὸν δὴ εὐλόγως ἀπ᾽ ἀρχῆς τὴν ἡμετέραν δύναμιν, ἐνεργὸν ποτε γεγενῆσθαι ἐπὶ κακῷ σφῶν ᾔσθοντο. ἀγαλλέσθω μέντοι καὶ ὁ τῆς πόλεως τῆς πάνυ ἀρχιερεὺς, ἐπὶ τῇ καταλύσει ἐπικρατείας τῆς τῶν Φράγκων. ἐπιπομπευέτω δὲ καὶ τῇ συμφορᾷ καὶ ἀναιρέσει τοῦ ἔθνους ἐπωνύμου τῆς ὀρθοδόξου τελετῆς. ταῦτα γὰρ διαπράξεσθαι αὐτὸς ἤλπιζεν, ἐν τούτῳ δήπου ὑπὸ τῆς ἄγαν ὁρμῆς αὐτὸς τὸ ἑαυτοῦ ἐπιεικὲς βιασάμενος, καὶ δὴ καὶ λίαν ἀγνωμονῶν πρὸς τὰ μεθ᾽ ἡμῶν συγκείμενα, ὑπὸ τῶν πλησιασάντων αὐτῷ δήπου προαχθείς. φεῦ τῆς ἀσχημοσύνης. οἱ τὴν σωτῆρος ἡμῶν ἱερωσύνην διαδέξασθαι φάσκοντες τοῦ εἰσηγητοῦ τῆς εἰρηνικῆς καταστάσεως, οὕτως ἐξέστησαν ἤδη τῆς τῶν προγεγονότων εὐλαβείας τε καὶ ἁγνότητος, ὡς φονικοῖς τε κατορθώμασι καὶ τῶν ἐθνῶν ὅλων ἐξωλείαις ἐγκαλλωπίζεσθαι, καὶ τὴν αὐτῶν ἀγχίνοιαν ἐν τοιούτοις ἀποτελέσμασιν ἐπιδείκνυσθαι. ταῦτά τοι εἰκότως ἡ δυνατωτάτη ἀξία

modum commemoratu dignæ. Age iam homines nunc dicaces & impensè feſtiui, perſeuerent facetiis vti amarulentis, prætereà mordendo gloriantes dicant regem noſtrum depopulata Gallia torpeſcere veluti inſidētem ouis ſuarum gallinarum, & excludere meditantem paruos quoſdam gallos, ad reſtitutionem generis iam obliterati. Miſerādi ſanè homines, qui deſidē & otioſam optimo iure à primordio noſtram potentiā ſtrenuā tandem fuiſſe in ſuum detrimentū cōperierunt. Exultet certè & inſignis ciuitatis ſummus ſacerdos, propter ruinam & euerſionem imperij Frācorum. Triumphum porrò ducat etiam calamitate & pernicie nationis nomē referentis orthodoxæ rectéque ſentiētis religionis. Ea enim ſe peracturum eſſe ipſe confidebat, interim certè præ immodica animi affectione ipſe ſuam ipſius æquitatem violans, atque etiam valdè ingratum ſe gerens ad ea quæ nobiſcum pacta conuentáque erant, ab his qui cum eodē familiariter verſarentur nimirum adductus. O impudentiam. Qui liberatoris noſtri ſacerdotio ſucceſſiſſe aſſeuerentes auctoris pacificæ conditionis, vſqueadeò digreſſi ſunt iam à priſcorum cautione atque ſanctitate, vt & truculentis facinoribus & gentium cunctarū exitio ſeſe oſtētent, & ſuam ipſorum ſolertiam in huiuſmodi rebus geſtis cum oſtentatione demonſtrent. Proinde optimo iure ſumma dignitas

honorum faſtigium ſortita, in reatu nunc eſt non ſecus atque inſolenter ordinem turbarit, & in ſuo ipſius officio admodum ſe inculte geſſerit. Criminationi obnoxia quidem coniicio breui conſtituetur, vt quæ amplitudinem minuerit venerandi ſacerdotij, ac toti profectò ſacro imperio ignominiam fœdam inflixerit, & infamiam quã maximam. Vale, in aula Decembris menſis decimo calendarum die.

κορυφὴν τῶν τιμῶν εἰληχυῖα, ἐν αἰτίᾳ νῦν ἐστὶν ὡς προπετῶς ἀτακτήσασα, καὶ ἐν τῇ ἰδίᾳ ἑαυτῆς μοίρᾳ πάνυ ἀκοσμήσασα. ὑπόδικός γ' εἶναι οὐκ εἰς μακρὰν κατασταθησομένη ὡς τὸ ἀξίωμα ἐλαττώσασα τῆς σεβασμίου ἱερωσύνης, καὶ ἅπαντι δὴ τῷ ἱεραρχικῷ διαβολὴν αἰσχρὰν προστριψαμένη, καὶ δυσφημίαν ὅτι μεγίστην. ἔρρωσο. ἐν αὐλῇ δεκεμβρίου μηνὸς δεκάτῃ τῶν καλενδῶν.

BVDÆVS BRIXIO BENE AGERE.

CVius rei gratia tecum Stephanus Blancus nudiuſtertius cõmunicauit (cum quo certè mea fideli ac ſtabili connubio iuncta eſt neptis) niſi tu perfectum & conſummatum exhibueris quàm citiſſimè id quod deſideratur ab ipſo, valeat amicitia quæ à nobis vltrò citróque priùs & ſufficienter exculta fuit, & officia ſanè ex his quæ inſunt in viribus noſtris ſingulis diebus compenſauit. Dudum cœnabam apud ipſum, & inter epulandum, vt eſt conſuetudo, de multis ac triuialib⁹ rebus vnà diſceptabamus. Sermo itaque caſu quodam exiit talis, vt villæ illius recordaremur, rectè ornatéque expolitæ, quemadmodum noſti, eximiéque elaboratæ. Deinceps colloquio procedente, & illo indigna paſſo proprer infortunium quoddam recens in prædio quod aduerſa fortuna acciderat, ſuſcipiens ego ſer-

ΒΟΥΔΑΙΟΣ ΒΡΙΞΙΩ εὖ πράττειν.

ΥΠΕΡ οὗπερ σοι Στέφανος ὁ Βλαγκὸς πρῴην ἐκοινολογήσατο, ᾧ δὴ ἡ ἐμὴ συνῴκησεν ἀδελφιδῆ, εἰ μὴ σὺ ἀποτετελεσμένον παρεσχημένος ἔσῃ ὅσον τάχος τὸ ποθούμενον αὐτῷ, ἐρρώσθω ἡ φιλία ἡ ἡμῖν πρὸς ἀλλήλους ἔμπροσθέν τε ἠσκημένη ἐπιεικῶς, καὶ τὰ καθήκοντα δὴ ἐκ τῶν ἐνόντων καθημέραν ἀμειβομένη. ἐτύγχανον γὰρ δειπνοποιούμενος παρ' αὐτῷ, καὶ μεταξὺ συμπίνουσι, ὡς φιλεῖ, περὶ πολλῶν καὶ τῶν τυχόντων συνδιελεγόμεθα. λόγος οὖν κατά τινα τύχην ἐξέβη τοιοῦτος, ὥστε ἀγροικίας τῆς τούτου μεμνῆσθαι, τῆς εὖ καὶ κοσμίως εἰργασμένης, ὡς οἶσθα, καὶ περιττῶς ἐξησκημένης. εἶτα δὲ ἐξῆς κοινολογίας προβάσης, καὶ ἐκείνου δεινοπαθοῦντος ἐπὶ ἀτυχίᾳ τινὶ προσφάτῳ κατὰ τὴν ἀγροικίαν ἠτυχημένῃ. ὑπολαβὼν ἐγὼ τὸν λό-

γον, καὶ πυθόμενος αὐτοῦ, ἥτις εἴη ἡ ἀτυχία, κατέμαθον τὸ γεγονὸς ὅπως τε συνέβη καὶ ὅτι οὐκ ἀνήκεστόν ἐστιν. ὡς οὖν τάχιστα ἔγνων τὸ πρᾶγμα ἔτι μετέωρον ὄν, καὶ δὴ καὶ ἐπὶ Γερμανῷ τῷ Βριξίῳ κείμενον ὑπὸ τῆς πολὺ ἑταιρείας τῆς ἡμετέρας, ἰσχυρίσασθαι ἔγωγε οὐκ ὤκνησα καλῶς σε τὸ πᾶν θησόμενον, καὶ δῆτα καὶ αὐτῷ τῷ ποθοῦντι καταθυμίως, ὅς γε καὶ τὰ ἀποπερανθέντα δὴ μεταθέσθαι οἷός τ' εἴης εἰ οὕτως ἔτυχε. τούτου μέντοι πως ἀπιστοῦντος, καὶ ὡσπερεὶ ἐπὶ ἀπολωλυίᾳ ἀφορμῇ δυσαρεστοῦντος, ἐπεγεῖραι ἔγωγε τὴν ἐκείνου ῥᾳθυμίαν βουλόμενος ἤδη ἀναπίπτουσαν, ἀναδέξασθαι οὐδέν τι μᾶλλον ηὐλαβήθην τοῦ πράγματος τὴν διάπραξιν ἐπὶ τοῖς ὑπάρχουσί μου πᾶσιν. οὐ μόνον δέ, ἀλλὰ καὶ ἐπὶ τῇ δοκιμασίᾳ μου καὶ ἐπιτιμίᾳ, ἥνπερ ἔγωγε περὶ πλείονος ποιοῦμαι τῶν ὑπαρχόντων. σὺ οὖν νεανικῶς εὐθὺς τῷ πράγματι ἐπεξιὼν, ὅρα ὅπως διεγγυήσῃς εὐθὺς τὰ κτήματά μου, οὕτω κατηγγυημένα ὑπ' ἐμοῦ, ἅμα τῇ πίστει τῆς φιλίας τῆς ἡμῶν, ἣν τὴν ἐνέχυρον ἐποίησα τουδε τοῦ ἐπαγγέλματος, τεθαῤῥηκὼς δήπου οἷς σὺ πρόσθε ἔφθης ἐπιδείξασθαι. ἧς δὴ προσδοκίας τῆς ἐμῆς, εἰ σὺ ἐνδεεστέραν νῦν ἐπιμέλειαν παράσχοις, πῶς οὐκ ἂν ἄντικρυς σοι καὶ καθάπαξ ἀπειρηκὼς εἴην τὴν εὔνοιαν καὶ φιλίαν ὅσον αὐτίκα. οὐ γὰρ ἂν ὑπομείναιμι ἀκοῦσαι προφάσεις προφα-

mocinationem, ac diſcens ex ipſo quodnam eſſet iſtud infortunium, cognoui factum & quo pacto euenit & quod inſanabile non eſt. Cùm primùm itaque cognoui negotium adhuc in expectatione eſſe, atque etiam in Germano Brixio ſitum præ inſigni conſuetudine noſtra, aſſeuerare equidem nō grauatus ſum honeſtè te totum effecturum eſſe, & quidem etiam ipſi deſideranti non grauatè, qui quidē & quę terminata perfectá que ſunt certè reuocare valeas ſi ſic poſtulauerit occaſio. Quanquam eo quodammodo diffidēte, & veluti propter perditam facultatem ſibi diſplicente, excitare equidem illius ſecuritatē volēs iam pigreſcentem & inſtrenuā admittere nullatenus veritus ſum negotij confectionem pro facultatibus meis omnibus: Nec ſolùm quidem, verumetiā pro commendatione mea & exiſtimatione, quam equidem pluris facio facultatibus. Quocirca tu iuueniliter audactér que ſtatim rem perſequens, videto quo pacto fideiuſſione liberaueris continuò meas poſſeſſiones, hunc in modum à me ſatiſdatione obſtrictas, vnà cum fide neceſſitudinis noſtræ, quam obnoxiam feci huic pollicitationi, fiduciam collocās nimirum in his quæ tu antea cœpiſti demonſtrare. Qua certè mea expectatione, ſi tu inferiorem nunc ſedulitatem præſtiteris, quo pacto non palam & omnino tibi mox amicitia interdicerē. Haud enim admiſerim audire pro excuſatione adferentem tergiuer-

ſationes qualeſcunque: qui quidē ſolertiam & acrimoniam tuam abundè ſcio, ſi quis etiam alius pertractando ea quæ à te propoſita incœptáque ſunt. Vale, Februarij menſis decimo tertio die.

BVDÆVS GILLIO
BENE AGERE.

VBi recognoui vtraſque literas tuas nuper ad me ſcriptas, reputaui & quanta ſedulitate acríque affectu tu teipſum remiſeris immodicæ optimarum literarum & venerandarum exercitationi. Quam certè æmulationi obnoxiā & ad certamen comparatam his qui noſtris temporibus ingenioſos ſe præbent, executioni idoneus huius temporis ſtatus, vt conſtat, fecit. Tametſi & tibi generosè quemadmodum ſenſi proſperóque ſucceſſu hunc induſtrium laborem tentanti congratulatus ſum inter recenſendum epiſtolas tuas, præterea vná apprehendere tecum quidpiā laboris exoptaui, cernens te nimirum eos qui præoccuparunt iſtud facere ſuſpicientem cum ſtupore, æmuléque capeſſentem & iuxta vires tuas. Proinde in his quæ iam ſcripſiſti, vſqueadeo me approbantem laudabilem hanc ſolicitudinē diſpoſuiſti, vt ſi aliqua in re me vti velis, permittam tibi experientiam facere in politioribus diſciplinis, & in aliis quidem rebus in me ſitis, quocunque caſu oblato. Et quidē ego eos qui inter literatos quali-

σιζομένου οὐδ᾽ ὁποιασδή. ὅς γε τὴν δεινότητα τὴν σὴν καὶ δριμύτητα ἐπίσταμαι ἱκανῶς, εἴ τις καὶ ἄλλος, ἐν τῷ καταπράττεσθαι τὰ προαιρεθέντα σοι καὶ ἐγκεχειρημένα. ἔρρωσο, φεβρουαρίου μηνὸς τρίτῃ ἐπὶ δέκα.

ΒΟΥΔΑΙΟΣ ΓΙΛΛΙΩ
εὖ πράττειν.

ἘΠελθὼν ἀμφότερα τὰ γράμματά σου ὑπογύως μοι ἐπεσταλμένα, ἔγνων ἡλίκῃ τε προθυμίᾳ καὶ ὁρμῇ συμφέρων ἑαυτὸν ἐνέδωκας τῇ ἄγαν μελέτῃ τῶν καλλίστων λόγων καὶ σεμνῶν. ἣν δὴ ἐφάμιλλον καὶ ἐναγώνιον τοῖς καθ᾽ ἡμᾶς εὐφυῶς ἔχουσιν, ἡ ἀποτελεσματικὴ τούτου τοῦ χρόνου κατάστασις, ὡς ἔοικεν, ἐποιήσατο. καίτοι καί σοι νεανικῶς ὡς ἤσθημαι καὶ ἐπιτυχῶς ταύτῃ τῇ φιλοπονίᾳ ἐπικεχειρηκότι συνήσθην μεταξὺ διελθὼν τὰς ἐπιστολὰς τὰς σάς, καὶ δὴ καὶ συνεπιλαμβάνεσθαί σοι τοῦ πόνου ἦν προεθυμήθην, ὁρῶν σε δήπου τοὺς προειληφότας τοῦτο ποιεῖν, ἀποβλέποντα τεθηπότως, καὶ ἐφαμίλλως τε μετερχόμενον καὶ κατὰ κράτος. διόπερ ἐν οἷς γεγραφὼς ἤδη τυγχάνεις, οὕτω με ἀρεσκόμενον τῇ ἀξιεπαίνῳ τῇδε σπουδῇ προεσκεύακας, ὥστ᾽ εἴ τι μοι χρῆσθαι βούλει, ἐφίημί σοι ἀπόπειραν ποιεῖσθαι εἰς τὰ περὶ τοὺς λόγους, καὶ τἄλλά γ᾽ ἐπ᾽ ἐμοὶ ὄντα, ὅπως ἂν τύχοι. καὶ γάρ τοι ἐγὼ ὁ τοὺς ὁποιασδη-

ποτ' οὖν ἀφορμῇ ἐντυγχάνοντάς μοι τῶν φιλολογούντων, ἐπιεικῶς ἐνδέξασθαι εἰωθώς, καὶ ἀπροφασίστως δὴ προδηγεῖν καὶ εὐγνωμόνως τούτων τοὺς διώκοντας τὴν δίγλωττον παιδείαν τοῖς γυναιστέροις ἤδη περιεσπούδαστον, καὶ τούτων καθηγήσασθαι ἕτοιμος τὰ δεόμενα ἐξηγήσεως, πῶς ἂν φθονοίην σοι τῆς ἐμῆς συνηθείας τε καὶ βοηθείας, τῆς ἐπὶ τὸ κεχαρισμενώτατόν μοι ἐπιτήδευμα ἐπιβαλλούσης. καὶ ταῦτα συστησασῶν σε τῶν ἐπιστολῶν τῶν σῶν, τῶν καὶ τὸ αἰτούμενον ἐκλιπαρεῖν ἀξιοχρέων, οὐχ ὅσον Ἰωάννου τοῦ Προπόστου, ἀνδρὸς βουλεύοντος ἐν τῇ πάνυ βουλῇ τῇ ἐνθάδε, ὑπερευχομένου σου, καὶ οἱονεὶ συνδεομένου. ἔρρωσο.

cunque occaſione mecum verſantur, manſuetè recipere conſuetus, ac certè remota omni diſſimulatione candidè dirigere ex his eos qui ſtudioſè expetunt bilinguem eruditionem à vehementioribus iam vndique affectatam, & eorum præceptor eſſe promptus. quibus eſt opus explanatione, quî ſuccenſerem tibi meæ familiaritatis atque ſubſidij cauſa, quod ad acceptiſſimum vitæ inſtitutum attinet. Et potiſſimùm conciliantibus te epiſtolis tuis, quæ etiam id quod exigitur aſſiduè rogare ſunt idoneæ, nedum Ioanne Prepoſto, viro cõſiliario in hoc inſigni ſenatu hîc collocato, tuo nomine intercedente, & quaſi vnà flagitante. Vale.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ
Πέτρῳ Ἀμίκῳ τῷ ἐκ τῆς ἑταιρείας τῶν φραγκισκανῶν εὖ πράττειν.

Ὦ ΠΡΟΣ τοῦ θεοῦ τε τοῦ ἑταιρείου καὶ τοῦ τῆς ὑμετέρας ἑταιρείας ἀρχηγοῦ, οἷ τοῦτο τυγχάνομεν ἀκηκοότες. σὲ μὲν γάρ, ὦ ἀσπασία μοι κεφαλή, καὶ Ραβάλαισόν τε Θησέα τὸν σὸν πυνθάνομαι ὑπὸ τῶν μισοκάλων τουτωνὶ τῶν ἑταίρων ὑμῶν παρενοχληθέντας διὰ τὴν ἄγαν περὶ τὰ ἑλληνικὰ σπουδήν, πολλὰ καὶ δεινὰ κακοπαθεῖν. φεῦ τῆς δυσαρμοστήτου τῶν ἀνδρῶν παρανοίας. ὦ τῆς ἀτοπίας θαυμασίας ἡλίκης. οἵτινες οὕτως ἔχουσιν ἀπειροκάλως τε καὶ δυσμαθήτως, ὥστ' εἰς ἐγκαλλω-

GVLIELMVS BVDÆVS
PETRO AMICO QVI eſt è ſodalitio contubernió-que Franciſcanorum bene agere.

O Deum immortalem & ſodalitatis præſulem noſtræquæ amicitiæ principem, quidnam eſt iſtud quod audiuimus? Te etenim ô caput mihi exoptatum, & Rabalæſum Theſeum tuum intelligo ab iſtis elegantiæ & venuſtatis oſoribus ſodalibus veſtris obturbatos propter vehemés circa literas Græcás ſtudium, quamplurimis grauibús que malis vexari. Pape, ô infauſtam virorum delirationem: O temeritatem perquàm admirabilem. Qui vſqueadeò ſunt animo inelegant ac ſtupido, vt quibus coho-

neſtari vniuerſum ſodalitium veſtrum conuenerat multúmque ſapere, quippe qui exiguo temporis ſpatio ad doctrinæ faſtigium peruenerint, eoſdem ſanè calumnioſè inſimulando ſplendoris cauſa, in ipſóſque coniurando, finem imponere conati ſunt ornatiſſimæ exercitationi ac decora grauitate aſperſæ. Quaſi ſanè iſtud legitimum ſit atque ſolemne omnibus ſodalitatibus contubernalibus ad vitæ ſanctimoniam congregatis, & in inſcitia optimarum diſciplinarum inſidere, & hanc imperitiam amare, quam quidem iſti ſimplicitatem ſodalitiam nuncupant. Ego porrò velim & ipſe horum ſodalitiorum principes, tales iuuenes in ſocietatem inſuper aſſumere ſolos, qui diligant ea quæ lege recepta ſunt in collegiis quibus ſe ipſos cõſecrarunt. Nequaquam verò etiam tales qui faſtidiant fructuoſas diſciplinas, priſcáque deliramenta, vt in prouerbio eſt, redolere ſemper proponunt. Præterea equidem pro voluptate probaré maxima huiuſmodi præſides ſodalitiorum, & omnes porrò imperitiam ſuperſtitioſè obſeruantes ſub nomine orthodoxæ diſciplinæ, penes me tandem eſſe, vt ipſorum ruditatem, forſitan verò & nequitiam pro dignitate eorum, quæ ab iiſdem decreta ſunt, perſequerer. Nam quis eorum qui literarum amore tenẽtur non exoptaret certè, vobis quidem & paucis orbicularis doctrinę in tripudio ſodalibus ſuccurrere ea tenus iniuria laceſſitis, & huius

πλέξεσθαι ἅπασαν τὴν ἑταιρείαν προσῆκε τὴν ὑμῶν καὶ μέγα φρονεῖν, τοῖς αὐτίκα δὴ ἂν εἰς ἄκρον ἀφικομένοις τῆς παιδεύσεως, τούτοις δὴ βασκήναντες τῆς εὐδοκιμήσεως, ἐπ' αὐτούς τε συστάντες, παῦσαι ἐνεχείρησαν καλλίστης τ' ἐπιτηδεύσεως καὶ σεμνοπρεπεστάτης. ὡς δὴ τοῦτο νομιζόμενον πᾶσι τοῖς συσσιτίοις τοῖς ἐπὶ ἁγιασμῷ τοῦ βίου συναγομένοις, ἀγνοίᾳ τε τῶν καλῶν μαθημάτων ἐναπομεῖναι, καὶ ταύτην τὴν εὐήθειαν στέρξαι, ἣν δὴ οὗτοι ἁπλότητα ἑταιρικὴν ἀποκαλοῦσιν. ἐγὼ δὲ βουλοίμην ἂν καὶ αὐτὸς τοὺς τῶν ἑταιρικῶν προεστῶτας, τοιούτους τῶν νέων προσεταιρίζειν μόνους, οἵους ἀγαπῶν τὰ νενομισμένα ἐν ταῖς ἑταιρείαις αἷς ἑαυτοὺς ἀνέθηκαν. οὐ μὴν δὲ καὶ οἵους ἀποστρέφεσθαι τὰ δόκιμα μαθήματα, καὶ τῶν χρονίων, ὥς φασιν, ὄζειν ἀεὶ προαιρουμένους. καὶ μὴν καὶ ἔγωγε ἂν ὑφ' ἡδονῆς ἂν εἱλόμην τῆς μεγίστης τοὺς τοιούτους προστατοῦντας τῶν ἑταιρειῶν, καὶ πάντας δέ τις ἀπαιδευσίαν σεβομένους ὑπὸ τοῦ ὀνόματος τῆς ὀρθοδόξου διδασκαλίας, ἐπ' ἐμοί ποτε γενέσθαι, ἵνα τῇ ἑαυτῶν σκαιότητι, ἴσως δὲ καὶ πονηρίᾳ ἀξίως τῶν τούτοις δεδογμένων ἐπεξιεῖν. τίς γὰρ οὐκ ἂν προθυμοῖτο τῶν γε φιλολογούντων, ὑμῖν μὲν καὶ ὀλίγοις τῆς ἐγκύκλου παιδείας θιασώταις ἐπαμύναι οὕτως ἠδικημένοις, τῇ δὲ

τῆς μουσῶν εὐδοξίᾳ τιμωρῆσαι ἀφανισθείσῃ ἂν τό γ' ἐπὶ τούτοις. ἡμεῖς τοίνυν ταύτης κινδυνευούσης ὑπεραποτεθνάναι οὐκ ἂν παραιτοίμεθα, ἐφ' ᾧ τε σωθῆναι αὐτὴν τοῖς περιγινομένοις. εἰ δὲ τοῖς τῶν λόγων ἀμοιροῦσιν ἐξέσται τὰ κατὰ μαθήματα βραβεῦσαί τε καὶ αὐθογνωμόνως διατάξαι, πῶς οὐ δεινὰ πεισόμεθα; πῶς οὐ τὸν οὐρανόν φασι τῇ γῇ ἀναμίξομεν; ἀλλὰ γὰρ αὖ τί ἂν πάθοις πρὸς τοὺς τοιούτους ἀνθρώπους, οἳ μήτε τὸ δίκαιον, μήτε τὸ ἐπιεικὲς ἴσασι, μήτε τὴν διαφορὰν διαισθάνονται τοῦ γνησίου καὶ τοῦ νόθου. καίτοι ἐπὶ πλέον γε τοῦτ' ἐπικρατεῖ τὸ κακὸν ἀνὰ τῶν ἀνθρώπων. πόσοι γὰρ μέρος τῶν πρωτευόντων οὐχ ὅτι τῶν ἰδιωτευόντων, ἔγνω ὅσον τῶν ἀνδρῶν οἱ δόκιμοι διήνεγκαν τῶν ἀσήμων; πολλοστὸν δήπου. ἣ καὶ μάλιστα δὴ εὐγνωμονῆσαι προσήκει τοῖς συνετοῖς τῶν σπουδαίων καὶ διανοητικοῖς, τήν τε τοῦ βίου ἀταξίαν, καὶ τοῦ κόσμου τὴν ἀκοσμίαν ἀθρεῦντας, ἄλλως τε ἐν τῷ παρόντι· πάντα γὰρ ὁρῶμεν ἄνω κάτω φασὶ κείμενα. ἀλλὰ γὰρ ἴσως οὐκ ἀπὸ τῆς ἀγνοίας μόνον καὶ τῆς ἀναισθησίας τῆς τῶν προεστηκότων ὥρμηται ἡ ἀδικία, ἣν ὑμεῖς ἠδίκησθε, ἀλλ' ἀπὸ φθόνου καὶ κακονοίας· ὃ δὴ τοσούτῳ μισητότερον ὅσῳ κακουργότερόν ἐστιν. οὐδεὶς γε μὴν φθόνος ἐξωλέστερος τοῦ τῶν τοιούτων σεμνοπρεπῶς μὲν ἐντυγχανόντων, ὑπούλως δὲ διακειμένων. ἀμέλει τῇ ὑπουλότητι τῆς αὐτῶν

muſarum ſplendoris gratia exigere vltionem exoleti quantum in iiſdem fuit. Nos igitur eodem periclitante mortem cum vita mutare haud vitaremus, vt ipſe incolumis maneat his qui ſuperſtites erunt. Si verò ingenuarum artium expertibus licebit politiorem humanitatem gubernare necnon libero animi arbitrio conſtituere, quo pacto nõ ægrè feremus? Quî minimè cælum (aiunt) cum terra miſcuerimus? At enim rurſus quid feceris cum talibus hominibus, qui neque iuſtũ, neque æquũ intelligunt, neq. diſcrimen percipiunt legitimi & adulterini? Quãquam latiùs quidem iſtud exuperat malum in rebus humanis. Quota enim pars primas obtinentium non modò rudium, dignouit quantum viri illuſtres & probati præſtant obſcuris? minima profectò. Quapropter etiam maximè certè conuenit è ſtudioſis ſolertes & ingenioſos animi æquitate vti, vitæque petulantiam, ac mundi ſordes ſcrutari, præſertim nunc: Cuncta enim cernimus ſurſum deorſum (aiũt) deiecta. Sed enim fortaſſis non ab inſcitia ſolùm ac ſtupiditate præfectorum prodiit iniuria quam vos iniquè paſſi eſtis, verùm ab inuidentia maleuolẽtiáque: quæ res ſanè tanto odioſior quãto fraudulentior eſt. Nulla porrò inuidia pernicioſior ea quæ eſt talium decenti grauitate quidem ſe obuios præbentium, ſubdolè verò affectorum: perfidia videlicet ſui ipſorum

ingenij integumẽtum fecerunt pietatis nomen omnia ad diuinitatis argumentum rapientis. Ac ſimplicitatem doctrinæ illi & nõ linguæ Græcæ cupiditatem diligere adſimulant, ac ſi ſola ipſa morem gerat & acquieſcat in maiorum recta iuſtáque ſententia, qui prius explanarunt piam religionem. Quaſi verò ſoli, ô dij, vetuſta cogitent ac ſimplicia, humiléſque ſint ac deo chari. Eadem vtique & talia ſapientiæ ſtudio indulgentes iſti, ſoli apparẽt permultis ipſi ſine fuco de rebus diuinis diſſerere, atque etiam moderatores eſſe ac procuratores veracis religionis necnon pietatis.

Quibus autem inter diſciplinæ auidos atque reipſa antiquitatem ſectantes, obtigit humanitatis rectæ compotes fieri, & literarum Græcarum participes eſſe, eoſdem ſanè non ſinunt ipſi haud ſecus atque deteſtandos quoſdam vel facinoroſos exiſtentes theologos reſponſa dare. Sed hac re quid quiſpiam dixerit abſurdius? Quinetiam aduerſus ea quæ de deo diſputata ſunt non ita pridem à Roterodamo, viro multiiuga doctrina prædito, & in ſacris ſcripturis induſtrio, quemadmodum quidem ſentiunt ſapientes, adeò ipſorum non pauci hoſtili ingenio ſe gerũt, de illo maledicere manifeſtè fas eſſe putãtes, vt quos inter ſtudioſos perceperint eiuſdem ſcripta lubenter legentes, à ſuis eoſdem collegiis querulosè inſurgendo indicta cauſa abduxerint, ac propemodum certè igne

γνώμης προκάλυμμα ἐποίησαν τῆς εὐλαβείας ὄνομα τῆς πάντ' ἐκθειαζούσης. καὶ τὸ ἁπλοϊκὸν δὲ τῆς παιδεύσεως οὗτοι καὶ μὴ φιλελληνικὸν ἀσπάζεσθαι προσποιοῦνται, ὡς μόνον αὐτὸ πειθαρχοῦν καὶ ἐμμένον τῇ τῶν προγόνων ὀρθοδοξίᾳ, τῶν τὴν εὐσεβῆ τελετὴν πρῶτον ἐξηγησαμένων. ὥσπερ μόνοις, ὦ θεοί, τοῖς τὰ ἀρχαϊκὰ φρονοῦσι καὶ εὐηθικά, φιλάπλοις ὄντας καὶ θεοφιλεῖς. ταῦτα μὲν δὴ καὶ τὰ τοιαῦτα φιλοσοφοῦντες οὗτοι, μόνοι δοκοῦσι τοῖς πολλοῖς αὐτοὶ ἀληθῶς θεολογεῖν, καὶ δὴ καὶ κηδεμόνες εἶναι καὶ ἐπίτροποι τῆς ἀληθινῆς θρησκείας τε καὶ εὐσεβείας. οἷς δὲ τῶν φιλομαθῶν τε καὶ ὡς ἀληθῶς φιλαρχαίων, ὑπῆρξε τῆς τε παιδείας τῆς ὀρθῆς τυχεῖν, καὶ τῶν λόγων μετασχεῖν τῶν ἑλληνικῶν, τούτους δὴ οὐκ ἐῶσιν οἱ αὐτοὶ ὥσπερ ἀεὶ ἐναγεῖς τινὰς ἢ ἀνοσίους ὄντας θεολόγους χρηματίζειν. τούτου δὲ τί ἄν τις εἴποι ἀγνωμονέστερον; καὶ μὴν καὶ πρὸς τὰ θεολογηθέντα ἔναγχος ὑπὸ τοῦ Ροτεροδάμου, ἀνδρός τε πολυμαθοῦς, καὶ περὶ τὰ ἱερὰ γράμματα συνετοῦ, ὥς γε δοξάζουσιν οἱ σοφοί, οὕτω φιλαπεχθημόνως αὐτῶν οὐκ ὀλίγοι διάκεινται, ὡς κακολογεῖν ἐκεῖνον διαῤῥήδην ὅσιον εἶναι νομίζοντες, ὥστε οὓς ἂν σπουδαίων αἴσθωνται τοῖς τούτου συγγράμμασιν ἡδέως ἐντυγχάνοντας, τῶν σφετέρων τούτους συνεδρίων καταβοῶντες ἀκρίτως ἀπεσόβησαν, καὶ μονονουχὶ δὴ πυρὸς

εἶρξαι καὶ ὕδατος παρῄχθησαν ὑπὸ τῆς ἐκπαθείας. ἧς δὴ περιπετείας αἰτίαν ἔχουσι μάλιστα μὲν οἱ τῶν ἑταιρειῶν τῶν μεταιτουσῶν θεολόγοι, οἱ δὲ τῆς ὑμετέρας πολλῷ μᾶλλον τῶν ἄλλων, ὡς φιλαπεχθημονεστέρως δῆθεν τοῖς αὐτοῦ βιβλίοις ἐπηρεάζοντες, καὶ τοῖς τῶν ἑλληνιζόντων. Ταύτην μὲν οὖν τὴν προαίρεσιν τῶν ἀνδρῶν, καθηγεμόνων εἶναι φασκόντων, τῶν τε ἱερῶν νομίμων καὶ τῆς τοῦ σωτῆρος ἡμῶν τελετῆς, πότερον εὐλαβεῖσθαι ἁγνὴν (ἀπείη δὲ τῷ λόγῳ μου ἀδράστεια) ἢ θεοβλαβεῖσθαι εἴπωμεν, εἰ τἀληθὲς ἐξετάζοιμεν. οὐ γὰρ ἂν διώκειν τὰ τοῦ πάντ' ἀρίστου σωτῆρος ἡμῶν χριστοῦ οἱ τοιοῦτοι δοκοῖεν, τῇ τε ἐμπαθείᾳ χαριζόμενοι τῇ αὐτῶν, καὶ τῇ ὀργῇ πέρα τοῦ δέοντος καὶ ἀναιτίου ἀπονέμοντες. ὁ Χριστὸς γοῦν τὴν πρὸς ἀλλήλους εὐμένειαν ὡς νόμον ἀπαραίτητον ἡμῖν εἰσηγήσατο. τούτου τοίνυν τῆς μισολογίας θιάσου χορεστάται μὲν οἶμαι καὶ ἔξαρχοι τυγχάνουσιν ὄντες οἱ ἑταιρειάρχαι, συνθιασῶται δὲ καὶ τῶν ἐν τῇδε τῇ διατριβῇ θεολογούντων ἔνιοι, ἄνω καὶ κάτω ποιεῖν τὰ κατὰ τὴν δόκιμον φιλολογίαν πολὺν ἤδη χρόνον προθυμούμενοί τε καὶ συνθέμενοι, ἀνάμιλλον δὴ ποιούμενοι τυγχάνουσι τουτὶ τοὐπιχείρημα πρὸς ἑαυτούς τε καὶ πρὸς τοὺς ὑμετέρους, μεταξύ τε δημηγοροῦντες, καὶ ὅπου ἂν τύχῃ αὐτῶν ἕκαστος οἷός τ' ὤν· διαβάλλουσι γὰρ τὰ τῶν ἑλ-

priuare & aqua adducti ſunt propter immodicam affectionem. Cuius certè petulantiæ infamiam habent præſertim ſodalitatum mendicantium theologi, qui verò veſtræ ſunt multò magis quàm alij, quippe qui odioſiùs videlicet ipſius voluminibus infeſti ſunt, & Græca exemplaria verſantiũ chartis. Hoc ſanè quidem virorum cõſilium & inſtitutum ſe præceptores eſſe profitentium, diuinarúmque legum ac ſacerdotij ſeruatoris noſtri, vtrùm pietatem incontaminatam: abſit autem à meo ſermone inuidia: an diuini numinis læſioné dixerimus, ſi veritaté exquiramus. Non enim tales viſi fuerint vt conſectentur omnia [iuſſa] optimi ſaluatoris noſtri Chriſti, ſuæ ipſorum ægræ affectioni obſequendo, ac indignationi vltra modum & inculpatè largiendo. Chriſtus igitur mutuæ dilectionis non ſecus atque legis inexcuſabilis nobis author fuit. Huius ergo choreæ odij literarij præſultores quidé (opinor) ac duces ſunt ſodalitatum moderatores. Conſortes porrò etiam in hac exercitatione diuina ſpeculantium quidam, conturbare probatum literarium ſtudiũ à multo iam tempore affectantes atque pacto tranſigentes, æmulationi obnoxium profectò faciunt iſtum conatum apud ſe ipſos necnon apud veſtrates Franciſcanos, & inter concionandum, & vbicunque contigerit, ipſorum vnuſquiſque vt poſſit. Adducunt enim in criminationé Græ-

corum literas, ingentíſque curioſitatis arguunt & ſceleris eos qui in eiſdem elaborant, nonnulli porrò recitantur(ô terra & cæli) eò ineptiarum proueniſſe atque amentiæ, vt Græcam linguam è noſtra regione exterminare enixi fuerint, vt pote tanquam ſuis numeris abſolutam habentes poteſtatem in omnes qui literis operam nauant & diſciplinis. Nec verò antea iſti retinuerunt efferatam temeritatem, quanquam reprimentibus ipſos ſapientioribus, priuſquàm & rete diſtendentes perciperent ſe infeſtos eſſe regi ac venuſtioribus inter eos qui ſunt cum dignitate & imperio. Talia quidem nos de eis nihil non audentibus nouimus, qui quidem etiam ſpectaculorum quorundam aliquoties oculati teſtes, & recitationum auditores fuimus. Sunt autem ex ipſis qui etiam me pupugerunt quemadmodum reſciui, principem eſſe aſſeuerantes nouæ mutationis linguæ, ac præfectum eorum qui hîc Græco furore correpti ſunt. Deum autem inuoco atque omnem adſtantem ipſi cœtum cæleſtem, eúmque deprecor, ne tanta facultas detur iſtis atque talibus laudandi ſtudij hoſtibus, vt literarum Græcarum excitationem, temporum noſtrorum decus, & ingenuæ doctrinæ propter eas reſtitutionem, è medio tollere denuò valeant. Sunt verò quidam eorum qui hîc appoſitè ſacrarum literarũ ſtudiũ tractarunt, minimè cùm his cõſentiẽtes, verùm in Græcorũ monimenta animo diſcẽdi percupido

λλήνων γράμματα, πολλήν τε περιεργίαν καταγινώσκουσι καὶ ἀσέβειαν τῶν ἀμφὶ ταῦτα ἐσπουδακότων. ἔνιοι δὲ λέγονται (ὦ γῆ καὶ οὐρανοί) ἐς τοῦτο προβεβηκέναι τῆς ἀβελτηρίας τε καὶ ἀπονοίας, ὥστε τὴν ἑλλάδα γλῶτταν ἐκ τῆς ἡμετέρας ὑπερορίζειν ἐπιχειρῆσαι, ὡς αὐτοκράτορες δῆθεν ὄντες πάντων τῶν περὶ λόγους καὶ μαθήματα. καὶ οὐ πρότερον δὲ οὗτοι ἐπέσχον τοῦ τολμήματος, καίτοι τῶν κωλυόντων αὐτοὺς τῶν σοφωτέρων, πρινὴ δίκτυόν τε φυσῶντες ᾔσθοντο, καὶ προσκεκρουκότες τοῖς τε περὶ τὸν βασιλέα, καὶ τοῖς χαριεστέροις τῶν ἐν τέλει. τοιαῦτα μὲν συνοίδαμεν τούτοις τετολμηκόσιν ἡμεῖς, οἵγε καὶ θεαμάτων τινῶν ἔστιν ὅτε αὐτόπται, καὶ τῶν ἀκροαμάτων αὐτήκοοι ἐγενόμεθα. εἰσὶ δ᾽ αὐτῶν καὶ ἐμοῦ καθήψαντο ὡς ἐπυθόμην, ἀρχηγὸν εἶναι φάσκοντες τοῦ νεωστὶ ξενισμοῦ, καὶ καθηγησαμένου τῶν ἐνταῦθα ἑλληνομανούντων. καλῶ δὲ τὸν θεόν τε καὶ πᾶν τὸ περιεστάμενον αὐτῷ σύστημα ἐπουράνιον. καὶ τούτῳ ἐπεύχομαι, μὴ τοσοῦτον ἐξεῖναι. τουτοισί τε καὶ τοιουτοισὶ τοῖς φιλοκαλίας ἐχθροῖς, ὥστε τὴν τῶν λόγων τῶν ἑλληνικῶν ἀνάστασιν, τὸ καθ᾽ ἡμᾶς χρόνων καλλώπισμα, καὶ τῆς γνησίας παιδείας διὰ τούτους ἀποκατάστασιν, ἀφαιρῆσαι πάλιν δύνασθαι. εἰσὶ μέντοι τινὲς τῶν ἐνταῦθα τῆς θεολογίας δεξιῶς ἁψαμένων, μὴ τουτοισὶ συμφωνοῦντες, ἀλλὰ περὶ τὰ τῶν γραικῶν φιλομαθῶς

ἔχοντες. καὶ καλῶς δὴ, ὥς γ' ἤ τις, προχωρήσοι μέντοι ἡ περὶ τὴν θεολογίαν φιλοσοφία, τῶν γε τοιούτων ἀρωγῶν Ῥοτερωδάμῳ προστιθεμένων. ὅπερ οὖν εὖ οἶδ' ὅτι ἡδέως ἂν σὺ καταμάθοις. ἐλθών τε ἐνταῦθα ὑπεργεγηθὼς ἴσθις, ὅγε πολλὰ νῦν καὶ δεινὰ πεπονθὼς ὑπὲρ τοῦ τῶν ἑλληνικῶν ἔρωτος. καί τοι καὶ ἡμεῖς γε ἀκηκόαμεν ἄρτι ὡς ἔχει σοι τὰ περὶ τὴν ἐπήρειαν τὴν τούτων. καὶ συνήσθημέν σοι δήπου οὐ κακῶς ταύτης, ὡς λόγος, οὐδ' ἀκλεῶς σὺν θεῷ ἀπαλλάξαντι. καὶ δὴ καὶ τοῦτο προσαπολαύσαντι τῆς ἀβελτηρίας τῶν ἀνθρώπων, ὥστε καὶ ἥδιον ἤδη καὶ εὐχερέστερον πράττεις, ὡς ἐπυθόμην, ἢ πρότερον, προσέτι δὲ τούτοις καὶ εὐρωστότερον. ἤκουσα γὰρ τῶν λεγόντων ὡς τέως μὲν ἀσθενέστερον διετέθεις ὑπὸ τῆς κακοπαθείας, νῦν δὲ ῥάων γέγονας. ἀλλ' ἔρρωσο σώματι μὲν, ὦ φίλη μοι κεφαλὴ, τῇ ψυχῇ δὲ ἐπέρρωσο. καί σε παραμυθείσθω ἡ περιττή σου παίδευσις καὶ συγγενὴς εὐγνωμοσύνη. οἶσθα γὰρ τὸν σωτῆρα τὸν καρτερίας τῆς εὐλαβοῦς ἀρχηγὸν, ὡς τὸν μέγαν μισθὸν ἐπηγγείλατο τοῖς τῆδε συγκακοπαθήσασιν αὐτῷ καὶ τεταλαιπωρημένοις. καὶ μὴν εὐδαιμονίζομέν σε ἡμεῖς τῆς τοῦ βίου προαιρέσεως, εἰ καὶ ἐνθένδε φέρων σαυτὸν καθιέρωσας τῇ ἑταιρείᾳ, οὐ πρότερον ἡμᾶς προσειπὼν, ὃ δή σοι ἠχθέσθην εὐθὺς ἀκούσας.

affecti: atque egregiè ſanè, vt ſpes eſt, progreſſura eſt circa theologiam philoſophia, talibus quidem vindicibus aſſertoribúſque Roterodamo adſtipulantibus. Quod ergo ſat compertum habeo alacriter tu cognoueris. Et vbi acceſſeris hûc periucundus videaris, qui quidem multa nunc & atrocia paſſus ſis gratia amoris Græcarum lirerarum. Sed & nos quidem nuper accepimus quemadmodum circa te ſeſe habet eorum vexatio: & congratulati ſumus tibi profectò, non malè ab iſta, vt hominum eſt opinio, nec ingloriè diuino auxiliò cùm diſceſſeris. Atque etiam cùm iſtud fructuosè perceperis ex hominum dementia, ita vt ſuauiùs iam & commodiùs elabores, ſicuti comperij, quàm elapſo tempore, inſuper verò addatur his etiã validiùs. Audiui enim à narrantibus quemadmodum paulò antè quidem languidiùs diſpoſitus fueris præ vexatione & anguſtia: nunc autem validior effectus ſis. Sed valeto corpore quidẽ, ô dilectũ mihi caput. Aſt animo iterum atque iterum valeas, Ac te conſoletur ſingularis tua doctrina & congenita æquanimitas. Siquidem noſti ſeruatorem religioſæ conſtantiæ præſulem, quòd ingens præmiũ pollicitus eſt eis qui hîc cum ipſo affli-ctantur vexantúr que. Quinetiam nos te fortunatum exiſtimamus vitæ inſtituti gratia, quamuis hinc te ipſum dedicaueris huic ſodalitio, haud priùs nos conueniens, quod certè audiens ſtatim tibi ſuccenſui.

Etenim veſtra vita, vt quidem ſunt res humanæ, pacifica ſecuritate necnon diſciplina ſcatet, cum noſtra quidem ſi conferatur. Nos itaque ſimiles ſumus his qui multiplicibus tumultibus ac perturbationibus ſunt inuoluti, ſemper quidem ſtudioſè inquirentes, nihil autem abſoluentes, ac nullum noſtrûm penè fatalis neceſſitas non præuenit opprimere, priuſquàm eorum quæ conducunt ad migrationem ſarcinas compoſuerit. Vale, & ſalutato meo nomine quater Rabalæſum ſcitum & induſtrium vel ſermone ſi præſtò ſit, aut per epiſtolas denuncians. Lutetiæ Pariſiorum Februarij mẽſis deſinẽtis ſexto die.

καὶ γὰρ δὴ ὁ ὑμέτερος βίος, ὥς γε τὰ τῶν ἀνθρώπων, εὐθυμίας τε καὶ εὐταξίας γέμει, πρός γε τὸν ἡμέτερον παρεξεταζόμενος. ἡμεῖς γοῦν ἐοίκαμεν τοῖς παντοδαπαῖς ἀκαταστασίαις καὶ ταραχαῖς ἐνειλουμένοις, ἀεὶ μὲν πολυπραγμονοῦντες, οὐδὲν δὲ περαίνοντες, καὶ οὐκ ἔσθ᾽ ὅντινα ἡμῶν σχεδὸν τὸ χρεὼν οὐ φθάνει καταλαμβάνον, πρὶν δὴ τὰ πρὸς μετανάστασιν τύχῃ συνεσκευασμένος. ἔρρωσο, καὶ πρόσειπέ μοι τετράκις Ραβάλαισον τὸν σοφὸν καὶ εὐφυῆ ἢ λόγῳ παρόντα, ἢ δι᾽ ἐπιστολῶν προσαγορεύων. ἐν Παρησίοις φεβρουαρίου μηνὸς ἕκτῃ φθίνοντος.

GVLIELMVS BVDÆVS FRANCISCO rabalæſo ſodali Franciſcali S.

COmmodùm ex aula decedens in vrbem reuerteram, cùm literas tuas accepi: quas qui mihi reddiderit, non facilè meminerim, tametſi ita tu eas dediſſe videris quaſi à Tiraquelli tui fratre reddendas, viri exiſtimatione eximia prædìti. Cuius ipſe cauſa libens mihi negocium exibuiſſem, ſi res ita nata eſſet, meam vt ante deceſſionem is in aulam veniſſet. ídque non magis commendationis tuæ gratia facerem, etſi tua cauſa omnia cupio, quàm hominis merito, mihi fama tantùm cogniti, ac de literis bene meriti. Verùm vt ad ea quæ Græcè tu ſcripſiſti reſpõdeam, accipe quæ ſcribere nunc vacauit.

Tu quidem, ô ſtrenuum caput, hoc anno multa atque varia themata ſcribendi gratia ſumpſiſſe, aſſeuẽrans ea cõditione vt nos literis certiores faceres, me improbare apparuiſti quod nullam hactenus epi-

Σὺ μὲν, ὦ χρηστὴ κεφαλὴ, τόδε τοὐνιαυτοῦ πολλάς τε καὶ ποικίλας ὑποθέσεις ὑποθέσθαι φάσκων ἐφ᾽ ᾧ ἡμῖν ἐπιστεῖλαι, θαυμάζειν μου ἔδοξας οὐδεμίαν πω ἐπι-

ϛολὴν ταῖς πολλαῖς σου ἀντεπιθέντος. οὐ μὴν καταγνῶναί γε ἔφθακας μηδεμίαν ἐμοῦ ἐπὶ τούτῳ ἀγνωμοσύνην. καλῶς δὲ ποιῶν σύγ' εὖ εἰδέναι φής, αἰτίαν μὲν οὐκ ἐμὴν εἶναι ταύτην, οὐδὲ δὴ ἐγκαλεῖν ὅτι μοι ἀμέλειαν ἔοικας, οὐδ' ὅλως ἀχθόμενος. εἶναι μέντοι τὴν διακομιζόντων τὰς ἐπιστολὰς αἰτίαν, τὴν ἀπόδοσιν ὑπισχνουμένων, εἶτ' ἀμελησάντων τοῦ τὴν ὑποσχέσεων ἀπαλλάττεσθαι. ἔσθ' ὅτε δὲ ἔφης, καὶ καθ' οἵαν δὴ ἔτυχεν αἰτίαν τὰ ἐπιτεθέντα γράμματα μετέπεσον. ταῦτα μὲν οὖν σχεδὸν εὐγνωμόνως τε καὶ φιλοπρεπῶς αὐτὸς εἰκάσαι δοκῶν, οὐκ οἶδ' ὅπως τελευταῖον τουδέ τι προσενέγραψας, ὅτι σὺ μὲν, ἔφης, οὔπω τοῖς γράμμασι τοῖς ἐμοῖς ἀποκριθεὶς, ἀποκρινῇ, ὡς οἶμαι, ὅταν σοι βουλομένῳ ᾖ. ὡς ἐμὲ δῆθεν ὀλιγώρως ἔχοντα μᾶλλον, ἢ μὴ τὰ γράμματα τὰ σὰ κομισάμενον. μὴ δῆτα, μὴ πρὸς τοῦ φιλίου Διὸς, ὦ 'γαθὲ, ὑποπτικῶς διάκεισο ὥσπερεὶ ἀμελούμενος. μηδ' ὑπονόησον μηδὲν ἀπεοικὸς τῶν ἡμετέρων ἠθῶν. ἔγωγε οὐκ ἔξαρνος ἔσομαι μηδὲν αὐτὸς ἀπολαβεῖν τῶν παρὰ σοῦ γραμμάτων, οὐδὲ προφάσεις σεμνολόγους προφασιοῦμαι. μίαν μέντοι φημὶ ἐπιστολὴν δώδεκά που μηνῶν κεκομίσθαι, τῶν πολλῶν ὑπὸ σου ὡς εἶπες ἐπισταλεισῶν. μιᾶς δὲ [illegible] ἢ μὴ οὐ μεμνῆσθαί γε λα-

ſtolam cõpluribus tuis ex aduerſo ad te dederim: haud tamen reprehendere quidem occupaſti vllam in me propter id inſolentiam. Decenter verò agens tu quidem rectè ſcire ais, culpam quidem non meã eſſe hanc, nec profectò criminosè obiicere mihi negligétiam viſus es, nec penitus à me offendi. Eſſe quidem eorum qui perferunt literas vitium, reddituros ſe eſſe ſpondentium, interim aſpernantium pollicitis liberari. interdum verò aiebas, etiam quauis ſanè de cauſa redditæ literæ interciderunt. Iſta ſanè quidem propemodum feſtiuo animo atque iuxta decoram beneuolentiam ipſe ſuſpicari cùm cenſearis, haud compertum habeo quo pacto tandem quidpiam tale præterea ſcriptis addidiſti, quod tu quidé, aiebas, necdũ literis meis reſpõdens, reſpõdebis, vt coniicio, cũ tibi placuerit: Quaſi verò incurioſè magis ſim animatus, quàm ſi literas tuas minimè recepiſſem. Dij prohibeant, nõ per Iouem amicitiæ præſidem, ô vir bone, animo ſuſpecto inimicóque affectum te geras veluti pro derelicto habearis. Neq. ſuſpectum habeas quidpiam diſſimile & abhorrens à moribus meis. Equidem ipſe nõ ibo inficias nonnihil literarum recepiſſe à te, neque tergiuerſationes oſtétationem præ ſe ferentes in excuſationem ſum allaturus. vnicam certè fateor epiſtolam à duodecim fermè menſibus recepiſſe, compluribus à te ſicuti dixiſti miſſis. Plures verò vna nego, vel non meminiſſe quidem me ac-

cepiſſe arbitror. Huic vtique minimè reſpondi, forſitã cùm è memoria effluxiſſet, alioqui epiſtolæ materia reſponſum non admodum exigente. Si ſanè alicubi ex aduerſo reſpondere mihi in animum incidiſſet, quanquam aſſiduis occupationibus interim inuolutus eſſem, quo pacto habuiſſem tabellarium per quem reſcripſiſſem: qui quidem ignorabam vbi tunc habitabas, ſicuti etiam paulo antè ſcribere affectans, haud mihi integrũ fuit cognoſcere in quo tandem ſodalitio veſtro inculpatus Amicus conuerſetur, fideliter exploratus tuus Pirithous atque Pylades pro animi mei ſententia. Cui amicorũ vinculo ipſe pari conſenſu affectus aſſiduè fui: propterea quòd moleſtia affici præueniſtis à ſodalitatis primoribus, ac ſubmoueri à Græcorum voluminum lectione. vſquedum accepi à quodam elegantiorum ipſius ſodalitij, & honeſtatis obſeruatorum, vobíſque redditas fuiſſe delicias noſtras, libros inquam quos iſti ſuo arbitrio à vobis ſubduxerant: vóſque reſtitutos eſſe in priorem libertatem ac tranquillitatem. Iſtud ergo cùm intellexiſſemus à viro iureiurando confirmante; quo modo cenſes nos gaudio perfuſos fuiſſe? Neque enin dicere poſſem. Quî enim non immodicè lætaremur? Qui quidem vos habere condiſcipulos cenſemur in ludo literario muſarum & officina Mineruæ, & vnà laborioſè excolentes ſanè hanc ingenij & mentis

θῶν φημι. ταύτῃ γε μὴν οὐκ ἀπεκρίθην, τάχα που ἀμνημονήσας, ἄλλως τε τῆς ὑποθέσεως τῆς ἐπιστολῆς ἀπόκριμα, οὐκ ἄγαν ἀπαιτούσης. εἰ μέντοι που ἀντιγράψαι μοι ἐπῆλθε, καίπερ πολλαῖς ἀσχολίαις ἐν τῷ διαμέσου ἐνειλινδουμένῳ, πῶς ἂν εἶχον γραμματηφόρον δι' ὅτου ἀντιγράψαιμι, ὅς γε ἠγνόουν ὅπου σὺ τότε κατῴκεις, ὥσπερ καὶ ἀρτίως γράφειν προθυμούμενος, οὐκ ἠδυνήθην καταμαθεῖν ἐν τίνι ποτὲ τῶν ἑταιρειῶν ὑμῶν ὁ καλοκαγαθὸς Ἀμῖκος συνδιαιτῷτο, ὁ πιστός σου Πειρίθους τε καὶ Πυλάδης κατὰ τὴν γνώμην ἐμήν. ᾧ τινὶ τῶν φίλων ζεύγει αὐτὸς συμπεπονθότως ἔχων διετέλεσα, ἐφ' οἷς ἐνοχλῆσθαι ἔφθητε ὑπὸ τῶν κορυφαίων τῆς ἑταιρείας, καὶ εἴργεσθαι τῆς τῶν ἑλληνικῶν συνταγμάτων ἀναγνώσεως. ἄχρις οὗ ἤκουσά τινος τῶν χαριεστέρων τῆς αὐτῆς ἑταιρείας, καὶ τῶν φιλοκαλούντων, σφῶν τ' ἀποδεδόσθαι τὰ παιδικὰ τὰ ἡμέτερα, τὰ βιβλία λέγω ἅπερ οὗτοι αὐτεξουσίως σφῶν ἀφῄρηντο, ὑμᾶς τε ἀποκατασταθέντας εἰς τὴν ἔμπροσθεν ἄδειαν καὶ ἡσυχίαν. τοῦτο τοίνυν ἀκηκοότες ἀνδρὸς πιστωσαμένου, πῶς δοκεῖς εὐφρανθῆναι; οὐ δυναίμην εἰπεῖν ἔχοιμ' ἄν. πῶς γὰρ οὐκ ἂν ὑπερμέτρως; οἵ γε ὑμᾶς ἔχειν συμφοιτητὰς δοκοῦμεν εἰς διδασκαλεῖον τῶν μουσῶν καὶ ἐργαστήριον τῆς Ἀθηνᾶς, καὶ συμφιλοπονοῦντες δὴ τὴν τῆς γνώμης καὶ τῆς διανοίας ἐξεργασίαν,

ἐξεργασίαν, ἐφ' ἧ δὴ πλεῖστον φιλοτιμούμενοι τὸν περὶ ὃν βίον πάντων διατελοῦμεν. ἴσμεν δὲ τοῦτο διὰ πολλῆς σπουδῆς ἐγκεχειρηκέναι τουτουσὶ τοὺς μισέλληνας θεολόγους, ὅπως τὴν ἑλλάδα γλῶτταν ἀφανίσωσιν, ὡς τῆς ἀνεπιστημοσύνης δῆθεν τῆς αὐτῶν βάσανόν τε καὶ ἔλεγχον, καὶ διὰ τοῦτο τοὺς ματαιοτάτους ἐκείνων ὁρῶμεν παρὰ ταῖς ἐν ἱεροῖς δημηγορίαις, οἱονεὶ ἀπὸ συνθήματος ταύτην τε λοιδορουμένους, καὶ ἐξ ἅπαντος τρόπου εἰς ὑποψίαν παρὰ τοῖς πολλοῖς καταστήσαντας, ὡς ἐξάγιστον μάθημα, καὶ τῆς ἀληθινῆς θεολογίας ἀλιτήριον. καὶ μὴν τοῦτο ποιοῦντες οἱ ἄνθρωποι, κατάδηλοι μέν εἰσι τοῖς πλείστοις καὶ τῶν ἀμαθῶν οὐχ ὅτι τῶν ἐμπείρων, βασκαίνοντες τῇ τῶν εὐφυεστέρων φιλομαθείᾳ. ἐπαμύναι μέντοι αὐτοὶ πλημμεληθείσῃ εὐσεβείᾳ ἀξιοῦσιν ὑπειλῆφθαι. τοῦτο τοίνυν τὸ τούτων σύγκρότημα οὕτω κακόηθες, καὶ τῇδε τῇ πόλει συκοφάντημα ἐπιπολάσαν, παρ' οὐδὲν ἦλθε τὰ τῆς δοκίμου καὶ καλῆς παιδείας λυμήνασθαι, καὶ παντελῶς δὴ καὶ ἐξαλεῖψαι τὸ τῶν μουσῶν καλλώπισμα, ᾧ τινὶ ἡ ἔγκυκλος παιδεία ἀγάλλεται, καὶ δι' ὃν ὁ λόγιος αὐτὸς ὁ ψυχαγωγὸς μέγιστον φρονεῖ ἐφ' ἑαυτῷ. καὶ γάρ τοι ἔνιοι τῶν περὶ τὴν ἱερολογίαν, ἀμουσοτέρως ἔχοντες, ἀφορμήν τινα ἐσχάτης εὑράμενοι συκοφαντίας μεστήν, τοῖς περὶ τὰ τῶν ἑλλήνων σπουδά-

perfectionem, ob quam profectò plurimùm ambitioſè contendere perſeueramus inter omnes mortales. Iſtud porrò nouimus hoſce theologos Græcorum oſores plurimum ſtudij ac diligentiæ impendiſſe, vt linguam Græcam obliterent, non ſecus atque imperitiæ videlicet ipſorum examẽ atque probationem, & propter id vaniſſimos illorum cernimus in templorum concionibus, veluti ex compoſito & hanc probris onerantes, & omnibus modis in ſuſpicionem apud multos redigentes, tanquam execrandam diſciplinam ac legitimæ theologiæ perniciem. Quinetiam iſtud facientes homines, manifeſti quidem ſunt quamplurimis etiam literarum rudibus & impolitis nõ modò doctis, inuidioſè vexare ingenioſiorum diſcendi deſiderium. ſubueniſſe certè ipſi deſertæ religioni ſibi vendicãt exiſtimari. Hæc itaq. eorum adornata conſpiratio vſqueadeò moroſa difficiliſque, & in hanc ciuitatem calumnia ferociens, propemodum eò venit vt doctrinam probatam & egregiam labefactaret, & funditùs ſanè etiam extingueret muſarum ornamentũ, quo quidem & orbicularis ſcientia gloriatur, & propter quod Mercurius ipſe animorũ motor maximè eſt arrogans apud ſe. Etenim quidam eorum qui verſantur circa ſacratiorem philoſophiam inelegãtiores ſeſe præbentes, opportunitatem quandam nuper aſſecuti calumniæ refertã, eos qui in literis Græcis ſtudium & operam collo-

carunt, inuaſerunt, plurimùm quidem opprobrio laceſſere & elegantem eruditionem præoccupantes & venuſtatem elocutionis, improbi improbè perituri. Calumniæ porrò huius integumẽtum atque occaſionem iſti inueſtigarunt nõ triuialem. Ex quo enim eorum qui nunc luterizare dicuntur rumore diſſeminata quidem ſunt permulta ac varia placita, & his quæ à priſcis interpretibus mãdata ac decreta fuerunt repugnantia, & ea quæ à prolixo tempore in eccleſia inſtituta vſúque recepta ſunt palam deſtruentia, quidam è noſtris, etiam apprehendiſſe innouationem hanc accuſabantur: tum ſanè Græcæ elocutioni infeſti, ſuſcipiendo rem inuidioſam, & Græcæ eruditioni incumbẽtes clamore proſcindendo veluti quidpiam noui tentantes circa rectæ opinionis euerſionem, propemodum eò venerunt vt in literis Græcis ſtudioſè verſantes tanquam hæreticos ſolum vertere impellerent. nam ſe malè gerebant, falsò deferentes ſimul quidem & literarum Græcarum doctrinam vſitatam eſſe nobis cœpiſſe, & luteriſtarum dogmata pernicioſè obrepſiſſe. Talem opportunitatem aſſecuti homines ad dicendum quidem artificioſè inualidi, idonei tamen ad effingendã honeſtæ probitatis laruam, populi quidem ſimplicitatem & inſcitiam minimo negotio hiſtrionica actione attraxerunt demulcerúntque: in religionis ſanè gradu ponentes ludibrio afficere doctrinæ præſtan-

σασιν ἐπεφύησαν, πολλά γε ἐφυβρίσαντες τήν τε καλλιλογίαν προλαβόντες καὶ τὸ χάριεν τῆς φράσεως, κακοὶ κακῶς ἀπολούμενοι. τῆς δὲ συκοφαντίας ταύτης προκάλυμμά τι καὶ ἀφορμὴν οὗτοι εὕρηνται οὐ τὰ τυχόντα. ἐξ ὅτου γὰρ τῶν λουτηρίζειν νῦν λεγομένων διά τι θρύλληται μὲν πολλὰ καὶ ποικίλα δόγματα, τοῖς δ' ὑπὸ τῶν παλαιῶν ἐξηγητῶν δεδογμένοις ἐναντία, καὶ τὰ πολλοῦ χρόνου ἐν τῇ ἐκκλησίᾳ νενομισμένα διαρρήδην ἀνασκευάζοντα, ἔνιοι δὲ τῶν παρ' ἡμῖν, καὶ ἅψασθαι τοῦ νεωτερισμοῦ τούτου αἰτίαν ἔσχον. τότε δὴ οἱ τῷ ἑλληνισμῷ ἀπεχθόμενοι, ἀντιλαβόμενοι πράγματος ἐπιφθόνου, καὶ τῶν ἑλληνιζόντων καταβοῶντες ὡς νεωτεριζόντων περὶ τῆς ὀρθοδοξίας διαστροφῆς, παρ' ὀλίγον ἦλθον τοὺς περὶ τὰ ἑλληνικὰ σπουδάζοντας ὡς αἱρετικῶς ἔχοντας φυγαδεύειν. δεινὸν γὰρ ἐποιοῦντο, συκοφαντοῦντες ἅμα μὲν τήν τε τῶν ἑλληνικῶν γραμμάτων διδασκαλίαν ἐπιχωριάζειν ἡμῖν ἄρξασθαι, καὶ τὰ τῶν λουτηριστῶν δόγματα παρεισφθαρῆναι. τοιαύτης που ἀφορμῆς τυχόντες ἄνθρωποι λέγειν μὲν ἐντέχνως ἀδύνατοι, δεινοὶ μέντοι ἀπεικονίζειν τὸ τῆς καλοκαγαθίας πρόσωπον, τὸ ἀφελές τε τοῦ δήμου καὶ ἀπαίδευτον ῥᾳδίως καθυπεκρίναντο. ἐν εὐσεβείας δὴ τάξει τιθέμενοι τὸ προπηλακίζειν τῆς παιδείας τὸ κάλλι-

τον καὶ σεμνότατον. ἡμεῖς δὲ τοῦθ᾽ ὁρῶντες, πῶς δοκεῖς τοὺς ὀδόντας ἐνεπρίομεν, καὶ μετ᾽ ὀργῆς δεινοτάτης ἐστενάζομεν; τίς γὰρ οὐκ ἂν χαλεπήνειε κεκρατημένην μὲν ἰδὼν τὴν παιδείαν ὑπὸ τῆς ἀμαθίας, τὴν δεινότητα δὲ τῶν λόγων ὑπὸ τῆς ὑποκρίσεως πομπευομένην τ᾽ ἀτίμως καὶ παραδειγματιζομένην; ἀρχὴ δὲ τῆς ἄγαν ἀγανακτήσεως αὐτῶν ἔφυ ἐκ τῶν παραπεφρασμένων ὑπὸ Ἐράσμου Ροτεροδάμου, ἐπεὶ ἅπαντας σχεδὸν ἑώρων τούτοις ἀρεσκομένους. ἀμαυρῶσαι γὰρ τὴν τούτων εὐδοκίμησιν ἐπιθυμοῦντες, ὑπερεῖσαι τὸ τῆς ἑλλάδος γλώττης ὄνομα, ὡς ἰλιάδα τινὰ ἀσεβημάτων, εἰς νοῦν ἐνεβάλοντο. καὶ μὲν δὴ καὶ ἐπὶ τούτῳ τῷ καλῷ ἐγχειρήματι οἱ φιλαπεχθημόνως ἔχοντες συνέδριον συναγαγόντες, ὡς λόγος, καὶ καθίσαντος ἅπαντος τοῦ τῇδε θεολογικοῦ, ὡς οὐδὲν οὗτοι κατὰ τὸ ἔργον τοῦτον ἐπέραινον (οἱ βέλτιστοι γὰρ ἐκείνων, καὶ ὡς ἀληθῶς θεολογοῦντες, τῷ πράγματι ἀπηρέσκοντο, καὶ πολλοὶ ἤδη αὐτῶν τῆς δοκίμης φιλομαθείας ἥψαντο) διημιλλῶντο αὖ τοὐντεῦθεν παρὰ ταῖς ἐκκλησίαις διὰ κακολογίας ἄγειν τὴν προειρημένην γλῶτταν ὡς ἀσεβείας γέμουσαν. ἄχρι δὴ ὑπὸ τῆς ἄγαν ὁρμῆς ἐκπαθῶς τ᾽ ἐκφερόμενοι καὶ ἄγαν ἀκοσμοῦντες, εἰς ὑποψίαν ἧκον, πρῶτον μὲν παρὰ τοῖς οὐκ ἀσυνετωτάτοις τῶν ἐν ἀρχαῖς καὶ ἀξιώσεσιν. εἶτα δὲ

tiam & grauitatem. Nos verò iſtud intuentes, quo modo cenſes dentibus frendebamus & cum ira vehementiſſima ingemiſcebamus? Quis & enim minimè ſuccenſeret ſuperatam quidem videns eruditionem ab imperitia, grauitatem porrò literarum ab hypocriſi conuiciis ac maledictis laceſſitam & ignominioſè vituperatã? Primordium autem immodicæ ſtomachationis ipſorum ortum eſt ex his quæ ab Eraſmo Roterodamo copioſiùs ac dilucidiùs ſunt explicata, quandoquidẽ omnes propemodũ aſpiciebant in his acquieſcentes. labefactare enim eorum ſplendorem cõcupiſcentes, extenuaréque Græcæ linguæ nomen, tanquam Iliada quandam impietatum, in animum ſuum induxerunt. Et verò propter hunc egregium conatum qui ſunt animo hoſtili & odioſo conſilium congregantes, vt fama eſt, etiam conſidente vniuerſo hîc agmine theologico, quàm nihil iſti hunc in modum effecerunt. Nam illorum optimi, & reuera ſacratioribus literis vacantes, factum aſpernabantur, ac multi iam ex ipſis probatum ac laudabile diſcendi deſiderium capeſſerunt. Rurſus decertabant iam inde in eccleſiis maledictis onerare prædictam linguam velut impietatis refertã. Donec præ immodica libidine nimióque affectu elati, & immoderatè ſe inuenuſtos præbentes, in ſuſpicionem venerunt, primùm quidem apud prudentiſſimos eorũ qui ſunt cùm imperio ac dignitate. deinceps autem

à multis in ipſo furto, aiunt, deprehenſi ſunt, ſimultatis & maleuolentiæ cauſa magis & petulantiæ iſtud facientes, quàm deſiderio quodam inſigni ea quæ ad rectam iuſtámque opinioné ſpectant obſeruantes. Atqui valeant quidem iſti ab eximio elegantíque ſtudio ſemoti, atque integræ eruditionis expertes. Quorum ego ruditatem necnon abſurditatem ſtilo perſequens, ego ipſe imprudens verboſa oratione vſus ſum. Tu porrò ſi res meas optimè compertas haberes quàm grauiter & acerbè conſtitutæ ſunt, non à me epiſtolas ſtatis atque præſcriptis diebus expectares. Nam ſuperiori tempore oblectabar ego ſcribens & dans literas ad tui ſimiles. Nunc verò aliis negotiis occupatus, in obliuionem coniectus ſum mei atque eorum quæ ſpectant ad literarium ſtudium. Vale, in noſtra ciuitate ante ſextum calendarum Februarij.

καὶ παρὰ τοῖς πολλοῖς ἐπαυτοφώρῳ φασὶν ἑαλώκασι πρὸς ἔχθραν μᾶλλον καὶ ἐπήρειαν τοῦτο ποιοῦντες, ἢ ζήλῳ τινὶ καλῷ τῶν τῆς ὀρθοδοξίας θεραπεύοντες. ἀλλὰ μὴν ἐρρώσθων μὲν οὗτοι οἱ τῆς φιλοκαλίας ἀπόσοφοι, καὶ τῆς ὀρθῆς παιδεύσεως ἀμοιρήσαντες. ὧνπερ ἐγὼ τῇ σκαιότητί τε καὶ ἀτοπίᾳ ἐπεξιὼν, ἐμαυτὸν μακρολογήσας ἔλαθον. σὺ μέντοι εἰ τὰ ἐμὰ εὖ μάλα ἐγνωκὼς ἦς, ὡς δυσχερῶς διάκειται, οὐκ ἂν παρ' ἐμοῦ ἐπιστολὰς ἀποτεταγμέναις τε καὶ ῥηταῖς ἡμέραις προσεδόκας. ἐν γὰρ τῷ ἔμπροσθεν ἥδόμην ἐγὼ γράφων καὶ ἐπιστέλλων τοῖς ὁμοίοις σου. νῦν δὲ περὶ τἄλλα περισπώμενος, εἰς ἀμνηστίαν καθέστηκα ἐμοῦ τε καὶ τῶν κατὰ τὴν φιλολογίαν. ἔρρωσο, ἐν ἡμετέρᾳ πόλει τῇ πρὸ ἓξ καλενδῶν φεβρουαρίων.

IANVS LASCARIS GVLIELMO BVDAEO BENE AGERE.

AD te perferens haſce literas iuuenis, Gallus eſt veſter. ipſũ opinor noſti, cùm te ſalutarit per epiſtolam à Florentia. Is commoratus eſt ab ætate iuuenili Romę Florentiæque & apud me, & qui euaſit peritus proprietatis linguarum quibus Græci vtuntur & Itali, & facundi videlicet, & vulgares, regreditur ad vos velut mercator quiſpiam ex peregrinatione, politiorũ quidem diſciplinarum & virtutis

ΙΑΝΟΣ Ο ΛΑΣΚΑΡΙΣ ΓΟΥΛΙΕΛΜῼ τῷ Βουδαίῳ εὖ πράττειν.

Ὁ κομίζων σοι ταυτὶ τὰ γράμματα νεανίσκος, κέλτης ἐστὶν ὑμέτερος. ἔγνως αὐτὸν εἰ μὴ, προσειπόντα σε δι' ἐπιστολῆς ἀπὸ Φλωρεντίας. οὗτος διατρίψας ἐκ νεαρᾶς ἡλικίας ἐν Ῥώμῃ καὶ Φλωρεντίᾳ καὶ παρ' ἐμοὶ, καὶ γενόμενος ἐντελὴς τῶν διαλέκτων αἷς ἕλληνες χρῶνται καὶ Ἰταλοὶ, εἴτε λόγιοι δηλαδὴ, καὶ οἱ χυδαῖοι, ἐπανήκει ὡς ὑμᾶς οἷα ἔμπορός τις ἐξ ἀποδημίας, λόγων μέντοι καὶ ἀρετῆς

σὺν κέρδει τιμαλφεστάτῳ ἀναστρέφων οἴκαδε. σὺ δ᾽ αὐτὸν δῆλοι ὡς καὶ κατὰ τὸ σεαυτοῦ ἔθος, καὶ ὑμεδαπὸν ὄντα, καὶ λόγιον, καὶ εὐφυῆ, καὶ τοῦ σοῦ Λασκάρεως ἑταῖρον ἀποδέξῃ προθύμως καὶ εὐμενῶς. εἰ δὴ ἦν καὶ διὰ φροντίδος τῷ βασιλεῖ, ὡς ἐδόκει μοι παρόντι, μετασχεῖν οἱ τοὺς υἱοὺς παιδείας ἑλληνικῆς, συμπράξεις αὐτῷ, καὶ οὐδὲν ἧττον οἶμαι, ἢ τῷ χρηστῷ καὶ σοφῷ Γενουίτῃ, εἴπως ἕλοισθε καὶ τοῦτον καθηγητὴν τῆς ἑλληνικῆς φωνῆς, τοῖς βασιλέως παισὶν, ἐπιτηδειότατον ὄντα, ὡς καὶ αὐτῷ σοὶ ῥᾷστ᾽ ἂν γένοιτο πρόδηλον λαβόντι πεῖραν αὐτοῦ. καὶ τοῦτο μὲν τοιοῦτο. περὶ ἐμοῦ δ᾽ οὐδέν σοι, μὴ καὶ γράφων ἀνοικειότητα κατηγορεῖν δόξω τοῦ ἑταίρου, ἢ ὡς οὐκ εἰδότος τὰ κατ᾽ ἐμὲ, ἢ καὶ ὡς μὴ λίαν ἐπηβόλου πυνθανομένῳ σοι ὡς ἕκαστα διελθεῖν. τὰ δ᾽ ἄλλ᾽ εὐτύχει, καὶ τοὺς οἰκείους φίλους προσαγόρευσον ὡς ἀπ᾽ ἐμοῦ. ἐξ Οὐενετιῶν βοηδρομιῶνος β. ἱσταμένου. ὁ σὸς ἀδελφὸς καὶ φίλος Ἰανὸς Λάσκαρις ὁ ῥυνδακηνός.

cum lucro precioſiſſimo ſplendidiſſimóque domum reuertens. Tu verò ipſum tanquam notum & pro tua ipſius conſuetudine, & veſtratem, eloquentémque, & ingenio pollentem, ac tui Laſcaris congerronem excipies propenſè & candidè. Si verò etiam curam ac ſolicitudinem haberet rex, quemadmodũ mihi præſenti videbatur, filios ſuos Græcæ eruditionis participes fieri, ipſi adoleſcenti conficies, ac nihilo ſecius opinor, quàm officioſo ac ſapienti Genuenſi, ſi fortè detinueritis hunc magiſtrum Gręcæ locutionis pro regis liberis, apprimè idoneus cùm ſit, ſicuti etiam tibi ipſi facillimè fuerit perſpicuum ex ipſo periculũ ſi feceris. Atque hoc quidem ſit huiuſmodi. Sed de me nihil tibi[ſignifico,]ne etiam ſcribens quod à familiaritate alienum eſt, ſodalem arguere videar, vel tanquã ignorantem res meas, vel etiam ſicut non admodum voti compotẽ tibi ſciſcitanti vt ſingula percenſeam. In aliis porrò rebus proſperè agas, & familiares amicos ſalutato ſcilicet per me. Venetiis. Auguſti 2. die menſis incipientis. Tuus frater & amicus Ianus Laſcaris Rhyndacenus.

ΒΟΥΔΑΙΟΣ ΙΑΝΩ ΛΑΣΚΑΡΕΙ
εὖ πράττειν.

ΔΕύτερος ἤδη μὴν οὑτοσὶ διεληλύθει ἐξ οὗ Ἰανὸς ὁ ἀπὸ Φορέστης, ὁ πόλλ᾽ ἔτη σοὶ μεμαθητευκὼς, τὴν σὴν ἐπιστολὴν ἡμῖν ἀπέδωκεν ἐπιδημῶν, ἧς τινὸς ἕνεκα συστάσεως μοι

BVDÆVS IANO LASCARI
BENE AGERE.

ALter iam hic mẽſis protractus & interlapſus eſt ex quo Ianus Foreſtanus, qui complures annos tuus fuit diſcipulus, tuam epiſtolam nobis tribuit cùm hîc diuerſaretur, cuius gratia quòd ea mihi cõciliarit

appoſitè atque pro amici decoro familiarem tuum iuuenem ac diſcipulum, curam equidem habui vt huius peregrini negotia in tuto conſtituerem incertò vagantium ritu procedentia. Extraneum enim hunc & aduenam appellarim, iam quidem immutatum & rectè in moribus linguáque peregrina vſitatum, vt etiam patriæ inſtituta obliuioni propemodum tradiderit. Quanquam vltra conciliationem tuam, qua nulla validior apud nos fuerit, dignus mihi etiam ipſe ex ſe ipſo viſus eſt vt patrocinium & auxilium obtineret quàm maximum in noſtra poteſtate ſitum. Cui quidem, vltra id quod videtur eſſe ornatè in vtraque lingua inſtitutus, etiam multa quædam alia certè inſuper adueniunt morum generoſitatem præmonſtrantia. hunc ergo vix tandem in præpotentiſſimi domum & auctoritate plurimum valentis ex his qui ſunt circa regem introduximus, quem ſanè nomophylacem ſeu legum obſeruatoré ac præſidem quiſpiam dicens, non ab re nuncuparit. Iſtud porrò mihi exequenti placuit omni probitate cumulatus Inſubriæ quæſtor, Grimaldus tuus amicus: & qui hunc in itinere deduxit, ac ſuggeſſit, vt facilè credo, hucuſque ſumptus quotidianos in aula degenti. Inuenit enim vita functum auunculum iuuenis, quem ſperabat adueniens ſubminiſtratorem hîc ſibi ac beneficum fore. Quocirca id benè ſe habere nobis ambobus videbatur, non quòd adoleſcente peropportunè collocato, verùm quòd non

τὸν οἰκεῖόν σου νεανίσκον καὶ μαθητὴν δεξιῶς τε καὶ φιλοπρεπῶς, δι᾽ ἐπιμελείας ἔγωγ᾽ ἔσχον τὰ τούτου τοῦ ἐπήλυδος πράγματα καθιδρύσαι ἀνεστίως φερόμενα. ἔπηλυν γὰρ ἂν τοῦτον καὶ παρεπίδημον ἀποκαλοίην, τόν γ᾽ ἤδη παρηλλαγμένον καὶ ὀρθῶς ξενίζοντα, ὡς καὶ τὰ πάτρια σχεδὸν ἀπομεμαθηκέναι. πρὸς μέντοι συστάσει τῇ σῇ, ἧς οὐδεμία κρείττων παρ᾽ ἡμῖν ἂν γένοιτο, δίκαιός μοι καὶ αὐτὸς καθ᾽ ἑαυτὸν ἐφαίνη βοηθείας τυχεῖν ὅτι μεγίστης ἐφ᾽ ἡμῖν οὔσης. ᾧ γε ἐπὶ τῷ τὴν καλῶς εἰπεῖν δοκεῖν καὶ διγλώττως πεπαιδευμένων, καὶ πόλλ᾽ ἄττα δὴ πρόσεστιν εὐ[illegible] τοῦ ἤθους προφαίνοντα. τοῦτον οὖν μόλις ποτὲ ἐν ἐπικρατεστάτου καὶ μέγιστον δυναμένου τῶν ἀμφὶ τὸν βασιλέα εἰσοικίσαντες ἔφθημεν, ὃν δὴ νομοφύλακα τῆς βασιλείας τις εἰπὼν, οὐκ ἀπεοικότως ἂν προσείποι. τοῦτο δὲ ποιήσαντί μοι ἤρέσκετο ὁ καλοκἀγαθὸς τῆς Ἰνσουβρείας ταμίας, Γρίμαλδος ὁ σὸς φίλος. ὁ τοῦτόν τε ὁδηγήσας, καὶ χορηγῶν, ὡς οἶμαι, μέχρι τούτου τὰ καθημέραν ἐν αὐλῇ διατρίψαντι. εὗρε γὰρ ἀποθανόντα τὸν πρὸς μητρὸς θεῖον ὁ νέος, ὃν ἤλπιζε παρεπιδημῶν χορηγὸν ἐνταῦθα καὶ εὐεργέτην γενήσεσθαι. τοιγάρτοι τοῦτ᾽ εὖ ἔχειν ἡμῖν ἀμφοῖν ἐδόκει, οὐχ ὡς ὑπερευθέτως δὲ τοῦ νέου καθιδρυμένου, ἀλλ᾽ ὡς οὐκ

ἐγχωρεῖν ἄλλως γ' ἐν τῷ παρόντι. ἦν
γὰρ ὁ βασιλεὺς πρὸς τῇ τε ἐπιστρατείᾳ,
καὶ τῇ τῶν ἄλπεων ὑπερβάσει. στέργει γοῦν
φησὶ δὲ γεγενημένον αὐτὸς ὁ ἑταῖρός σου
Ἰανός, ὡς καλῶς τεθειμένων τῶν ἑαυτοῦ
τό γε νῦν ἔχον. αὐτοῦ γε μὴν τοῦ νεήλυδος εὐ-
θὺς ἀπεδεξάμην τὸ δεξιόν τε καὶ ἐπίχα-
ρι, ἐν τῷ χρῆσθαι ἑαυτῷ ὅτι δὴ εἶναι δοκῇ
πρὸς τοῦ ἀνδρὸς θεραπευτικοῦ, καὶ κεχα-
ρισμένου γίγνεσθαι μετιόντος τῷ ὑπ'
αὐτοῦ ἀξιουμένῳ ὑπηρεσίας· φαίης γὰρ
ἂν τὸν ἄνθρωπον ἢ πρὸς τοῦτο πεφυκέναι,
ἢ παιδομαθῆ γε τῆς θεραπευτικῆς εἶναι,
οὕτω διάκειται ἐπιπρεπῶς τε καὶ εὐχε-
ρῶς πρὸς τὰ καλὰ καὶ ἐλευθέρια τῶν
διακονημάτων. ἐφ' οἷς δὴ τῷ ἑαυτοῦ
πάτρωνι ἡδὺν ἑαυτὸν παρεσκεύασεν ἐξ ἴσου
τοῖς μάλιστα τῶν οἰκείων· ἄλλως τε καὶ τούτῳ
ἀγαπώμενος ὡς ὁμόφυλος ὢν ἐκείνῳ. ὧν
γε ἕνεκα πλεονεκτήσειν τοσοῦτόν τι οἶμαι αὐτὸν
τῆς εὐνοίας τοῦ θεραπευομένου, ὅσον ἐστὶ
δὲ πλεονέκτημα τῶν παλαιῶν διακόνων
ὧν πρὸς ὁ νεηλυφὴς ἀγωνιστὴς τῷ χρόνῳ
μόνον ἡττᾶται, πάντας μέντοι που τε-
λευτῶν τῇ τ' ἐντέχνῳ θεραπείᾳ καὶ κεχα-
ρισμένῃ παρευδοκιμήσει. οὐ μὴν ἔγωγε
πάνυ τῷ νεανίσκῳ τε καὶ ἐμοὶ συνέχαιρον
τῆσδε τῆς ἐπιτυχίας, εἰ μὴ προσαδοπε-
ποιῆσθαι τοῦτ' ἐδόκει ἐπί τινα λαμπρο-
τέραν ἐλπίδα. ἀμέλει ἐν ἐκείνῃ τῇ θερα-
πείᾳ δοκιμασθείς τε καὶ

detur facultas aliter impræſentiarum. Erat enim rex occupatus & militari expeditioni & Alpium trāſitui. Itaque ſe boni conſulere fatetur quod factum fuit ipſe ſodalis tuus Ianus, veluti pulchrè conſtitutis & collocatis eiuſdem [rebus] nunc quidem. Ipſius autem aduenæ continuò amplexus ſum ſolertiam atque venuſtatem, vtendo ſeipſo quod eſſe videatur & viri officioſi, ac ſe gratum fieri cogitantis apud eum qui ab ipſo flagitat obſequia. Diceres enim hominem vel huius rei gratia in lucem editum, vel à purilitate eruditum quidem eſſe in obſequendi & officium præſtandi facultate, vſqueadeò abſolutè & expeditè animatus eſt ad honeſta & ingenua miniſteria. In quibus profectò ſuo patrono blādum & comem ſe ipſum compoſuit ex æquo cum his qui ſunt maximè domeſticorum eius: Alioqui etiam huic charus tanquam ſit eidē cōtribulis & conſanguineus. Quorum quidem cauſa ipſum opinor tantò plus fauoris eius quem officiis demeritus eſt reportaturū eſſe, quantò melior eſt conditio priſtinorum famulorum, quibus hic nuper illitus certator tempore duntaxat inferior eſt, omnes nihilominus tandem artificioſo callidóque obſequio & iucundo, & ſui commendatione ſuperaturus. Haud tamen equidem valdè iuueni atque mihi gratulatus ſum huius felicis ſucceſſus cauſa, niſi is apparet aditum patefeciſſe ad quandam luculentiorem expectationem. Denique in illa obſeruātia exploratus atque

examinatus, commodiùs in regiam quum ita fors fortuna tulerit, tranſibit. Vale, Lugduni, cunctante nūc iſtic matre regis, atque etiam regnum pro ſuo arbitrio imperióque moderante, ipſo in longiqua remotáque regione verſante. Octobris menſis decimo quarto die.

EIDEM.

EQuidem, ô ſodalis & amice, ac duorum ſanè mihi germanorum fratrum & bonorum qui inſtar es, quandoquidem ea quæ ad meum ſtatum pertinēt tu quidem cognoſcere concupiſcis, ego certè dico quòd alacriter mè gererem, ſi validè te & vt decet affectum eſſe à fideli notóque quodam certior fierem, & pro merito rem gerere. Quamuis multo iam tempore ipſe perſeuero publica munera ſuſtinere, cuius rei gratia tu certè mirareris ob vrbanum publicúmque miniſterium, honorandum quidem ipſum, arduum verò ac turbulenti vigilantia plenum. Cæterùm haud calamitoſè mecum actū eſt in hoc anno. Qui quidem è liberalitate regia commodè percepi, munificentiā neque aſpernandam, nec conditionem triuialem, ſed quam multi ex his qui ſunt in aulica viuendi ratione æmulentur & affectent. Atqui ego ex aula domum reuerſus, multúmque valere vbi dixiſſem formoſæ illi Circæ, quę viros tranſmutare conſueuit, redigi enitebar in priſtinæ philologiæ meæ amaſiæ conſuetudinem. Erat autem tunc

ἐξετασθεὶς, ἐᾷον πρὸς τὰ βασίλεια ἐπειδὴν οὕτω τύχῃ, μέτεισιν. ἔρρωσο, ἐν Λουγδούνῳ, διατελούσης νῦν ἐνταῦθα τῆς μητρὸς τοῦ βασιλέως, καὶ δὴ καὶ τὴν βασιλείαν αὐτοκρατορικῶς διεπούσης, ἀποδημήσαντος αὐτοῦ. ὀκτωβρίου μηνὸς τετάρτῃ ἐπὶ δέκα.

ΤΩ ΑΥΤΩ.

ΕΓΩ μὲν, ὦ ἑταῖρε καὶ φίλε, καὶ δύο δή μοι τῶν γνησίων τ' ἀδελφῶν καὶ ἀγαθῶν ἀντάξιε, ἐπειδὴ τὰ καθ' ἡμᾶς σύ γε γνῶναι ἐφίεσαι, ἐγὼ δή φημι ὅτι εὐθύμως ἂν διακεοίμην, εἰ εὐρώστως σὲ καὶ καλῶς διακείμενον πιστοῦ τινὸς ἐπυθόμην, καὶ κατ' ἀξίαν πράττοντα. εἰ καὶ πολλὺν ἤδη χρόνον αὐτὸς διατελῶ λειτουργῶν, ὃ δὴ σὺ ἀγασθείης ἂν, ἀστικὴν λειτουργίαν, ἔντιμον μὲν αὐτὴν, χαλεπὴν δὲ καὶ ὀχληρὰν ἐπιμελειῶν μεστήν. τἄλλα δὲ οὐκ ἠτυχηκὼς ἀνὰ τουτὶ τὸ ἔτος. ὅς γε τῆς φιλοδωρείας ἀπέλαυσα τῆς βασιλικῆς, εὐεργεσίαν οὔτε τὴν τυχοῦσαν, οὔτε τρόπον τὸν τυχόντα, ἀλλ' ἣν ἂν οἱ πολλοὶ ζηλοῖεν τῶν περὶ τὴν αὐλικὴν δίαιταν ὄντων. ἐγὼ μὲν οὖν ἐκ τῆς αὐλῆς οἴκαδε ἐπανεληλυθὼς, καὶ ἐρρῶσθαι πολλὰ φράσας τῇ καλῇ κίρκῃ ἐκείνῃ, τῇ τοὺς ἄνδρας μεθιστάναι φιλούσῃ, ἀποκαθίστασθαι ἐπειρώμην εἰς τὴν τῆς φιλολογίας τῆς παλαιᾶς μου ἐρωμένης ὁμιλίαν.

ἦν δὲ τότε

ὁ βασιλεὺς

ὁ βασιλεὺς ἐν τῇ τῶν Ἀλλοβρόγων, φιλοκυνηγετικῶς ἔχων, ἡ δ' αὐτοῦ ἀκολουθία μετὰ τῆς μητρὸς ἐν Λουγδούνῳ ἵδρυτο. συνέβη δὲ ἐκεῖ ἐναποθνήσκειν ἄνδρα ἀρχιερέα, ὃς τῶν ἱκετηριῶν προειστήκει τῶν ἐν τῷ στρατωπέδῳ τιθεμένων. ἔστι δὲ συναρχία τῶν ὀκτὼ καλουμένη τοῦ στρατοπέδου ἱκεσιάρχων. τούτων δὲ καθῆκόν ἐστιν ἔργον σὺν δύο ἢ ἀνὰ πλείους, καθ' ἡμέραν προπομπεύειν τε τοῦ βασιλέως, ἐπειδὰν τάχιστα ἐκ τοῦ κοιτῶνος ἐξέλθῃ, καὶ χρηματίζειν αὐτῷ περὶ τῶν ἱκετηριῶν. ἔστι δὲ αὕτη περισπούδαστος ἡ ἀρχή, καὶ σύνταξιν ἔχουσα ἐκ παλαιοῦ χρυσίους ἀμφὶ τοὺς πεντακοσίους. ἐναρίθμιοι δέ ἐσμεν οἱ συνάρχοντες τῇ πρώτῃ συμμορίᾳ τῆς ἀνωτάτω βουλῆς, τῆς ἐν τῷδε τῷ ἄστει καθιδρυμένης, ἣν γερουσίαν ἑκατόνανδρον ἀποκαλοῦμεν. καὶ ἐν ταύτῃ δὴ ἐξέχουσάν τε χώραν ἔχομεν μετά γε τοὺς τέτταρας προέδρους, καὶ τοὺς δώδεκα πατρικίους, καὶ τὴν γνώμην ἡμεῖς ἀποφαινόμεθα πρὸ τούτων, οὓς τελευταίους νενόμισται τὴν γνώμην ἀποδείκνυσθαι, καὶ οἱονεὶ συμπεραίνειν τὰ τῇ βουλῇ δεδογμένα. ἐν μέντοι τῇ μεγάλῃ βουλῇ καλουμένῃ, τῇ αὐλῇ συμπεριφερομένῃ, οὐχ ὅπως καὶ ἡμεῖς καθήμεθα, καὶ τὴν γνώμην λέγομεν, ἀλλὰ καὶ προεδρεύομεν ὅτε φοιτᾶν εἰς αὐτὴν ἡμῖν ἔδοξεν. Ἀποθανόντος οὖν τοῦ ἀρχιερέως ἐκείνου, καὶ πολλῶν δὲ τὴν τιμὴν μνωμένων τε

rex in Allobrogum regione, ſe venationis ſtudioſum gerens, ipſius autem comitatus cum matre Lugduni collocabatur. Euenit autem vt ibi occumberet vir pontifex, qui libellis ſupplicibus præerat in prætorio proponendis ac iudicandis: eſt porrò collegium quod nuncupatur octo præfectorum ſupplicationum prætorij. ſed horum conueniens eſt negotium vt duo ſimul aut plures, ſingulis diebus ante regem incedant, ſimulatque è cubiculo egreſſus fuerit, ac tractét cum ipſo de ſupplicationibus. Eſt autem ipſe magiſtrat' ſtudioſè affectatus, & pro ſtipendio habens è diuturno tempore aureos circiter quingentos. Numerati verò ſumus nos collegæ, in primo ordine ſupremæ curiæ, in hac vrbe collocatæ, quam ſenatum centum virorum nuncupamus. Et in ea ſanè eminentem ſtationem habemus poſt quatuor quidem præſules & duodecim patricios, & verò ſententiam nos proferimus ante eos, quos moris eſt poſtremos iudicium exprimere, & quaſi concludere quæ à ſenatu decreta conſtitutáque ſunt. Quanquam in conſilio quod magnum vocitatur, quod cum aula circonuagatur, non modò & nos aſſidemus, & opinionem dicimus, verũ etiam præſidemus quando ventitare in ipſum nobis viſum fuerit. Ergo vbi mortem cum vita mutaſſet pontifex ille, & multis ſanè dignitatem hanc affectantibus

necnō magno liceri æmulè cōtendentibus, optimus rex noſtri memor qui abſentes eramus, exornare nos voluit eo magiſtratu nullo intercedēte, neque admonēte ipſum Budęi qui paulò antè exierat & qui iam domum migrarat. Hoc verò magnifaciēdum eſt, & regium certè fauorem ac probitatem apertè demonſtrans. Ille enim vt decuit forſitan agens, imperauit diploma fieri atq; obſignari ob ſuam in me liberalitatem, & domum mihi mitti. Quod profectò tanto nobis honoratius fuit, quanto rarius eſſe videbatur. Hæc quidem commemorans te voluptatem percepturum cenſeo: Communia enim ſunt amicorum omnia. In hoc proinde tu ipſe in primis mecum oblectaberis: Quanquam iſtud quidem commune eſt beneuolè quodammodo in me animatorum. Tu verò etiam maiorem in modum exhilaratus fueris certò ſcio. Ego ſanè & huius rei gratia tibi rurſus collætandum eſſe mecum æquum iudico non ſecus atque felicitate communiter vtenti. Theodorus tuus quæ hîc aguntur tibi enarraturus eſt, quem ſubinde non conueni ſæpenumerò in aula verſantem, ipſe quidem interim in vrbe degens. Vale, in aulico comitatu, qui nunc eſt in Pariſiorum ciuitate in vico diui Germani nomen referente, Maij menſis quinto die ineuntis.

καὶ ὑπερτιμήσασθαι ἐναμίλλως προθυμουμένων, ὁ βέλτιστος βασιλεὺς ἡμῶν ἀπόντων μνησθεὶς, γεραίρειν ἡμᾶς ἠξίου ταύτῃ οὐδενὸς ὑπερευχομένου που, οὐδ' ὑπομιμνήσκοντος αὐτὸν Βουδαίου ἄρτι ἀπεληλυθότος τε καὶ οἴκοι ἤδη μετοικήσαντος. ὃ δὲ τιμιώτατον, καὶ τῆς βασιλικῆς δὴ εὐνοίας καὶ χρηστότητος ἀποδεικτικόν. ἐκεῖνος γὰρ καλῶς ποιῶν ἴσως, κελεύει δίπλωμα γενέσθαι τε καὶ κατασημανθῆναι τῆς εὐεργεσίας τῆς αὐτοῦ, καὶ οἴκαδε ἐμοὶ πεμφθῆναι. ὃ δὴ τοσούτῳ ἡμῖν ἐντιμότερον ἐγένετο, ὅσῳ σπανιώτερον εἶναι ἐδόκει. ταῦτα μὲν διεξιὼν εὐφρανεῖν σε μοι δοκῶ. κοινὰ γὰρ τὰ τῶν φίλων. τούτοις τοίνυν δὴ αὐτὸς ἐν τοῖς μάλιστα συνησθείης μοι. καίτοι τοῦτό γε κοινὸν πάντων τῶν εὐνοϊκῶς πως μοι ἐχόντων. σὺ δὲ καὶ ὑπερησθήσῃ εὖ οἶδ' ὅτι. ἐγὼ δὴ καὶ τούτου σοὶ αὖ συνιστέον εἶναι μοι ἀξιῶ ὡς κοινωνήσαντι τῆς εὐπραξίας. Θεόδωρος ὁ σὸς τὰ ἐνταῦθά σοι διηγήσεται, ᾧ πολλάκις οὐκ ἐνέτυχον τὰ πολλὰ αὐλιζομένῳ. αὐτός γε τηνικαῦτα ἐν ἄστει διαιτώμενος. ἔρρωσο, ἐν αὐλικῇ ἀκολουθίᾳ, οὔσῃ νῦν πρὸς τῇ τῶν Παρησίων πόλει, ἐν κώμῃ τοῦ ἁγίου Γερμανοῦ ἐπωνύμῳ, μαΐου μηνὸς πέμπτῃ ἱσταμένου.

FRANCISCO ROBERTETO.

FRequentes nos de te commendationes intelligimus, eas quidē perpetuò iucundiores,

ΦΡΑΓΚΙΣΚΩ ΡΟΒΕΡΤΗΤΩ.

ΣΥχνὰς ἡμεῖς περὶ σοῦ εὐφημίας πυνθανόμεθα, ἐσαεὶ μὲν ταύτας ἡδίους,

καὶ προϊόντος ἐπιδιδούσας τοῦ καιροῦ. ἔστι δ᾽ ὅτε μείζους ἢ πιστὰς εἶναι τοῖς ἀκούουσιν, οἷς γε δὴ ἡ εὐφυΐα ἡ σὴ καὶ φιλομάθεια οὐχ ὁμοίως ἡμῖν ἔγνωσται. τοῦτο μὲν οὖν ἡμεῖς γνωριστέον εἶναι σοι ἡγησάμεθα, οὐ πρὸς χάριν μὲν ἐπιστέλλειν ἐπιθυμοῦντες, ἀλλ᾽ ἐφ᾽ ᾧ τε ἐπιρρωννύναι σου τὴν προθυμίαν, καὶ ὡσπερεὶ ἐγκελευστικῇ σταδιοδρομικῇ ἐνισχύειν σε, καίπερ ὑπερφιλοτιμούμενον γενναίως τε καὶ νεανικῶς. μεμνῆσθαι τοίνυν σε χρή, νεανίσκε γεννικώτατε, τοῦδε τοῦ ἄθλου, ὃ σὺ τυγχάνεις ἐπαράμενος ἐξ ὧν διατελεῖς ἐνδεικνύμενος. ἔστι γὰρ οἶμαι ἐλαφρὸν μὲν καὶ ἡδὺ φαίνεσθαι τὸ πρῶτον τοῖς ἐπιφορτιζομένοις, ἐπιβαρὲς μέντοι καὶ πιεστικὸν τοῖς μὴ σύντονόν τε καὶ ἐπακμάζουσαν διατηροῦσι τὴν ἐπίστασιν. τοιοῦτο τοίνυν τὸ ἄθλος μεσοῦντος τοῦ δρόμου ἀποσκευάσασθαι, ἄλλως τε τὸν πολυκροτήτως τε καὶ προσδοκίμως ἀνελόμενον, αἰσχρὸν ἂν εἴη, καὶ δὴ καὶ ἀτιμίας μεστόν. ἔοικας δή, ὦ δαιμόνιε, εἰς ἀνάγκην βαρεῖαν καθεστηκότι. ἐπεὶ τὰ τῆσδε τῆς φιλοπονίας οὐ κατὰ τὴν αὐτὴν μοῖραν σοι καὶ τοῖς πολλοῖς εὕρηται, ἀλλὰ πολὺ σφαλερωτέραν. κινδυνεύεις οὖν, μοι δοκεῖ, θαυμαστὸν ἡλίκον κλέος φέρεσθαι, καὶ νὴ Δία ἐπίσης τοῖς εὐδοκιμώτατα καθ᾽ ἡμᾶς φιλολογοῦσιν· ἤν γε τὰ μετὰ ταῦτα ἀναλόγως προχωρῇ τοῖς πρόσθεν, ὅπερ ἡμῖν ἐστὶν ἐπίδοξον. ἢν δὲ

& procedentè temporis occaſione creſcentes: Aliquoties porrò maiores quàm vt apud auditores fidem habeant, quibus quidem certè induſtria tua & in diſcendo cupiditas non itidem ac nobis perſpecta fuit. Iſtud porrò tibi cognoſcédum eſſe nos arbitrati ſumus, non ad emerendam gratiam quidem ſcribere deſiderantes, verùm vt corroboremus expeditam animi tui induſtriam, & quaſi incitatione quadam in ſtadio curſu certante tibi firmitatem comparemus, quamuis præclarè atque ſtrenuè conanti. Te igitur meminiſſe par eſt adoleſcentule ingenue huius moleſtiæ, quam tu erexiſti incitaſtíque ex his quæ pergis oſtentare. Eſt enim videlicet leuis quidem & iucunda viſu primùm onus ſibi adiiciétibus, acerba tamen & vexans eos qui minimè concitatam atque vigenté obſeruant animi intentionem. Atqui talem angorem à medio curriculo amouere eum, alioqui qui cũ multifario varióque applauſu & approbatione ſuſceperit, indignum fuerit, & præterea infamiæ plenũ. Æquiparandus es certè, ô fortunate, in difficultate graui laborioſáque conſtitúto. Quandoquidem hic labor ingenuus nõ hac ipſa ſorte à te & quamplurimis ſuſceptus eſt, verùm periculoſiore. Videris ergo, vt cenſeo, peradmirandum ſplendorem conſequi, atqueadeò perinde vt illi qui laudatiſſimè noſtra tempeſtate literario ſtudio vacant: ſi modò quæ deincepes ſubſequentur ſimili proportióne ſuccedant cum prioribus, quod nobis eſt euidens ac probabile. Si verò

rurſus ſplendidè curſum exorſus, intempeſtiuè animum deſpondere tu apparueris, & immodicam illam contentionem languidiorem efficere & relaxare, qua ſine attingere præmium haud poſſibile eſt, non effugies quin nomineris arbor ſterilis, vt ſecundum Homerum loquar. Da operam igitur, ô vir egregie, vt conſequentia præcedentibus eadem temperatura ſeſe habeant tibi vel ex æquo videantur. hæc ſcripſi in Lugdunenſi oppido Romanorũ colonia. illic enim aula deſidebat, rege cum exercitu irruente quidem extra Galliam: rerum porrò ſummam libera ſua voluntate cùm moderaretur ſapiens eiuſdem mater, & in omnibus auctoritate prædita. Vale, Decembris nono die inſtantis menſis.

GVLIELMVS BVDÆVS IANO FORESTANO.

SI quidem, ô Iane, quantum tu deſiderabas mearum literarum nonnihil recipere, tantum ego ſolicitus eſſem in hoc tibi quodãmodo gratificari, iampridem profectò meum ingenium (ex quo quidem domum reuerſus ſum variis rationibus diſtẽtum) adieciſſem & conuertiſſem ad ſcribendum tibi. Noſtræ enim amicitiæ decorum erat notum tibi facere quo pacto res meæ ſeſe haberent. Talis quædam ni fallor cogitatio aliquoties ſe exhibuit tibi animo perpendẽti procraſtinationem meam, qui nondum tibi reſponderim eò quòd

αὖθις αὖ τοῦ δρόμου ἐνδόξως ἐναρξάμενος, παρώρως ἐνδιδόναι σὺ δόξῃς, καὶ τὴν ἄγαν ἐκείνην συντονίαν ἀνιέναι καὶ χαλᾶν, ἧς ἄνευ ἐφικέσθαι τοῦ ἄθλου οὐχ οἷόν τε, οὐκ ἂν φθαίνοις αὐτὸς φυτὸν ἀκούων ὠλεσίκαρπον, ὡς κατὰ Ὅμηρον εἰπεῖν. ὅπως οὖν, ὦ γεννάδα, τὰ ἐπιόντα τοῖς προλαβοῦσιν ὁμοτόνως ἔχειν σοι ἢ ἀξιομάχως δόξῃ. ταῦτα ἔγραψα ἐν Λουγδούνῳ τῇ τῶν ῥωμαίων ἀποικίᾳ. ἐκεῖ γὰρ ἡ αὐλὴ ἐκαθίσθη, ἐξελάσαντος μὲν τῆς γαλατίδος τοῦ βασιλέως, τῶν πραγμάτων δὲ τὴν κορυφὴν αὐτεξουσίως πρυτανευούσης τῆς σοφῆς τούτου μητρὸς, καὶ πάντων κυρίας οὔσης. ἔρρωσο, τοῦ δεκεμβρίου ἐνάτῃ ἱσταμένου.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ Ἰανῷ τῷ ἀπὸ φορέστης.

ΕΙ μὲν, ὦ Ἰανὲ, ὅσονπερ σὺ ἐπεθύμεις τῶν ἐμῶν τι γραμμάτων ἀπολαβεῖν, τοσοῦτόν τι ἐγὼ δι' ἐπιμελείας εἶχον κατὰ τοῦτό σοι ἁμωσγέπως χαρίσασθαι, πάλαι δήπου τὴν διάνοιαν τὴν ἐμὴν ἐξ ὅσου γ' οἴκαδε ἐπανῆλθον πολλαχῆ περισπωμένην, ἐφίστων ἂν καὶ προσεῖχον πρὸς τὸ ἐπιστέλλειν σοι. ἦν γὰρ πρὸς τῆς ἡμετέρας φιλίας γνωρίσαι σοι ὅπως εἶχον τὰ ἐμά. τοιοῦτό τι εἶμαι διανόημα ἐνίοτε παρέστη σοι ἐνθυμουμένῳ τὴν ὑπερημερίαν τὴν ἐμὴν, μήπω ἀμειψαμένου σε δι' ὃ ὢν

ἔφθης ἐπιστείλας μοι. μήτοι, ὦ φίλε, μὴ οὕτω περὶ ἐμοῦ διανοεῖσθαί σοι ἐπέλθῃ. εἰ γὰρ ἐγὼ σχολὴν ἦγον, οὐκ ἂν ἐπεπόθεις τὰ γράμματά μου, οὐδ' ἔγνως σὺ τὰ κατ' ἐμὲ ὡς εἶχεν ἐν τῷ μεταξύ, ἀχθεσθείης ἂν νῦν, εὖ οἶδ' ὅτι, ὡς ὑπάρξας δήπου τούτου τοῦ καθήκοντος πρὸς ἄνδρα ὀλιγώρως τὰ τῆς φιλίας δίκαια περιέποντα. πόσον γὰρ φροντίδων ἑσμὸν οἴει με οἴκοι ἀπολελοιπότα, ὅτ' εἰς τὴν αὐλὴν ἀπεδήμουν, ἐπαναλαβεῖν αὖθις ἐπανήκοντα; καὶ τῶν μὲν κατὰ μέρος τε αὐτῶν καὶ τῶν ἀπὸ συμπτώματος οὐ μνησθήσομαι. αἱ μέντοι μέριμναι, ἅσπερ ὅ τε οἰκονομικὸς ἐμοὶ λόγος, καὶ ἡ πολυπαιδία ἀνατίθησιν, ἥγε τοῦ μεριμνῆσαι προξενητική, ὅλης τῆς διανοίας τῆς ἡμῶν ἀντιλαμβανόμεναι, καὶ τὰ τῶν λόγων δὴ πολλάκις αὐταὶ φροντίζειν ἀπερύκουσι, μή τι δὴ ἐνθυμεῖσθαι τὰ τοιαῦτα τῶν ἀσχολημάτων, ἃ ἵνα διαγωγὰς καὶ τέρψεις ἔχει, ὧν μόνοις προσήκει τοῖς ἐκ περιουσίας γράφουσι. ταῦτα μὲν οὖν καταλογιζόμενος, ἀξίως ἂν τοῦ τρόπου σου ποιήσαις καὶ φιλοπρεπῶς, εἰ εὐγνωμονοίης πρὸς ἡμᾶς τούτου ἕνεκα. εἰ δὲ σὺ ἀγνωμόνως τοῦτο λογιζόμενος, καταδικάσεις μου τήνδε τὴν ἀπολογίαν, ἴσθι εὐθὺς εἰς Λάσκαριν τὸν καλὸν ἐφήσοντά με τὴν κρίσιν. ἐπὶ τούτου γὰρ πάντως καταδικάσασθαι τὴν δίκην τήνδε δοκῶ μοι. ἅμα δὲ σύ τε τῶν τε μαθητευσάντων αὐτῷ ὢν

prius ad me ſcripſeris. Ne, ô amice, ne ſic de me exiſtimare tibi in animum incidat. Si enim ego in otio eſſem, non appeteres literas meas. Nec ſi reputares tu ea quæ ad me pertinent quemadmodum erant conſtituta hoc interim tempore, indignè patereris modò, cõpertum habeo, quòd prior certaueris nimirum hoc officio cum homine negligenter & incurioſè amicitiæ iura obſeruante. Quantum enim anxietatum examen me opinaris domi reliquiſſe, quando in aulam feceſſi, quas ſum repetiturus iterũ rediens? Et harum quidẽ particulatim ego atque earum quæ ſunt à caſu non recordabor. Quanquam animi angores, (quos gubernandæ familiæ ratio mihi, & frequens puerorum procreatio imponit, hæc quidem anxietatum conciliatrix) integram mentem noſtram apprehendentes, etiam ſtudia literarum certè multoties ipſi meditari inhibent, nedum mente voluere talia munera, quæ oblectamenta continent, ſolis ex opum affluentia ſcribentibus congruentia. Hæc vtique percenſens, vt decet tuos mores feceris & pro amici decoro, ſi apud nos huius rei gratia te beneuolum præbueris. Sin autem tu ingratè iſtud animo agitans, condemnaueris meam hanc excuſationem, ſcias continuò ad Laſcarim probum virum me controuerſiam prouocaturum. Nam apud hunc prorſus ſecundũ me iudicatum iri cenſeo: videlicet tu & ex eius diſcipulis cũ ſis

ac familiaribus, quo pacto minimè intelligere ipſi repugnantia videberis, ſi elapſas iniurias memoriæ mãdare perſeueraueris veluti eum nihili faciens vel quodammodo contemnens? Proinde in literis quidem & elocutione laſcariſare eſt, grauiter elegantérque dicere. Ingenio porrò laſcariſare eſt, manſueta & fructuoſa placidáque ſapere. Vale, ac pro meritò agas atque facias, à viro per nos te in contubernium admiſſum fuiſſe memor & commercium habuiſſe cum eo qui adeptus eſt primas partes ſummæ rerum adminiſtrationis. Lutetiæ Pariſiorum Februarij menſis incipiẽtis octauo die.

καὶ συνδιαιτησαμένῳ, πῶς οὐ φρονεῖν ὑπεναντία αὐτῷ δόξεις, τὴν μνησικακίαν διατελῆς, ὡς καταφρονούμενος ἤ πως καταμελούμενος; λασκαρίζειν τοίνυν ἐστὶν ἐν λόγοις μὲν καὶ φράσει, τὸ δεινῶς λέγειν καὶ κομψῶς. τὸ δὲ ἦθος λασκαρίζειν ἐστί, τὸ τὰ ἐπιεικῆ καὶ χρηστὰ καὶ εὐαρεσκούμενα φρονεῖν. ἔρρωσο, καὶ κατ' ἀξίαν τι πρᾶττε καὶ ποίει, ἀνδρὶ δι' ἡμᾶς συσταθῆναι μεμνημένος καὶ πεπλησιακέναι τῷ πρωτεῖα εἰληχότι τῆς ἄκρας τῶν πραγμάτων διοικήσεως· ἐν Λουτεκίᾳ Παρησίων φεβρουαρίου μηνὸς ὀγδόῃ ἱσταμένου.

BVDÆVS FRANCISCO ROBERTETO SALVTEM.

VBi recepi tuum epiſtolium, idque percurri, ô gratum caput, protinus & generoſitatem tui ingenij admiſi, & in diſcendo procliuitatem, alioqui in peregrina externáque lingua. Quis enim non admiratione commendaret necnon amplecteretur celeritatem tuam, qui paucis menſibus progreſſum feciſti in eruditione difficillima, & ſcitè iam in elementis verſatus cùm ſis? Quam ob cauſam laudandum arbitror ita erudientem te atque fratrem, egregium ac generoſum Claudium, Theocrenum aio ex Liguria, virúmque probum, & bilingui doctrina apprimè inſtructũ. Ille iugum diſcipulorum apprehẽdens inſigni ſtrenuitate compar,

ΒΟΥΔΑΙΟΣ ΦΡΑΓΚΙΣΚῼ Ῥοβερτήτῳ εὖ πράττειν.

ΔΕξάμενος τὸ σὸν ἐπιστόλιον, καὶ τοῦτο διελθών, ὦ ἀσπαστή μοι κεφαλή, ἀπεδεξάμην τότε γενναῖον τῆς φύσεως, καὶ τὸ εὐμαθές, ἄλλως τε τὸ κατὰ τὴν ξένην γλῶτταν. τίς γὰρ οὐκ ἂν ἀγαθείη τε καὶ ἀσπάσαιτο τὴν ταχύτητα τὴν σήν, ὀλίγων μηνῶν προκεκοφότος ἐν παιδείᾳ δυσχερεστάτῃ, καὶ ὀρθῶς ἤδη στοιχειωθέντος; ἐφ' ᾧ ἐπαινετὸν ἡγοῦμαι τὸν οὕτω διαπαιδαγωγοῦντά σε τε καὶ τὸν ἀδελφόν, τὸν καλόν τε καὶ εὐγενῆ Κλαύδιον, Θεόκρηνον φημὶ τὸν λιγυόν, ἄνδρα τε ἀγαθόν, καὶ διγλώττῳ παιδείᾳ ἐξηρτημένον ἐν τοῖς πάνυ. τοῦτο ζεῦγος μαθητῶν λαβὼν τῇ τε προθυμίᾳ ἀγχώμαλον,

καὶ εἰς τὰ κάλλιστα τῶν μαθημάτων εὖ πεφυκὸς, οὕτως ἔφθη διατυπώσας, ὥστε ἐπιτηδείω σφῶ καὶ ἐξησκημένω πρὸς τὰ πόῤῥω ἀπέδειξεν. ἄγε δὴ μειρακίσκω μοι ἠγαπημένω, διατελεῖτον ἀντεχομένω ἧς εὕρεσθον ἀφορμῆς, ἐξὸν ὑμῖν τῇδε τῇ τύχῃ χρῆσθαι, καὶ τοῦ καιροῦ τ' ἀπολαύειν καὶ διδασκάλου. οὔτε γὰρ παντὸς τουτό γε καιροῦ ἐστὶν, οὔτ' εὐτυχίας τῆς τυχούσης, τοιούτῳ ἐντυγχάνειν οἷός ἐστιν οὗτος καθηγεμὼν καὶ διδάσκαλος. ἐὰν οὖν ἐμοίγε συμβούλῳ χρήσησθον, τοῦτόν τοι τὸν ἄνδρα κατὰ τὴν ἀξίαν διατελέσετον θεραπεύοντε, θαυμαστὸν ἡλίκον μοι δοκεῖ, τῶν νέων προσοδοποιόν. οὗ δὴ ὑμῶν ἐπιμελῶς καθηγησαμένου (τῷ γὰρ πατρὶ τῷ ὑμετέρῳ ταύτην χάριν οἶδεν αὐτὸς κεχαρισμενωτάτην θήσων, καὶ ἑαυτῷ δὴ μάλιστα συνοίσουσαν) ὄναισθον ἂν ἀξιολογώτατα τῆς τε περιττῆς φύσεως καὶ ἐπιμελείας ἀκριβοῦς. προσανέχεσθον δὴ, ὦ γνησίω, τούτῳ τῷ ἡγεμόνι τῆς κατὰ τὴν λογίαν ἀρετὴν ὁδοῦ. ὑμῖν γὰρ προσφιλῶς τε διάκειται, καὶ ἀεὶ εὐφήμως ἔχει διὰ στόματος. πρόσειπέ μοι τὸν ἀδελφὸν, καὶ τὸν καλὸν Σαλμώνιον καὶ σοφόν. ἀλλὰ σύ γε μάλιστα τοὺς τοκέας μὲν τοὺς, ἐν δέοντι μέντοι μάλιστα τὸν φύσαντα. οὗ γὰρ ἐγὼ τὴν εὔνοιαν περὶ πλείονος ποιοῦμαι ἅπαντος τοῦ αὐλικοῦ, μετά γε τὸν βασιλέα καὶ τὴν δέσποιναν τὴν πάνυ· ἐπεὶ τῶν ἐν αὐλῇ διατριβομένων

& ad optimas inſtitutiones perbellè à natura comparatum, ſic informauit, vt idoneos vos & exercitatos ad prouectioria expreſſerit. Agite, ô iuuenes, mihi dilecti, perſeuerate adhæreſcentes facultati quam aſſecuti eſtis, cùm liceat vobis hac ſorte vti, & tempore opportuno perfrui ac moderatore. Nec enim cuiuſlibet iſtud quidem temporis eſt, neque felicitatis plebeiæ, cum tali homine ſermones conferre qualis eſt is ductor atque præceptor. Si itaque me conſultore vtamini, talem virum prout eius dignitas poſtulat perſeuerabitis obſeruare, perquàm admirandum vt mihi videtur, iuuenum præſtructorem. Quo ſanè attentè ſolicitéque vos inſtituente (nam patri veſtro hoc promeritum quàm acceptiſſimum animaduertit ipſe ſe præſtiturum eſſe, & eidem ipſi profectò maximopere profuturũ & condúcibile) vtinam iuuemini ſplendidiſſimè & eximiæ naturæ & prouidétiæ exquiſitæ gratia. Vos adiungite, ô egregij adoleſcentes, huic rectori ac duci eius quæ eſt ad doctam virtutem viæ. Vobis enim ſe beneuolum gratúmque gerit, & perpetua celebratione vos in ore habet, Salutato meo nomine fratrẽ, & honeſtum Salmonium ac eruditum: Verùm tu quippe potiſſimùm parentes quidem tuos, tempeſtiuè tamen genitorem. Cuius ego fauorem pluris facio quàm quemlibet aulicum, poſt regem ac reginam illuſtriſſimam. Quandoquidem ex his qui in aula frequentes ſunt

ſolus ipſe amicus eſt verus, aliis penè omnibus hypocriticè ſimulantérque illudentibus. Vale, Lutetiæ Pariſiorum, Martij menſis quinto ſupra decem, quem Antheſterionem ſeu floribus ſcatentem ſi tu nuncupaueris, forſitan non aberraueris.

αὐτὸς φίλος ἐστὶν ἀληθής, τῶν ἄλλων σχεδὸν ἁπάντων ὑποκριτικῶς φενακιζόντων. ἔρρωσο, ἐν Λουτεκίᾳ τῶν Παρησίων, μαρτίου μηνὸς πέμπτῃ ἐπὶ δέκα, ὃν ἀνθεστηριῶνα σὺ προσειπὼν, ἴσως ἂν οὐχ ἁμάρτοις.

IANO FORESTANO.

CVm à me recepta eſſet iampridem epiſtola tua, haud ſcio quo pacto obliuioni dederim ad te ex aduerſo ſcribere, Iane mihi dilecte. Paulò antè verò cùm nobis inceſſiſſet quemadmodum minimè iſtud conuenit viro bono atque amico, hoc officio prouocanti cedere, reuocare ab hoc delicto protinus offenſionem cogitaui: vt autem pro more habent qui ſunt naturali inſtinctu ceſſatores viri, diem de die protrahens, & expectans, lætabar, quando nuncium nanciſcerer Florentiam literas perlaturum. Minimè tamen curioſè quidem obſeruabam: veritatem enim generoſè liberéque fatebor: vt velociſſimè iſtud fieret, cuiuſmodi profectò penè eſſe ſolet, ſicuti dixi, conſuetudo reiicientiû opera experiri, & negotia capeſſere ſibi iniuncta. Hanc etenim culpam ſubinde quidem reprehendiſſe in me ipſo memini & iniquo animo pertuliſſe, neque emendaui naturæ vitium ne hactenus quidem, quoad ſanè attinet ad mittendum epiſtolas. Etſi ipſe quidem ex aduerſo domare

ΙΑΝΩ ΤΩ ΑΠΟ ΦΟΡΕΣΤΗΣ.

Ἀπειληφὼς πάλαι ποτὲ τὴν ἐπιστολὴν τὴν σὴν, οὐκ οἶδ᾽ ὅπως δι᾽ ἀμνηστίας ἦγον ἀντιγράψαι, ὦ Ἰανὲ μοι ἠγαπημένε. ἄρτι γε μὴν εἰσιὸν ἡμᾶς ὡς οὐ τοῦτο πρὸς ἀνδρός ἐστι σπουδαίου τε καὶ φίλου, τοῦ δὲ τοῦ καθήκοντος ἐξίστασθαι προκαλουμένῳ, ἀνακαλέσασθαι τοῦδε τοῦ ἐκλείμματος εὐθὺς τὴν αἰτίαν διενοήθην. ὡς δὲ εἰώθασιν οἱ διαμελληταὶ τῶν ἀνδρῶν τὴν φύσιν ὄντες, ἡμέραν ἐξ ἡμέρας διαναβαλλόμενος, καὶ προσδοκῶν, ἔχαιρον, ὅτε ἀγγελιαφόρου τύχοιμι εἰς Φλωρεντίαν τὰ γράμματα κομιοῦντος. οὐ μέντοι δι᾽ ἐπιμελείας γ᾽ εἶχον (τἀληθὲς γὰρ γενναίως ὁμολογήσω) ὅπως τὴν ταχίστην τοῦτο γένοιτο, ὅπερ δὴ σχεδὸν εἶναι φιλεῖ, ὡς εἶπον, τὸ ἔθος τῶν ἀποκνούντων ἐγχειρῆσαι τοῖς ἔργοις, καὶ τῶν πραγμάτων ἅψασθαι σφίσιν ἐπικειμένων. ταύτης γάρ τοι τῆς αἰτίας πολλάκις μὲν ἐπιπλήξας ἐμαυτῷ μέμνημαι καὶ ἀχθόμενος, οὐκ ἔφθην δὲ ἐπανορθωσάμενος, τὸ πλημμελὲς τῆς φύσεως οὐδέ πω καὶ τήμερον, ὅσον γε δὴ ἀνήκει εἰς τὸ ἐπιστολὰς ἐπιστέλλειν. καίτοι αὐτός γ᾽ οὐκ τοὔμπαλιν κρατεῖν

οὐκ ἔχων μακρηγορίας βιαζομένης, ὁπόθ᾽ ἅπαξ τὸν ὄκνον ἀποσεισάμην, οὕτως ἀτάκτως ἔχω. ταῦτα μὲν οὖν ὁμολογεῖν προήχθην, ἵνα μὴ ἀχθεσθῇς μοι ὡς σοῦ μόνου ἀμνημονοῦντι. οὕτω γε μὴν ἐμοῦ διακειμένου, ὁ θεῖος ὁ σὸς, ἀνὴρ ὄντως, ὥσγ᾽ ἐγὼ οἶμαι, ἀγαθὸς, εἷς ὢν τῶν ἐπιστατούντων τοῦ βασιλέως κυνηγετικοῦ, κατὰ τύχην τῷ ἐμῷ καταλύματι τήμερον πεπλησιακὼς, τὸν ὄκνον τοῦτον ἐμοὶ ἐξετίναξεν. ὡς γὰρ τάχιστα τὸ ἡμέτερον ὄνομα εἶδεν ὑπὸ τῶν ἐπιστάθμων γεγραμμένον, μεταξὺ τὴν θύραν παραμειβόμενος, θυροκοπεῖν ὅγε προὐθυμήθη ὑπὸ τῆς ἄγαν φιλίας, καὶ πυθέσθαι τοῦ προστυχόντος τῶν οἴκοι εἰ ἔνδον εἴην αὐτός. ἐτύγχανε δὲ τότε τὰ κατὰ τὴν κυνηγεσίαν ἀμπεχόμενός τε, καὶ ὑποδεδεμένος. ἵν᾽ οὖν συνελὼν τὰ ἐφεξῆς εἴπω, ἡμῶν ἐπὶ τῇ φιλοφρονητικῇ προσρήσει πρὸς διαλεγομένων (ἦμεν γὰρ ἀλλήλους διὰ πολλοῦ ἤδη ἑωρακότες) ἐν δέοντι που ἡ τῶν γραμμάτων τῶν σῶν ἐμοὶ μνήμη ἐπῆλθε. ταῦτα δὴ προχειρισάμενος ἐκ τῶν φωριαμῶν τῶν ὁδοιπορικῶν, καὶ ἀνοίξας ἔδειξα, καὶ δὴ καὶ δεομένῳ ἐξηγησάμην. ἐφ᾽ οἷς ὑπερευφραινόμενος πολλάς μοι χάριτας ὡμολόγει. φήσαντος δ᾽ ἐμοῦ ἀντιγράψειν σοι ἐπειδὰν τάχιστα τύχω τοῦ γράμματα κομιοῦντος, ὑποτεμνόμενος οὗτός μοι πᾶσαν τῆς ἀναβολῆς πρόφασιν, ἀναδέξεσθαι

non valens verboſam orationem vrgentem, cùm ſemel ſegnitiem depoſui, vſqueadeò indigeſto confuſóque ſum affectus animo. Hæc ſanè quidem confiteri compulſus adductúſque fui, ne mihi ſuccenſeas non ſecus atque tui ſolius obliuiſcar. Sic vtique cùm animatus eſſem, auunculus tuus, vir omnino, vt quidē ego opinor, probus, vnus cùm ſit eorum qui præſunt regis venationi, forte fortuna ad meum diuerſorium hodie vbi acceſſiſſet, ceſſationem hanc à me extraxit. Quùm primùm enim noſtrum nomen inſpexit à manſionariis deſignatoribus ſcriptum, interea dum ianuam tranſiret, ille fores pultare alacri animo curauit ob vehementem erga me amicitiam, ac certior fieri ab eo qui ſibi occurreret ex meis domeſticis ſi intus ipſe eſſem. Erat autem tunc venatoriis indumentis amictus atque ocreatus. vt ergo ſummatim deinceps dicam, nobis ob facetam blandámque ſalutationem ſermocinantibus: (tum enim diu erat ex quo nos mutuò videramus) opportunè literarum tuarum recordatio mihi in animū incidit. Has igitur expromēs è ſcriniis itinerariis, aperienſque demōſtraui, & roganti explicaui. Quarū gratia ſupramodū delectatus amplas mihi gratias habebat. Vbi porrò dixiſſem ego me tibi reſcripturum, ſimulatque potitus fuero eo qui literas perlaturus ſit, is mihi omnē procraſtinationis occaſionē præſcindens, in ſe recepturum eſſe

dixit negotium pro ſua ipſius ſedulitate ſi ſcribere impræſentiarū vellem. Ibi ergo eius verbis adactus & ſuperatus: non enim facultas erat eum qui præueniſſet illa quidem dicere tergiuerſari: & me ſcripturum è veſtigio affirmans, rem aggreſſus ſum. Ille ad ea quæ ipſi mox exequenda erant profectus eſt, tribus horis aſſeuerans ſe rediturum eſſe. Hæc vtique erit tibi harum literarum materia, quādoquidem interuallum ab auunculo tuo definitum ac determinatum, legitimæ alîus epiſtolæ argumento me ſpoliauit. Non enim ſeram & intempeſtiuam ipſi in medium adferre promiſſionem oportebat, minùs profectò iucundam & viro feſtinanti, & eum qui epiſtolam perlaturus eſſet remorari ac retardare nolenti. Cognoui autē hunc auunculum quidem tibi ex matre tua eſſe, paternum porrò tibi fauorē exhibere. Quinetiam congratulor tibi huius in diſcendo celeritatis cauſa, quam literæ tuæ vnà cum epigrammate præſe ferunt. Sed te fortunatum ac felicem iudico & proſperitatis & felicitatis gratia tibi peregrè agenti elargitæ. Da operam igitur, ô vir optime, ne ab immodico iſto ingenuo labore te abdices, donec tempus tibi legitimum & conueniens minimè præterierit. Vale, Lugduni, Septembris menſis vigeſimo die, quem Metagitnionem nuncupare fas eſt, ſi Plutarcho fidem adhibeamus.

ἔφη τὸ πρᾶγμα ἐπὶ τῇ ἑαυτοῦ ἐπιμελείᾳ εἰ ἐπιστέλλειν ἐν τῷ παραχρῆμα βουλοίμην. ἐνταῦθα δὴ τοῦ λόγου κατειλημμένος (οὐ γὰρ ἐξῆν σκήπτεσθαι τόν γ' ἐκεῖνα εἰπεῖν προλαβόντα) καὶ γράψειν αὐτίκα δὴ συμφήσας, ἐπεβαλόμην τοῦ ἔργου. ὁ δ' ἐπὶ τὰ αὐτῷ πεπραξόμενα ἀπῆλθε, τριῶν ὡρῶν φάσκων ἐπανήξειν. αὕτη μὲν οὖν ἔσται σοι τούτων τῶν γραμμάτων ὑπόθεσις, ὁπηνίκα τὸ διάστημα τὸ ὑπὸ τοῦ θείου σου ὡρισμένον, ἱκνουμένης ἄλλης ἐπιστολῆς ὑπόθεσιν ἀφήρηταί με. οὐ γὰρ ἐκπρόθεσμον αὐτῷ παρέχεσθαι τὴν ὑπόσχεσιν ἔδει, ἧττον μὲν δήπου κεχαρισμένην οὖσαν ἀνδρί τε κατασπεύδοντι, καὶ τὸν κομίσοντά που τὴν ἐπιστολὴν ἐπέχειν οὐκ ἐθέλοντι. ἔγνων δὲ τοῦτον θεῖον μέν σοι ἐκ μητρὸς ὄντα, πατρῴαν δέ σοι εὔνοιαν παρεχόμενον. ἀλλὰ μὴν συνήδομαί σοι τῆσδε τῆς εὐμαθίας, ἣν τὰ γράμματά σου ἅμα τῷ ἐπιγράμματι κατηγορεῖ. εὐδαιμονίζω δέ σε τῆς τε εὐημερίας, καὶ ῥᾳστώνης ἀποξενουμένῳ δεδωρημένης. ὅπως οὖν, ὦ βέλτιστε, μὴ τῆς ἄγαν ταύτης φιλοπονίας παύσῃ, μέχρις ἂν ὁ χρόνος σοι γιγνόμενος μὴ ἐξήκῃ. ἔρρωσο, ἐν Λουγδούνῳ, σεπτεμβρίου μηνὸς εἰκάδι, ὃν μεταγειτνιῶνα καλεῖν ἔξεστιν, εἰ Πλουτάρχῳ πιστεύοιμεν.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ
Ἰακώβῳ Τουσανῷ εὖ πράττειν.

Τί τοῦτο φής, ὦ φιλελεύθερε, οὕτως ἡδὺ καὶ μακάριον ἡ ἐλευθερία; καὶ σὺ νῦν ἐπιποθεῖς ἀπολωλυῖαν ἐκείνην ῥᾳστώνην, βαθεῖαν καὶ εὐδαίμονα, τὴν παρὰ τοῦ προτέρου εὐεργέτου σου; ἧς γνησία δ' ἂν εἴη μόνης σύντροφος ἡ γιγνομένη τε φιλοπονία, καὶ αὐτῆς ἔκγονος ἡ ἐμπειρία τῶν μαθημάτων. τοῦτο γὰρ βούλεται ἡ ἐπιστολή σου τελευτῶσα. ἀλλὰ μή ποτε, ὦ ἀγαθέ, οὐ τοῦτο ἦν τὸ σόν, ἐρασθῆναι πάντως ἐλευθερίας, ἀλλὰ μᾶλλον διατελεῖν ἀντεχόμενον ῥαθυμίας οὐκ ἐν δέοντι, πρὸς ἣν δυσαποσπάστως εἶχες πάλαι, ὡς μέμνημαι αὖθις πολλάκις ἐνθυμούμενος. σοὶ οὖν, ὦ δαιμόνιε, τὰ περὶ ἐμὲ ποῖά τινα εἶναι δοκεῖ, πάντων τῶν πρὸς τοῖς λόγοις ὄντων φιλησυχώτατόν τε καὶ σχολαστικώτατον, εἰ καὶ ἐμαυτῷ μόνῳ καὶ ταῖς μούσαις ἔφθην ἀεὶ ἐσχολακέναι δι' ἀτυχίαν. καὶ μὴν ἤδη τοῦτο τὸ ἔτος ἥμισυ πρὸς τοῖς τέτταρσιν, ἀπηρτημένῳ εἶναι συνέβη τῆς ἐρωμένης μοι φιλολογίας, πῆ μὲν ἀποδημοῦντι τὸ πλεῖστον μέρος, πῆ δὲ ἀπασχολουμένῳ καὶ πολυπραγμονοῦντι, οὐκ ἐξὸν ἐν τοσούτῳ διὰ τετάρτης γοῦν ἐνησυχάζειν τοῖς λόγοις. πόσον οὖν βεβαρῦνθαι ἡμᾶς ἡγῇ τόδε καινοτόμημα περί τε τὴν δίαιταν καὶ τὴν ἐπιτήδευσιν. θαυμαστὸν ἡλίκον δήπου.

GVLIELMVS BVDÆVS
IACOBO TVSANO
BENE AGERE.

AD quem finem iſtud ais, ô libertatis ſtudioſe, vſqueadeó ne ſuauis & beata res eſt libertas? Ac tu núnc ne concupiſcis perditã illam relaxationem, profundam & felicẽ, quam obtinebas apud eum qui priùs ſe tibi beneficum præbuit? Cuiꝰ ſolius libertatis coalumna eíque conueniens ſit induſtria, & eiuſdem filia experientia diſciplinarum. Id enim ſibi vult poſtrema tua epiſtola. Sed nunquam, ô vir bone, iſtud ſit tuum, prorſus libertatis amore incendi, verùm citiùs perſeueres adhærere affixúſque eſſe mollitiei intempeſtiuè, cui te inſeparabilem anteà præbebas, vt ipſe in memoriam reuoco multoties apud me perpendens. Tibi igitur, ô vir admirande, res meæ quales eſſe apparent omnium ſe literis deuouentium qui ſum tranquillitatis cupidiſſimus atque otioſiſſimus? Tametſi mihi ipſi ſoli ac muſis priùs ſemper in otio fui malignæ fortunæ ergò. Quinetiam iam hũc annum dimidium ſupra quatuor, mihi vſu euenit vt diſtraherer ab amica philologia, partim quidem peregrinanti maxima ex parte, partim verò detento multíſque negotiis inuoluto, cùm non liceat interim quarto quoque die ſaltem in politioribus diſciplinis conquieſcere. Quantùm ergo nos arbitraris graui & iniquo animo tuliſſe hoc recens inſtitutum & circa vitæ rationem & exercitationem? mirum in modum profectò.

Tibi porrò niſi poſthac in priſtinã relaxationẽ adducaris, minimè viuendũ eſſe videtur, vſqueadeò tu te applicuiſti bonis diſciplinis, ne quid atrocius dicam. Et verò nos te admirati ſumus, haud ſcio quàm moderatè præſentia quidem approbantem, & præterita deſiderãtem, & quaſi emorientem defleas eam quæ eſt in literario ſtudio ſuauitatem, à qua profectò tu pro derelicto haberis, me ſicuti aſſeris comprobante conſilium. Tu verò te dicturum eſſe rationem ipſe aiebas quum primùm nos conueneris. Nos autem alacri animo auſcultaremus te tuas excuſationes adferentem. Atqui, ô amantiſſime, quæſo per cælicolas, vide ne compeſriant pœnitentiam tuam qui ſunt circa priorem illum, virum mihi veluti compertum habes ſe beneuolum præbentem, aut te pœnitet innouationis, vel aliqua cupido enecans viuendi rationis deſertæ tenet te. Nec enim effugiemus ego quidem ac tu quin ludibrio habeamur affatim ab eo, & torpori obnoxij ſimus. Etſi quidem moleſtiã hanc rei inſuetæ temporis opportunitate opinor procedente tibi hilarem fore, quãdoquidem & agreſtia ſolent manſuefieri ac cicurari ſi palpantur, & dura porrò ac immitia miteſcere. Quod quidem tu formidare ais, ne exiguo temporis interuallo incipias immemor eſſe eorum quę laborioſè didiciſti, iſtud profectò facetè dictum fuiſſe à te

σοὶ δὲ ἢν μὴ εἰς τὴν πρότερον πάλιν ῥᾳστώνην καταστῇς, οὐ βιωτὸν εἶναι δοκεῖ, οὕτω τοι σὺ προσέστηκας τοῖς καλοῖς μαθήμασιν, ἵνα μὴ δυσχερέστερόν τι λέγω. καὶ μὴν δὴ καὶ σοῦ ἐθαυμάσαμεν ἡμεῖς, οὐκ οἶδ᾽ ὅπως τὰ παρόντα ἐπαινοῦντος ἐπιεικῶς, διὰ πόθου δὲ τὰ παρῳχημένα ἄγοντος, καὶ οἱονεὶ καταιχομένην διαπενθοῦντος τὴν ἀμφὶ τὴν φιλολογίαν ἡδυπάθειαν, ἧς δὴ σὺ τυγχάνεις ἀφειμένος, ἐμοῦ ὡς φῂς συγκαταινοῦντος τὴν βουλήν. σὺ μὲν οὖν λέξειν αὐτὸς αἰτίαν ἔφης ὅταν πρῶτον ἐντύχῃς ἡμῖν. ἡμεῖς δὲ ἡδέως ἂν ἀκροώμεθα δικαιολογουμένου. ἀλλ᾽ ἄγε μὴν ὦ φίλτατε πρὸς τῶν ἐπουρανίων, ὅπως μὴ αἰσθήσωνται τῆς μετανοίας τῆς σῆς οἱ περὶ τὸν πρότερον ἐκεῖνον, ἄνδρα μοι ὡς οἶσθα εὐνοϊκῶς διακείμενον, ἤ τι μεταμέλει σοι τῆς μεταβολῆς, ἢ πόθος τις ἀποκναίων ἔχει σε τῆς διαίτης ἐγκαταλελειμμένης. οὐ γὰρ ἂν φθάνοιμεν ἔγωγε καὶ σὺ καταχλευαζόμενοί τε κατακόρως ὑπὸ τούτου, καὶ ἀναισθησίαν ὀφλόντες. καίτοι γε τὸ ἐπιβαρὲς τόδε τοῦ ἀήθους τοῦ χρόνου ἡγοῦμαι προϊόντος σοι κουφίζεσθαι, ἐπείτοι τὰ ἄγριά τε φιλεῖ ἡμεροῦσθαι ψηλαφώμενα, καὶ τὰ δεινὰ δὲ καὶ σκληρὰ μαλάττεσθαι. ὃ μέντοι σοι εὐλαβεῖσθαι φῂς μὴ ἐν βραχεῖ φθάσῃς ἐπιλαθέσθαι ὧν μεμάθηκας ἐπιπόνως, τοῦτο δὴ πεπαῖχθαι ὑπὸ σοῦ.

νομίζομεν. ὥγε ἡμεῖς συνίσμεν οὕτω προσλιπαρῆ σπουδὴν ὑπάρχειν ἐν ἑκατέρᾳ τῶν γλωττῶν, ὥστε οὐκ ἔστι σοὶ δήπου προστυγχάνειν οὐδένα, μὴ βιβλίον τι τῶν δοκίμων τε καὶ χαριέντων ἐν χερσὶν, ἢ ὑπὸ μάλης ἔχοντι. οὕτω δὲ τῆς ἀποδημίας ἀπολαύσαις ταύτης ἐπ' ἀγαθῷ, ἣν ὁ πάτρων ὁ σὸς ὃν σύ γε εὐγνωμόνως χρηστότητός τε καὶ εὐνοίας ἐπαινεῖς, τῆς αὐλῆς ἀκολούθων γίγνοιτο, ὥσπερ τοῦτο διεγνῶσθαι τυγχάνομεν ἀκηκοότες. ἀμέλει καὶ τῶν σπουδαίων τινὲς συνεξετάζονται τοῖς ἐνταῦθα ἐνδεικνυμένοις τε, καὶ πελάταις ἐκείνης τῆς δαιδαλουργοῦ τῆς κοσμούσης τοὺς ἄνδρας. εἷς ὁμιλεῖν σοι ἐξέσται καὶ ἐντίμως ἔσθ' ὅτε συνδιατρίβειν. ὃ δὴ ἐνάμιλλόν μοι διάθεσιν πρὸς τὴν φιλολογίαν πολλάκις ἀποκατέστησέ τε καὶ ἀνεζωπύρησεν, ὅσα γε τά τε τῆς λειτουργίας τῆς ἐμῆς εἴα, καὶ τὰ τῆς θεραπευτικῆς μεθόδου οὐκ ἀνθεῖλκεν. ἃ δὴ ἄμφω μοι τὸ δίμοιρον ὑφαιρεῖται τοῦ καιροῦ, ὧν σοὶ ἄδεια ἔσται παντελής. ἔρρωσο, καὶ διατέλει ξενίζων πρὸς ἡμᾶς, καὶ ἀσκῶν τὸν χαρακτῆρα εὐτυχῶς. ἐν Λουγδούνῳ, ὅπου νῦν ἡ αὐλὴ διατρίβει, ἐπώνυμος τῆς ἀγαυῆς κυρίας τῆς ἀντιβασιλευούσης, ἀποδημοῦντος τοῦ βασιλέως, καὶ εἰς τοὺς Ινσουβρίους εἰσβεβληκότος. νοεμβρίου μηνὸς ἕκτῃ ἐπὶ δέκα.

putamus. Cui quidem nos conſcij ſumus ita aſſiduũ ſtudiũ adeſſe in vtraq. linguarũ, vt nõ liceat vtique quenquam ſe tibi offerre, volumen quoddam probatum & elegans in manibus vel ſub ala minimè habenti. Sed hoc modo iſta peregrinatione fruereris cauſa boni, ſi patronus ille tuus, quẽ tu quidẽ candidè benignitatis necnon beneuolentiæ cauſa laudibus exornas, aulæ aſſeclarum eſſet, quemadmodum ab eo ſtatutum eſſe accepimus. Denique etiam è ſtudioſis nonnulli cooptãtur inter eos qui hîc iactabundè in publicum prodeunt, miniſtrique ſunt illius ſolertis cum ornatu extollentis viros. Cum quibus verſari tibi facultas erit & honorificè aliquoties eorum conſpectu frui. Quod profectò æmulam mihi affectionem erga literarum ſtudium ſubinde reſtaurauit atque excitauit, quatenus meũ munus ſinebat, & officioſa ratio minimè diſtrahebat. Quæ certè ambo mihi partem duplicem tempeſtiui temporis auferunt, quorũ tibi facultas erit integra. Vale, ac perſeuera peregrina lingua vti apud nos, & fortunatè ſtilum excolere. Lugduni, vbi nunc aula cõmoratur, nomen referens inſignis dominæ pro rege imperantis, peregrè agente ipſo, & Inſubres inuadente. Nouembris menſis ſexto ſupra decem die.

GVLIELMVS BVDÆVS CLODIO ROBERTETO BENE AGERE.

ANimo voluẽti mihi tuam fratríſque ſorté, ô Clodi amabilis, vos fortunatos iudicare ſubit & eius electionis gratia quam habere perſeueratis, & parentum veſtrorum. Quibus profectò ambobus placuit, vt intellexi ipſos conueniẽs nihil eſſe apud vos præſtantius doctrina bilingui, cuius beneficio nũc quidem gaudetis ac bono animo eſtis eam inſuper vobis acquirentes vltra facultates ab ipſis hactenus partas & opiparas, & prædia multos prouentus habentia, quæ quidem vos eſtis hæreditario iure conſequuturi. Hodie ſanè quidem pranſus ſum in patris veſtri diuerſorio. Recreor enim in eius ædes ventitans, erga ipſum ſolum penè ex his qui verſantur in aula ego ipſe officioſè animatus, quippe qui obſequioſè beneficium conferre ſoleat, neque diſſimulatione ſupplicibus illudere, quemadmodum cõſueuerunt permulti primas partes obtinentes in hoc aſtutorum cœtu, apud quos ego ob id me faſtidientem & auerſum gero. Quinimo pater veſter poſt prandium confeſtim ſurgens, & permagnum quendam faſciculum literarum repoſitarum expromens, eas ſuper menſam adferens expoſuit, nihil tale nobis ſperãtibus, nec animaduertentibus quod ab ipſo factum eſt. Quoad vſque porrigeret ve-

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ Κλωδίῳ Ροβερτήτῳ εὖ πράττειν.

ΛΟγιζομένῳ μοι τὴν τύχην τὴν σὴν καὶ τὴν ἀδελφοῦ, ἀξιέραστε Κλώδιε, μακαρίζειν ὑμᾶς ἔπεισι ταύτης τε τῆς προαιρέσεως ἧς ἔχοντες διατελεῖτε, καὶ τῆς τῶν γονέων ὑμῶν. οἷν δὴ ἀμφοῖν συνέδοξεν, ὡς ᾐσθόμην προσδιαλεγόμενος αὐτοῖς, οὐδὲν εἶναι προτιμητέον ὑμῖν τῆς παιδείας τῆς διγλώσσου, ἧς νῦν ὑμεῖς γε προσπορειζόμενοι χαίρετε ἐπὶ τοῖς κεκτημένοις ὑπ' αὐτῶν μέχρι τοῦδε κτήμασί τε πολυτελέσι, καὶ χωρίοις πολυπροσόδοις, ἅπερ ὑμεῖς ἐστὲ οἱ κληρονομήσοντες. ἐφθάκειν μὲν οὖν τήμερον δειπνήσας ἐν τῷ τοῦ πατρὸς ὑμῶν καταλύματι. ἥδομαι γὰρ εἰς τοῦτον φοιτῶν, πρὸς μόνον αὐτὸν σχεδὸν τῶν κατὰ τὴν αὐλὴν θεραπευτικῶς αὐτὸς διακείμενος, ὡς χάριτας δήπου χαρίζεσθαι χαριέντως φιλοῦντα, μηδὲ εἰρωνείαις τοὺς δεομένους φενακίζοντα, ὥσπερ εἰώθασιν οἱ πλεῖστοι τῶν τὰ πρωτεῖα εἰληχότων ἐν τῇδε τῇ κερκώπων ἀγορᾷ, πρὸς οὓς ἐγὼ διὰ τοῦτο ἀπεστραμμένως ἔχω. ἀλλὰ μὴν ὁ πατὴρ ὑμῶν μετὰ τὸ δεῖπνον εὐθέως ἐξαναστὰς, καὶ παμπληθῆ τινὰ δεσμὸν προχειρισάμενος γραμμάτων τῶν ἐναποτιθεμένων, ταῦτα ἐπὶ τῆς τραπέζης ἐνεγκὼν ἐξέθηκε, μηδὲν ὑμῶν προσδοκώντων τοιοῦτο, οὐδ' ἐνθυμουμένων τὸ ὑπ' αὐτοῦ γεγονός. ἕως οὗ ἐγχειρίζοντος ταῖς ὑμε-

τέρας ἐπιστολὰς, ἐγνώκειν παρὰ χρῆμα
ἐκ τῶν ἐπιγεγραμμένων, τὸ αὐτόγρα-
φον τὸ ὑμέτερον. ἠβουλήθη γὰρ, οἶμαι,
ταῦτα τὰ γράμματά με διελθόντα, κα-
ταμανθάνειν εἰς ὅσον προκοπῆς ἐπιδώ-
κατε ἐξ ὅσου αὐτόθεν ἀπήρτηται ἡ αὐλι-
κὴ θεραπεία. ἐγὼ μὲν οὖν πάντα ταῦτα
διαναγνοὺς ἡδέως, ἔνια δὲ καὶ προσα-
ναγνοὺς, ἠγάσθην μὲν ὑμῶν τὸ ἀξιόμα-
χον τῆς εὐμαθίας, ὡς ἐναμίλλως δῆθεν
φιλοπονούντων. ὑπερεχάρην δὲ ἐπὶ τῷ
προκεχωρηκότι ὑμῶν λαμπρῷ τε καὶ
καταφανεῖ, ὃ δὴ τὴν εὔκλειαν ἐκείνην τὴν
πάνυ εἰκότως ἂν αὐξήσειν δοκοίη ἐν τῷ
ὕστερον χρόνῳ, ἣν ὑμῖν οἰκείαν τε καὶ
ἰδίαν κέκτηνται τὰ τοῦ φύσαντος ὑμᾶς κα-
τορθώματα, τοῦ πάντας τούς τε συνεξε-
ταζομένους αὐτῷ, καὶ τοὺς τὰ αὐτὰ λειτουρ-
γοῦντας λειτουργήματα, λαμπρῶς πα-
ρευδοκιμήσαντος. οὐ μόνον δὲ, ἀλλὰ καὶ
τοὺς πώποτε. φέρε δὴ, ὦ λῷστε, ἀπρὶξ πε-
ριέχου ἧς ἔτυχες ἀφορμῆς, ἐξὸν τῇδε τῇ
ἡλικίᾳ χρῆσθαί σοι τῇ οἰκουρητικῇ, ἁπα-
σῶν τε τῶν λειτουργιῶν οὔσῃ καὶ τῶν ἀνα-
σχολημάτων ἀτελεῖ. σοὶ γὰρ τὰ πρῶτα
τῆς εὐδοξίας προσήκει τῆς οἰκείας, ᾧ γε
καὶ τὰ πρεσβεῖα τῶν πατρῴων ἐπιβάλλει.
ἐνθυμήθητι οὖν ὡς ἡ εὐκαιρία οὐκέτι
ὁμοίως ἑαυτὴν ἐνδώσει σοι ποθοῦντι,
ὁπόταν εἰς ἄλλο μεταβῆτε ἐπιτήδευμα
τοῦ βίου, ὃ ἀπὸ τοῦ πα-

ſtras epiſtolas, cognoui protinus ex inſcriptionibus, id quod veſtra manu ſcriptū erat. Voluit enim, ni fallor, eas literas me percenſentem perſpicere ad quantum progreſſum proceſſiſtis ex quo tempore iſtinc diſtractus eſt aulicus comitatus. Sanè quidem has omnes vbi legiſſem alacri animo, quædam porrò etiam inſuper recitans, cum admiratione quidem commendaui æqualitatem veſtræ in diſcendo facilitatis, quandoquidem cum æmulatione vehementem literis diligentiam adhibetis. Sed magnopere lætatus ſum propter veſtrum progreſſum elegantem atque apertum, qui ſanè ſplendorem illum illuſtrem ritè amplificaturus eſſe videtur in ſubſequenti tempore, quem vobis familiarem atque proprium acquiſiuerunt genitoris veſtri memorabilia facta, qui cunctos ab iiſdem ſecum partibus ſtātes, & iiſdem muneribus occupatos, conſpicua ſui commendatione ſuperat: neque hos ſolùm, verumetiam futuros. Agedum, ô optime, ſtrictè animum intendas opportunitati cuius tibi facta eſt poteſtas, quū permittatur tibi vti hac ætate domi ſe continēte, & quæ eſt omnium miniſteriorum & occupationum immunis ac vacua. Tibi enim primæ partes exiſtimationis domeſticæ congruunt, ad quem etiam iura primigenia patrimoniorum ſpectant. Itaque animaduertito quemadmodum opportuninitas haud in poſterum conſimili ratione ſeipſam tibi affectanti condonabit, quandocunque in aliud deflectetis vitæ inſtitutum, quod à pa-

tre omni bonitate cumulato dirigetur. Quandoquidem occaſio ab hominibus ſicuti noſti, ſpreta, naturali propenſione comparata eſt vt confeſtim abiens properet poſtea minimè reditura eadem pœnitẽtia motis. Vale, & felix eſſe perſeuerato. Turnoni, quod eſt oppidulum Allobrogũ, Octobris menſis viceſimo die.

CLODIO ET FRANCISCO ROBERTETIS.

SCripſi equidem, ô elegãtes adoleſcentuli, hoc ipſo die ſermone quidem ſalutationéque alteri tantummodò veſtrûm, reuera autem & potentia vobis ambobus equidem mihi conſcius eram ſcripſiſſe. Hanc porrò epiſtolam præripuit in marſupio eam tenẽti mihi occurrens vir quidem & vobiſcum habens familiaritatem, & maiori ex parte profectò ſimul verſans cum veſtris parentibus, mihi autem & notus pridem & ſe mihi beneuolum præbens. Curcullus eſt virque probus, & vnus eorum qui circa rerum domeſticarum diſpenſationem in regiis, & in eadem ſimul præſunt. Idem ex hoc congreſſũ alia quædam enarrans denique interrogauit, vt certè mos eſt in tali negotio, vis tu, inquit, ô amice, aut iubes aliquid ad quempiam commorantium in aula? ego verò dixi ad neminem quidem ſimul oberrantium cũ aulico comitatu quicquam ſcripſerim. Ad meos autem

τοῖς τοῦ παντάγαθου ποδηγηθησομένου. ἐπεί τοι ἡ ἀφορμὴ ἡ παρ' ἀνθρώπων ὡς οἶσθα, παρημελημένη, ἀθέως πέφυκεν οἰχομένη παραδραμεῖν, εἶτ' οὐκ ἐπανήξουσα ἡ αὐτὴ τοῖς μεταμελομένοις. ἔρρωσο, καὶ εὐτυχῶν διατέλει. ἐν Τύρνωνι πολιχνίῳ τῶν Ἀλλοβρόγων, ὀκτωβρίου μηνὸς δεκάτῃ ἐπὶ δέκα.

ΚΛΩΔΙΩ ΚΑΙ ΦΡΑΓΚΙΣΚΩ τοῖς Ροβερτήτοις.

ΕΤύγχανον μὲν, ὦ κομψὼ μειρακυλλίω, ταυτησὶ τῆς ἡμέρας, τῷ μὲν λόγῳ καὶ τῇ προσηγορίᾳ, γεγραφὼς ἑτέρῳ μόνον ὑμῶν, τῇ δὲ ἀληθείᾳ καὶ τῇ δυνάμει ἀμφοῖν ὑμῖν ἔγωγε συνῄδειν μοι γράψαντι. ταύτην μέντοι τὴν ἐπιστολὴν προειλήφει ἐν τῷ βαλαντίῳ ἔχοντί μοι ἐντυχὼν, ἀνὴρ μὲν ὑμῖν τ' ἔχων οἰκειότατα, καὶ πλεῖστα δὴ χρησάμενος τοῖς ὑμετέροις τοκεῦσιν, ἐμοὶ δὲ γνώριμός τε πάλαι καὶ εὐνοϊκῶς ἔχων. Κούρκελλος οὗτός ἐστιν ἀνήρ τε ἀγαθὸς, καὶ τῶν κατὰ τὴν οἰκονομίαν ὢν τὴν ἐν τοῖς βασιλείοις, καὶ τῶν ταύτης συνεπιστατῶν. οὗτος ἐκ ταύτης τῆς ἐντεύξεως ἕτερ' ἄττα διαλεξάμενος, τελευτῶν ἐπύθετο ὡς δὴ φιλεῖ ἐν τῷ τοιούτῳ, βούλει σὺ, ἔφη, ὦ φίλε, ἢ κελεύεις τι ὡς τινα τῶν συνδιατριβόντων τῇ αὐλῇ; ἐγὼ δὲ, πρὸς μὲν, ἔφην, οὐδένα οὐδὲν ἐπιστείλαιμ' ἂν τῶν συμπερινοστούντων τῷ αὐλικῷ. ὡς δὲ

τοὺς

τοὺς Ῥοβερτήτους πρὸς ἐμοὺς τήμερον ἐπιγράψας ἔχω γράμματα, ἅ τινα Θεοκρίνῳ τῷ τούτων καθηγουμένῳ ἐπιδώσειν μοι δοκῶ, τούτῳ ὡς οἶμαι συναριστήσων. ταῦτα δὴ φήσας, τὴν ἐπιστολὴν μεταξὺ προεχειριζόμην ἐφ' ᾧ ποιεῖν τοῦτο τὸ εἰρημένον πιστόν. ὁ δ' ἔφη λαβὼν παραυτίκα, κομίσασθαι αὐτὸς φάσκων. τοῦτο μὲν οὖν τῷ τε Θεοκρίνῳ παρὰ τὸ ἄριστον διηγημένος, ἅμα τε προφασιζόμενος τὸ παράδοξον τοῦ πράγματος καὶ τὸ ἀπρονόητον, ὡς τάχιστ' ἐπὶ τούτῳ ἀγανακτοῦντα ᾔσθημαι τοῦτον, εἰ ἀγραμμάτῳ ἐπανήκειν παρ' ἡμῶν ὡς ὑμᾶς ὑπάρξῃ αὐτῷ, ἄλλως τε τὴν παρ' ὑμῶν ἐπιστολὴν πρότερον ἐπιδεδωκότι μοι, μὴ δῆτ', ἔφην, ὦ δαιμόνιε, μὴ ἀχθέσθητι σύγ' ἐπὶ τούτῳ. πάλιν γὰρ εἰ δοκεῖ ἐπιστελῶ. εἰ δὲ σὺ βούλει, καὶ τὸ τρίτον δὴ ἐγὼ προσεπιστέλλειν οὐκ ἀναίνομαι, ἀμέλει τούτοις γράφων χαίρω τοῖς μειρακίσκοις, ὡς οὐκ οἶδ' εἰ τισὶν ἄλλοις. αὖθις μὲν οὖν ὑμεῖς ἔρρωσθόν τε καὶ καλῶς διατελεῖτον προκόπτοντε ἐν καλλίστῃ τῶν παιδειῶν. ἴστον δὲ σφὼ τοῦτο ποιοῦντε, πάντας αὐτὼ παρευδοκιμήσοντε τοὺς σφῶν ἡλικιώτας. προσειρῆσθαι μοι πάλιν οἱ ἄριστοι σφῶν γονέες.

Robertetos hodie quas ſcripſi habeo literas, quas Theocreno horũ moderatori ferendas daturus ſum vt mihi certum eſt, cum eo vt opinor pranſurus. Hæc profectò vbi dixiſſem, interim epiſtolam exprópſi vt facerẽ id quod à me dictum erat firmum & ratum. Ille autem confeſtim eam ſumpſit, perlaturũ eſſe aſſeuerãs. Atqui iſtud & Theocreno poſt prandium commemorans, ſimúlque in excuſationem adferens rei inſolentiam & improuidentiam, quum primùm ea de cauſa ſtomachantem hunc intellexi, ſi eidem literis priuatus à nobis ad vos redire obtingeret, præſertim à vobis epiſtolã cùm anteà mihi tribuiſſet, ne omnino dixi, ô vir admirande, ne offendaris tu quidem ob id. Nam iterum ſi videtur ſcribam. ſi porrò tu vis, etiam tertiò certè ego inſuper ſcribere non recuſo, videlicet lætitia afficior ad hos ſcribens adoleſcentulos, vt ignorem ſi ad quoſdam alios. denuo vtique valete vos atque honeſtè progredimini in optima diſciplinarum. Sed ſcitote vos iſtud facientes omnes nominis ſplendore ſuperaturos eſſe veſtros coætaneos. Salutentur per me rurſum optimi veſtri parentes.

ΦΡΑΓΚΙΣΚΩ ΡΟΒΕΡΤΗΤΩ.

Συνέβη μοι τήμερον πρᾶγμα κεχαρισμένον προστυχόντι τῷ πατρὶ τῷ σῷ, ἀνδρί μοι καὶ πᾶσι τοῖς χρηστοῖς

FRANCISCO ROBERTETO.

HOdie mihi vſu euenit res iucũdiſſima cùm occurrerẽ patri tuo, viro mihi & omnib. probis

ſemper & vbique comi atque blãdo. Nam ſimulatque eum ego ſalutaui, & ex aduerſo ſalutatus rurſum ab ipſo pro vt amicum decet, duplices epiſtolas expromere cœpi Græcè à me conſcriptas, & illi ad vos dare. Nam ita me facturum eſſe promiſerã. Ille porrò tuam ſubridens epiſtolam & candidus retribuit. Quinetiam quod mihi obtigit quidem inopinatum improuiſúmque erat, compar verò apparens permutantibus, mutuã de ſe ſuſpicionem habentibus, quum manus alterna vice extendunt apprehendúntque æquali iunctura procedẽtes. Nec enim accepi tuam equidem, quin proponerem meas concredere. Enimuerò à diei media parte eramus circa obſequium aulicum, in penitiſſimo abditiſſimóque ampliſſimæ reginæ cubiculo, quæ quidem, ſicuti noſti, abſente rege omnia ſuo arbitrio adminiſtrat & moderatur, officioſè quidẽ admodum vice filij & ex animi ſententia imperij ſummam obtinens: iſtic iterum nos conueniens egregius pater tuus, & admodũm in liberos pio animo ſuffuſus, de hac ipſa epiſtola, continuò petiuit à me præſentibus non paucis primæ conditionis aulicis, & vt eam ediſſererem, & ad verbum traducerem. Fuit itaque res inſtar lepidiſſimæ veriſimiliſque narrationis his qui præſtò erant, cunctis quidem applaudentibus propterea quòd peregrino ſermone vtendo proſperè cõfidere videris. Sed progenitore

πάντοτε καὶ πάντη εὐαπαντήτῳ τε καὶ ἡδεῖ. ὡς γὰρ τάχιστα προσαγορεύσας τοῦτον ἐγώ, καὶ ἀντιπροσειρημένος αὖ ὑπ' αὐτοῦ φιλοπρεπῶς, ἔφθην ἐπιστολὰς διττὰς προχειρίσασθαι ἑλληνιστὶ ὑπ' ἐμοῦ συντεταγμένας, καὶ ἐκείνῳ πρὸς ὑμᾶς ἐπιδοῦναι (οὕτω γὰρ ποιήσειν ἐτύγχανον ἐπηγγελμένος) ὁ δὲ τὴν σὴν ὑπομειδιῶν ἐπιστολὴν καὶ φιλόφρων ἀντεπέδωκε· καὶ μὴν τὸ γεγονός, ἐμοὶ μὲν ἦν παράλογον, παρόμοιον δὲ δοκοῦν τοῖς τῶν ἀνταλλασσομένων, ἀλλήλοις δι' ὑποψίας ἔχουσιν, ὅταν τὼ χεῖρε ἐναλλὰξ ὀριγνύωσιν ὁμαλίζοντες. οὐ γὰρ ἔφθην εἰληφὼς τὴν σὴν ἔγωγε, προελόμενος τὰς ἐμὰς ἐγχειρίσαι. ἀλλὰ μὴν ἀπὸ μεσούσης ἡμέρας ἐτυγχάνομεν ὄντες περὶ τὴν θεραπείαν αὐλικήν, ἐν τῷ ἐνδοτάτῳ τῆς ἄγαν δεσποίνης οἰκίσκῳ, ἥτις, ὡς οἶσθα, ἀποδημοῦντος τοῦ βασιλέως πάντ' αὐτοκρατόρως διέπει, δεξιῶς γε πάνυ ἀντὶ τοῦ υἱοῦ καὶ κατωρθωμένως πρυτανεύουσα. ἐνταῦθα πάλιν ἐντυχὼν ἡμῖν ὁ καλὸς πατὴρ ὁ σός, καὶ λίαν φιλόστοργος, περὶ τῆς αὐτῆς ἐπιστολῆς, εὐθὺς ἠξίωσεν ἐμὲ παρόντων οὐκ ὀλίγων τῶν τῆς πρώτης τάξεως αὐλικῶν, ἐπελθεῖν τε ταύτην, καὶ κατὰ λέξιν μεθερμηνεῦσαι. ἐγένετο μὲν οὖν τὸ πρᾶγμα αὐτοῖς ἡδίστου καὶ πιθανοῦ ἀκροάματος τοῖς παραγινομένοις, ἐπικροτούντων μὲν πάντων ἐφ' οἷς ξενίζων ἐπιτυχῶς τεθαρρηκέναι δοκεῖς. πατρὸς δὲ

γεγηθότος τε καὶ ἀποδεχομένου τὸ γενναῖον τῆς προθυμίας. ἡμῖν δὲ ἐν δέοντι τὸ καὶ τὸ προσεπαινούντων τῶν γεγραμμένων, ὡς παρ᾽ ἡλικίαν δήπου νεανικῶς ἀποτετολμημένα. ὃ δὴ μάλιστα βουλομένοις τε ἡμῖν, καὶ τῷ πατρὶ συνευφραινομένοις ἦν ἐπὶ ταύτῃ τῇ εὐδοξίᾳ τῇ σῇ, τῇ γε εἰς τὸν καθηγεμόνα τὸν σὸν τὸ πολὺ μέρος ἀνηκούσῃ, σοῦ μέντοι εὐγνωμόνως ἀπονέμοντος πάντ᾽ ἐκείνῳ. καὶ ταῦτα μέντοι μέχρι τούτου ἐγνωρίσθω σοι. τὰ δὲ ἐφεξῆς εἰς τὸ μέλλον ἀναβεβλήσθω. Ἐν δὲ τούτοις καὶ τὰ περὶ ἐμῆς ἐνταῦθα διατριβῆς πεφιλοσοφημένα σοι, σχεδόν τι τὴν παρὰ Λουκιανῷ τῷ σοφιστῇ δεξιῶς παρῳδηθέντα. ἀποχρήσεται γὰρ ἂν ταῦτα ὅτε τύχῃ εἰς ἄλλης τινὸς ἐπιστολῆς γιγνόμενον μέγεθος. ἔρρωσο, ἐν Λουγδούνῳ.

lætitia ſuffuſo necnon commendante generoſitatem expeditæ tuæ alacritatis. nobis porrò opportunè hoc & illud ex his quæ ſcripta erãt collaudantibus, veluti vltra ætatem nimirum ſtrenuè per fiduciam ſuſcepta. Quod profectò maiorem in modum & nobis arridebat, & his qui gaudio afficiebantur cum patre tuo, propter hanc tuam gloriam, ad moderatorem quidem tuum magna ex parte ſpectantem, quanquam te candido animo attribuente & adſcribente illi omnia. Et hæc quidem huc vſque comperta tibi ſint: quæ porrò deinceps ſubſequentur in futurum reiiciantur. Ad hæc de mea hîc exercitatione à te philoſophicè tractata, eruditè ad excitandum riſum deſcripta ſunt ex his quæ ſcribuntur apud Lucianum captioſum artificem. Hæc enim ſint ſatis quum fors fortuna tulerit ad alterius cuiuſdam epiſtolæ legitimam magnitudinem. Vale, Lugduni.

ΦΡΑΓΚΙΣΚῼ ΡΟΒΕΡΤΗΤῼ.

ΤΑ καθ᾽ ὑμᾶς ἐγὼ ὀρθῶς ἔχοντα ἐγνωκώς, καὶ καλῶς φερόμενα, θαυμασίως πως ἥσθην. χθὲς οὖν τοὺς γονεῖς τοὺς ὑμετέρους διὰ πολλοῦ ἐπισκεψάμενος, πρὸς οὓς δή, ὡς οἶσθα, ἔγωγε πρόπαλαι φιλικῶς διάκειμαι, αὐτίκ᾽ ἔμαθον ὑμᾶς, τοῦτο μὲν ὑγιείας εὖ ἔχοντας, τοῦτο δέ, πόρρω που προβεβηκότας παιδείας τε δοκίμου, καὶ τῆς ἐπιδόσεως τῆς κατὰ τὴν καλλιλογίαν. ὃ δὴ ἐπέρρωσέ μοι τὴν πίστιν

FRANCISCO ROBERTETO.

RES veſtras ego benè ſe habere cùm norim vóſque proſpera frui valetudine, mirum in modum lætitia ſum perfuſus. heri igitur parentes veſtros cùm ex longo interuallo viſitaſſem, erga quos certè, vt tibi compertum eſt, equidem iampridem me beneuolum gero, ex templo percepi vos tum ſanos & incolumes eſſe, tum longè prouectos doctrináque probata, & incremẽto facultatis bene dicẽdi. Quod profectò confirmauit mihi fidem

eorum quæ reſciueram. Ac proinde multus erat apud omnes ſermo vehementis induſtriæ ſtrenuitatíſque veſtræ, politioribus diſciplinis nimirum cùm ſufficienter adhæſeritis, ex quo quidem tempore vos cœpit docere vir ad iuuenum educationem fauſtus & ambidexter admodum & in tractandis artibus curioſus, egregius doctúſque Theocrenus: nunc quidé liberorum regis curam habens, & eos erudiens honeſtè, quoad licet per ætatem adhuc puerilem. Quinetiam quantum in nobis ſitum fuit vbi equidem à nonnullis accepi, diſertè quidem & ornatè narrantibus, præterea tanquam magnum quoddam probæ indolis miraculum ſubinde admirantibus alterum è fratribus tuis minorem natu alacríque animo admittebam ſermonem, & aſſentiebar vltrò iſta commemorantibus. meritò, quippe qui multo antè tempore conſpexeram felicem quidem veſtram ſolertiam amborum, tibi nihilominus magis propriũ donum naturæ eximiæ, ac ſuperãtis mediocria, nedum triuialia. Cuius comes eſt & auxiliatrix ingenij alacritas, in præclaris necnon laudabilibus rebus ſolers generoſè ac magnificè. Iſtis ſanè quidem dotibus prouidentiæ vtinam iuueris tu, ô dilectũ mihi caput. Quod potiſſimum dei benignitate fiat tibi luculentè gratificantis. Ad hæc verò etiam propter te tuámque conſtantiam, ſi in inſtituto vt pote bonarum literarũ

ὧν ἐπίσχομον ἀκούσας. καὶ γάρ τοι πολὺς ἦν παρὰ πᾶσι λόγος τῆς ἄγαν φιλοπονίας ὑμῶν, τοῖς λόγοις δήπου προσαποδοθέντων ἐπιεικῶς, ἐξ ὅσου γε χρόνου σφῶν ἔφθη καθηγεῖσθαι ἀνὴρ εἰς τὴν νέων παίδευσιν ἀμφιδέξιος ἐν τοῖς πολὺ καὶ ἀκριβολογητικός, ὁ καλὸς καὶ λόγιος Θεόκριτος. ὁ νῦν μὲν τὰ φίλτατα τοῦ βασιλέως ἐπιτετραμμένος καὶ διαπαιδαγωγῶν ἐντίμως, κατά γε τὸ ἐγχωροῦν τῆς ἡλικίας ἔτι νηπιαζούσης. καὶ μὴν καὶ τὸ καθ' ἡμᾶς ἀκηκοὼς ἔγωγε τινῶν, πιθανῶς τε καὶ κομψῶς ἀπομνημονευόντων, καὶ δὴ καὶ ὡς μέγα τι χρῆμα εὐφυΐας μεταξὺ ἀγαμένων θάτερον τῶν ἀδελφῶν σου ἥττω τὴν ἡλικίαν, ἀσμένως τε ἐνδεχόμενον τὸν λόγον, καὶ συγκατατιθέμενον ἑκὼν ταῦτα διηγουμένοις. εἰκότως, ὅς γε πρὸ πολλοῦ καθεωρακὼς εἴην εὐδαίμονε μὲν σφῶν τὼ δεινότητε τοῖν ἀμφοῖν, σοὶ μέντοι ἰδιαίτερον τὸ πλεονέκτημα φύσεως ἐξαιρέτου, καὶ προεχούσης τῶν μετρίων, μήτι γε δὴ τῶν πολλῶν. ἧς ἀκόλουθός ἐστι καὶ συμβοηθὸς ἡ εὐψυχία, τῶν καλῶν τε καὶ ἐπαινετῶν ἐγχειρητικὴ γενναίως καὶ πεφρονηματισμένως. τούτων μὲν οὖν τῶν δωρεῶν τῆς προνοίας ὄναιο σύ, ὦ φίλη μοι κεφαλή. ὅπερ δὴ μάλιστα διὰ θεὸν γένοιτό σοι λαμπρῶς χαριζόμενον, ἔπειτα δὲ καὶ διά σε καὶ τὴν σὴν εὐστάθειαν, ἣν ἐπιτετηδευμένῃ δῆθεν τῇ τῶν καλῶν λόγων

σπουδῇ, μέχρι μὲν τοῦ ἱκανοῦ καὶ δέοντος, τό γε ἐπὶ σοὶ, ἐναπομείνῃς, τῆς δὲ φιλολογίας ἔρωτα διὰ βίου εὐθύμως τε καὶ εὐγνωμόνως θεραπεύσῃς. ἔρρωσο, ἐν Τύρνωνι πόλει τῶν Ἀλλοβρόγων, ὀκτωβρίου μηνὸς δεκάτῃ ἐπὶ δέκα.

ſtudio, vſque ad ſufficientiam & id quod fieri neceſſum eſt, quantum in te ſitum eſt, perſiſtas, ſtudij porrò literarij deſiderium in totius tuæ vitæ curriculo hilariter atque candidè obſerues. Vale, Turnoni, quæ ciuitas eſt Allobrogum, Octobris menſis die viceſimo.

ΓΟΥΛΙΕΛΜΟΣ Ο ΒΟΥΔΑΙΟΣ

Κλωδίῳ Ῥοβερτήτῳ εὖ πράττειν.

Διελθόντι μοι τὴν ἐσχάτην ἐπιστολὴν τῶν ἐμοὶ ὑπό σου ἀντιγραφεισῶν, τὴν ἑλληνίζουσαν φημὶ ἐκείνην, θαυμάζειν δὴ παρέστη μέγα τι χρῆμα εὐμαθίας τε τῆς σῆς, καὶ εὐδαίμονος εὐχερείας τοῦ χαρακτῆρος. ἐνῆν γὰρ ἐν τῇ συναφείᾳ τῶν γεγραμμένων καλλιλογία σχεδὸν ἢ ἐπηνωρθωμένη, οὐδὲ μώμῳ φασὶν αὐτῷ, ὥς γ' ἐστὶν ἡ ἡλικία, εὐεπίληπτος. καὶ μὲν δὴ πρὸς ταύτην, εἴτ' εὐφυΐαν, εἴτ' εὐτυχίαν δεῖ καλεῖν τὴν σὴν, τοῦ τυχόντος δεξιοῦ καθηγεμόνος, εἴτ' ἀμφότερον, ὃ δὴ σοὶ κοινόν ἐστι μετὰ τοῦ ἀδελφοῦ σοῦ, τὴν ἡμετέραν γε αὐτῶν τῶν πολλῶν καὶ ἐγκυκλίων ἀνθρώπων ὀψιμαθίαν δι' ὑποψίας τε καὶ σχετλιασμοῦ ἤγαγον. οἷς δὴ ταλαιπωρεῖσθαι ἀθλίοις τοσοῦτον χρόνον συνέβη, καὶ οἰκτραῖς δὴ ταῖς κεφαλαῖς προσκρούειν πρὸς τὰ δυσνόητα τῶν συγγραμμάτων καθ' ἡμᾶς αὖθις ἐπικύπτουσιν. ἀλλὰ γὰρ καὶ τῇδε τῇ ὀψιμαθίᾳ οὕτω δυστυχεῖ, τόγ' ἐπιβάλλον μοι μέρος, καὶ ἄλλο δὴ

GVLIELMVS BVDÆVS

CLODIO ROBERTETO BENE AGERE.

OCulis perluſtranti mihi nouiſſimam epiſtolam earum quæ mihi à te reſcriptæ ſunt, Græcè ſonantem illam aio, admirari profectò mihi in animum incidit magnũ quoddam miraculum tuæ in diſcendo procliuitatis, & beatæ facilitatis ſtili. Inerat enim in cohærentia ſcriptorum ſermonis elegantia propemodum emendata, neque apud ipſum (quod aiunt) Momũ, vt quidem eſt ætas, reprehenſione digna. Cæterùm ad hanc ſeu induſtriam, ſeu felicitatẽ oportet nuncupare tuam, cùm nactus ſis officioſum moderatorem, ſeu vtrumque, quod certè tibi commune eſt cum fratre tuo, noſtram quidem ipſorum qui frequentes & circulares homines ſumus ſeram eruditionem ſuſpectam habui atque moleſtè tuli. Quibus ſanè ærumnoſis vexari à tanto tempore contigit, & commiſeratione dignis certè capitibus reſiſtere & aduerſari, ad ea quæ ſunt captu ardua ſcripta noſtro ſeculo cùm nos dimitteremus. At enim & huic ſtupiditati vſqueadeò ærumnoſæ, quantum in me quidẽ ſitum eſt, etiam aliud quoq;

non deterius interuenit infortunium, quòd meo marte me ipſum erudierim. Nam quo altero quiſpiam magis friuolo vteretur præceptore, quàm ſe ipſo? Iſtis ſubinde adiice nunc, ſi videtur, librorum raritatem tunc me angentem interim dum perquàm laborioſè adniterer, omnibus quidem certè aliis ad eruditionem hanc commoditatibus ſpoliatus. Cui quidem neque ſaltem cum vno commercium habere iiſdem literis vnà incumbente datū eſt, nec cum coætaneo nec cum qualicunque. Quā ob cauſam profectò tantum ipſi iam ætate prouecti, modò quidem ipſarum literarum amore captos iuuenes pro more habemus felices exiſtimare. Quanquam tibi fratríque tuo peculiariùs atque vehemētiùs conſueuimus congratulari ob hanc ſortem omni ex parte exuberantem. Et verò, opinor, illis vobíſque prædicta perpendentibus in animum incidit ſortem meam mecum lamentari, ideóque candidè, vt par eſt, nobis condolere. Quinetiam equidem his rebus hunc in modum ſeſe habentibus, ob eam cauſam in omnes poſteros gloriæ nomen aſſecuturos ſum animo miti ac beneuolo, nec vſqueadeò malè ſe exhibuiſſe mihi prouidentiā arbitror, neque ingloriam mihi obuenturā denique moleſtiam, quanquam ab acutioribus multùm ſimus digreſſuri: vtpote cùm in hac eruditionis via præuij fuiſſe noſtratibus adoleſcentibus apparebimus. Quocirca, ô ingenue, erga totam

οὐχ ἧττον προσεγένετο δυστύχημα, τὸ αὐτομαθῆ γενέσθαι. τῷ γὰρ ἂν ἄλλῳ τις φαυλοτέρῳ χρήσαιτ᾽ ἂν διδασκάλῳ, ἢ ἑαυτῷ; τούτοις γοῦν πρόσθες νῦν εἰ δοκεῖ, τὴν βιβλίων σπάνιν τὴν τότε με ἄγχουσαν μεταξὺ ὑπερφιλοπονοῦντα, πάντων γε δὴ τῶν ἄλλων πρὸς τὴν παιδείαν ταύτην ἐπιτηδείων ἀπορούμενον. ᾧ γε οὐδὲ γοῦν ἑνὶ ὁμιλεῖν τοῖς αὐτοῖς λόγοις συσπουδάζοντι ἐξεγένετο, οὔτε ἡλικιώτῃ οὔτε ὁπηλικῳδήποτε οὖν. ἐφ᾽ οἷς δὴ τοσοῦτοι αὐτοὶ ἤδη παρηκμακότες, τοὺς νυνὶ τῶν αὐτῶν λόγων ἐφιεμένους νέους εἰώθαμεν εὐδαιμονίζειν. σοὶ μέντοι καὶ τῷ ἀδελφῷ τῷ σῷ ἰδιαίτερόν τε καὶ περιττότερον φιλοῦμεν συνησθῆναι, ταύτης τῆς συντυχίας πάντῃ πάντως εὐθηνούσης. καὶ μὴν δὴ καὶ ἐκείνοις οἶμαι καὶ ὑμῖν τὰ προειρημένα λογισαμένοις, τὴν τύχην ἔπεισι τὴν ἐμὴν συσχετλιάζειν ἐμοί, καὶ δὴ καὶ εὐγνωμόνως, ὡς εἰκός, ἡμῖν συμπεπονθέναι. οὐ μὴν ἀλλὰ καὶ ἔγωγε τούτων οὕτως ἐχόντων, πᾶσι τοῖς εἰσέπειτα ἐπὶ τούτοις εὐδοξήσουσιν εὐνοϊκῶς φρονῶν, οὐδ᾽ οὕτω κακῶς προσενηνέχθαι μοι τὴν πρόνοιαν ἡγοῦμαι, οὐδ᾽ ἀκλεές μοι ὑπάρξειν τελευτῶντι τὸ πρᾶγμα, κἂν εἰ ἀπολελεῖφθαι πολὺ τῶν σοφωτέρων μέλλοιμεν. ὅπου γε τὴν δὲ τὴν παιδεύσεως ὁδὸν προηγήσασθαι τοῖς ἡμεδαποῖς νεανίσκοις φανούμεθα. τοιγάρτοι, ὦ γενναῖε, πρὸς ἅπαν

ἔγωγε τὸ τῶν φιλομαθούντων γένος ἐπιεικῶς τε καὶ εὐμενῶς διακείμενος, ἦπου σοί γε καὶ ἀδελφῷ ἡδίστοις μοι ἐφήβοις, τὰ πρὸς τὴν εὐμαθίαν εὐοδεῖν δι' εὐχῆς ἂν ἔχοιμι, καὶ τὸ τέλος δὴ ἀπαντῶν κατὰ τὴν γνώμην τήν τε ἡμετέραν καὶ τὴν τῶν ὑμετέρων γονέων, οἷς ἐγὼ ἐντυγχάνειν εἴθισμαι ἐπὶ φιλίᾳ οὐ τῇ τυχούσῃ. σὺ δὲ διατέλει τὴν εὐγενῆ σου φύσιν γνωρίζων τοῖς ἀνθρώποις διὰ φιλοπονίας ταύτης. ἣ δὴ ἀξιέραστόν σε ἀπεργάσεται οὐκ εἰς μακρὰν παρὰ τοῖς ἐν αὐλῇ πρωτεύουσιν. ἔρρωσο, πέμπτῃ τῶν εἰδῶν δεκεμβρίων, ἐν Λουγδουνῷ ἐμπορείῳ, ἔνθα νῦν διοικεῖται τὰ τῆς ἀντιβασιλείας, τὰ πρῶτα τῆς τάξεως τῆς κυρίας τῶν πραγμάτων φερομένης Λοδοΐκης τῆς καλλιτόκου, ἀντιανείρας χρηστῆς, ἣ λαμπρῶς τε καὶ πᾶσι κεχαρισμένως διατελεῖ χρηματίζουσα.

equidem ſtudioſorum familiã lenem atque comem animum gerẽs, nimirum tibi quidem fratriq. tuo, gratiſſimis mihi iuuenibus, ea quæ ad docilitatem proſpero itinere dirigere optarim, ac denique profectò me obuium eſſe ex animi ſententia noſtri atque veſtrorum parentum, cum quibus ego conſuetudinem & commercium habere conſueui amicitiæ gratia nõ triuialis. Tu verò perſeuera ingenuam tuam indolem notam facere hominibus hoc ipſo vehementi ſtudio. Quod profectò te amore dignum breui efficiet apud eos qui in aula plurimùm habent auctoritatis. Vale, quinto die iduum Decembrium, in Lugdunenſi emporio, vbi nunc tractatur ea quæ ſupplent vicem regiæ poteſtatis, primas partes muneris auguſti in negotiis referente Ludouica venuſto partu decoranda, viragine fructuoſa, quæ luculentè atque ad omniũ gratiam rerum conſtitutioni operam nauare perſeuerat.

GVLIELMVS BVDÆVS ERASMO. S.

Literas tuas & Cantiunculæ nuper accepi, longo interuallo poſtquàm à vobis erant datæ. Erat enim dies ſubſcriptus ad quintum decimum Cal. Ianuarij: quibus equidem ipſis protinus reſpondiſſem, ſi in comitatu principis fuiſſe mihi contigiſſet, hominémque habere cui literas cõmitterem. ἀλλὰ μὴν ὁ βασιλεὺς πρῴην ἡμῖν νυκτὸς ἤδη πολὺ προηκούσης ἐπέστη, καίπερ τῇ προτεραίᾳ οὐκ ἐπίδοξος ὢν ἡμῶν οὐδενὶ τῶν δώδεκα.

Enimuerò rex non ita pridem nobis, cùm nox iam multùm proceſſiſſet aſtitit, quamuis pridie nemo noſtrûm opinaretur eũ duodecim

dierum ſpatio venturum eſſe. Idem ipſe rurſum illinc heri præter ſpem (quod quidem ad me ſpectat) profectus eſt. Cum eo ſanè quidem ego in publicum prodeũte de alio quopiam eram communicaturus. opportunitatis enim tempeſtiuæ compos effectus fuerã ex inopinato ipſius aduentu: nullo quidem audiente, omnibúſque præſentibus procul remotis. Cùm itaque is mihi conceſſiſſet audientiam cumulatè, literas in memoriam reuocare incœptaui quas ab Eraſmo nuper acceperam. Ille autem ſimulatque audiuit ex me primum verbum, etiam interrogauit, vtrùm inquit & quando illum virum expectamus. Hîc ſanè ego in excuſationem adferens hoc & illud, propterea quòd non valueras hactenus præparauiſſe ea quæ ad diſceſſum ſpectant, prorſus te acceſſurũ ſpopondi prima ſeſe offerente occaſione. Quod ſanè meum promiſſum, ô vir fortunate, vide vt præſtes quàm velociſſimè, quò iam deſinã propter id obnoxius eſſe. Ego certè reputaui te nunc ſuſpenſúmque animo, & huc & illuc vergentem, haſce cunctationes prorogare ſubtiliter necnon prudenter. Ideóque ad idem tibi opinor res rediit homini lupum auribus comprehendenti, vt ait parœmia. Quoniam igitur tu quidem cum homine prudenti & circunſpecto comparandus es, ac verente ne ea quæ mediocriter quidem illic, tutò verò tibi conſtituta ſunt, demigrante te

ἡμερῶν ἥξειν. ὁ αὐτὸς αὖ ἐνθένδε χθὲς παραλόγως τό γε καθῆκον εἰς ἐμέ, ἀπεληλυθώς. τούτῳ μὲν οὖν ἐγὼ ἐπιδημοῦντι περὶ ἄλλου τοῦ ἐτύγχανον κοινολογησάμενος (καιροῦ γὰρ ἐτετυχήκειν εὐκαίρου ἐν τῇ παραδόξῳ αὐτοῦ ἐπιδημίᾳ) οὐδενὸς μὲν ἀκροωμένου, καὶ πάντων τῶν παρόντων πόῤῥω μεθεστηκότων. ἐνδεδωκότος οὖν τούτου ἀκρόασίν μοι ἐκτενῶς, τῶν γραμμάτων μνησθῆναι ἐπεβαλόμην ὧν παρὰ Ἐράσμου ὑπογύως ἦν κεκομισμένος. ὁ δ' οὐκ ἔφθη ἀκούσας μου τὸν πρῶτον λόγον, καὶ ἐπύθετο, πότερον ἔφη καὶ πότε ἐκεῖνον τὸν ἄνδρα προσδοκῶμεν. ἔνθα δὴ ἐγὼ αἰτιώμενος τὸ καὶ τό, ἐφ' οἷς οὐκ ἠδυνήθης πω παρασκευάσασθαι τὰ περὶ ἀφίξεως, πάντως σε ἥξεσθαι ὑπεσχόμην κατὰ τὸν πρῶτον ἐγχωρήσοντα καιρόν. ταύτην δὴ ὑπόσχεσιν ἐμήν, ὦ δαιμόνιε, ὅπως ἐπιτελέσῃς ὅτι τάχιστα, ἵν' ἤδη παύσωμαι ταύτης ὑπεύθυνος ὤν. ἐγὼ μὲν δὴ ὑπείληφά σε νυνὶ ταλαντευόμενόν τε τῇ γνώμῃ, καὶ τῇδε κἀκεῖσε ἐπαμφοτερίζοντα, ἀναβολὰς ταύτας ἀναβάλλεσθαι ἀγχίνως τε καὶ νουνεχόντως. καὶ δὴ καὶ ἐς τὸ αὐτὸ σοι οἶμαι τὸ πρᾶγμα καθέστηκεν ἀνθρώπῳ τοῦ λύκου δραξαμένῳ ἐκ τῶν ὤτων, ὥς φησιν ἡ παροιμία. ἐπεὶ τοίνυν εὐλαβουμένῳ σύγ' ἔοικας, καὶ δεδιότι μή πως τὰ μετρίως μὲν αὐτόθι, βεβαίως δὲ καθεστῶτά σοι, μετοικήσαντός σου

οἴχηται,

οἴχηται, ἅμα δὲ τάχα καὶ τόδε δέδοικας, μὴ καὶ τὰ τῆς ἐπαγγελίας τῆς παρ' ἡμῶν οὐ κατὰ γνώμην ἀπαντήσῃ ἀφικομένῳ, ἐμοὶ δὴ ἔργον εἶναι ἥγημαι, ταύτῃ τῇ ἐπιστολῇ ὥσπερ τινὶ συγγραφῇ τὸ μέλλον ἀσφαλίζεσθαι. οὐ γὰρ οἶμαι ἀξιόπιστόν με ἐγγυητὴν εἶναι νομίζεις τοῦ συγκειμένου πράγματος. σαφῶς οὖν καὶ διῃρημένως τοῦτό σοι προσδιορίζειν αὐτὸς οὐκ ὀκνήσαιμ' ἄν. ἴσθι τοίνυν, ὦ φίλε, ἡτοιμασμένην σοι καὶ παρακατατεθεῖσαν ἱερωσύνην ῥητὴν, ἔνδοξόν τε καὶ αὐτάρκη σοι πρόσοδον χορηγήσουσαν εἰς πεντακοσίους που στατῆρας τῶν ἡλιοχαράκτων, καὶ μικρόν τι προσέτι. ἔσται δὲ τοῦτό σοι ἠσφαλισμένον ἐν πόλει γνωρίμῳ τε καὶ εὐθέτῳ ἡσυχίαν ἄξοντι. ὅπως οὖν, ὦ δαιμόνιε, μηκέτι ἡμέραν ἐξ ἡμέρας διαναβαλλόμενος τηλικαύτην παρῇς ἀφορμήν. πέρα γὰρ τοῦ δέοντος ἀκριβολογεῖσθαι οὐκ ἐν ἐπαίνῳ τιθείην ἂν ἔγωγε. κακῶς γοῦν καὶ ἀνοήτως δόξεις περὶ μὲν τῶν σῶν βεβουλεῦσθαι, σκαιῶς δέ τε καὶ ἀγνωμόνως τοιούτῳ τε καὶ τοσούτῳ βασιλεῖ προσενηνέχθαι, αἰτίαν δ' ὑφέξεις δήπου παρὰ τῶν ἀστείων ἀνθρώπων καὶ χαριεντιζομένων, ὡς ἐνδιδοῦσαν ἑαυτὴν τὴν τύχην ἀπειροκάλως διωσάμενος. τίς γὰρ ἤδη, ὦ πρὸς τῆς εὐλαβείας αὐτῆς, τίς τῶν ἐπιεικῶν ἐστὶν ἀνθρώπων, ὅστις ὀκνητέον ἔτι σοι εἶναι εἰσηγήσεται, ἐμοῦ γε διϊσχυριζομένου ἅπαν σοι τὸ πρα-

euaneſcant, ſimul verò & iſtud formidas, ne etiam pollicitatio noſtra haud pro animi arbitrio tibi reuerſo ſeſe offerat, mei profectò muneris eſſe arbitratus ſum, hac epiſtola non ſecus atque cautione quadam rei euentum ſtabilire. Tu enim credo idoneum me fideiuſſorem eſſe cenſes præſtituti compactíque negotij. Proinde perſpicuè & publicè iſtud tibi definire ac determinare ipſe nõ grauarer. cognoſcas itaque, ô amice, paratum tibi & fideliter depoſitum ſacerdotium certum & deſignatum, ſplendidum atque ſufficientem tibi prouentum ſuppeditaturum ad quingentos fermè ſtateres ſolari forma inſignitos, & quid paulò amplius. Erit autẽ iſtud tibi aſſeueranter ſtabilitum in ciuitate illuſtri atque cõmoda in otio ac tranquillitate victuro. Animaduerte igitur, ô homo diuine, ne poſthac diem de die prorogãs tantam prætereas opportunitatem. Nam vltra id quod neceſſe eſt accuratè perpendere non equidem in laude poſuerim. Miſerè quippe & abſurdè de tuis rebus ſtatuiſſe videberis, ineptè porrò atque inconſideratè talis ac tanti regis partes ſequutus, expoſtulationi & infamiæ obnoxius eris vtique apud elegantes homines ac lepidos, veluti fortunam ſeipſam communicantem ruſticè reiiciens. Quis enim iam, ô cautio ipſa, quis laudabilium eſt hominum qui cum pigritia ſuperſedendum adhuc tibi eſſe in animum tuum induxerit, me quidem aſſeuerante totum tibi nego-

tium à tui nominis ſtudioſis obtentum peractúmque eſſe, atque etiã in tuto ac ſecuritate reſeruari,& ſanè cuiuſmodi eſt humana prouidentia, nullam prętermiſſam eſſe à nobis præcautionem & à fortunæ petulantia & hominum aſtutia.

Quinetiam, ego non mihi placens alioqui propter opes meas, nihilominus huius promiſſi valdè idoneus defenſor eſſe mihi videor. Conſcius verò es tu quidem mihi, non magnopere anteà te fatiganti petitionis cauſa qua priùs te prouocabant: meam autem admonitionem & ſententiam ſuſpenſam incertámq. ſemper ſuſtinenti, quãdiu profectò viſum eſt mihi non abundè hanc ſecuritatem compoſuiſſe. In tua ſtatione & ſorte itaque manere vnà tecum cenſebam, ſpe quidem luculenta propoſita præterea magis, quàm ſponſione promiſſa & in ſecuritate ſita. Cernebam etenim tunc eos qui in tuis voluminibus meritò ſtudia ponebant, hos quidem, hanc negociationem ſuſcipientes,illos verò feſtinantes atque vt cum iiſdem ſubirem hoc opus appetẽtes, quò Eraſmum inſignem virum in regionem noſtram deducerent: in ſtudio habentem & maximo & proſperrimo ſerias & induſtrias videlicet diſciplinas egregiè conſtituere: illico autem etiam inſtauratam & emendatam theologiam in Galliam introducturum, atque etiã ſui commendatione obſcuraturum vtique opinionem inſolentium iſtorum

γμα ὑπὸ τῶν εὔνων σοι διαπεπρᾶχθαι, καὶ δὴ καὶ ἐν ἀσφαλεῖ καὶ πιστῷ ἀποκεῖσθαι, καὶ οἷα δὴ τὰ τῆς ἀνθρωπίνης προνοίας, οὐδεμίαν παρεῖσθαι ὑφ' ἡμῶν προφυλακὴν τῆς τ' ἀπὸ τύχης ἐπηρείας, καὶ κακουργίας τῶν ἀνθρώπων.

καὶ μὴν, ἐγὼ οὐ μέγα φρονῶν ἄλλως ἐπὶ τοῖς ὑπάρχουσι τοῖς ἐμοῖς, ὅμως τοι δὴ τοῦ ἐγγυήματος ἄγαν ἀξιόχρεως εἶναί μοι δοκῶ. σύνοισθα δέ τοι σύγ' ἐμοὶ, οὐ πάνυ τι τὰ προτοῦ ἐνοχλήσαντί σοι ὑπὲρ τῆς προκλήσεως ἣν πρότερόν σε προὐκαλοῦντο. συμβουλὴν δὲ τὴν ἐμὴν καὶ γνώμην μετέωρον ἀεὶ ἀναφέροντι, ἕως δὴ τὰ τῆς ἀσφαλείας σοι οὐκ ἀποχρώντως ἐδόκει μοι καταστῆναι. κατὰ χώραν γοῦν μένειν συνηξίουν σοι, ἐλπίδος γε λαμπρᾶς προκειμένης ἀκμὴν μᾶλλον, ἢ κατηγγυημένης καὶ ἐν ἀσφαλεῖ κειμένης. ἑώρων γάρ τοι τότε τῶν περὶ τὰ σὰ συγγράμματα εἰκότως σπουδαζόντων, τοὺς μὲν, ταύτην τὴν πραγματείαν ἀνειλημμένους, τοὺς δ' ἐπισπεύδοντάς τε, καὶ τούτοις συναίρεσθαι τοῦ ἔργου ἐφιεμένους, ὅπως Ἔρασμον ἄνδρα πάνυ εἰς τὴν ἡμετέραν ἐφέλξοιντο, ἄνδρα τὰ σπουδαῖα δῆθεν τῶν μαθημάτων καλῶς τίθεσθαι διὰ σπουδῆς ἔχοντα τῆς τε μεγίστης καὶ ἐπιτυχεστάτης. ἐν βραχεῖ δὲ δὴ καὶ τὴν ἐπηνωρθωμένην θεολογίαν εἰς τὴν κελτικὴν εἰσοικιοῦντα, καὶ δὴ καὶ παρευδοκιμήσοντα δήπου τὴν οἴησιν τῶν σπερμολόγων τουτωνὶ

τῶν περὶ ταύτην ὑποφρυωμένως ἐσχολακότων. τοῦτο δὲ ἰδὼν ἐγὼ ἐῴκειν ἡσυχίαν ἄγοντι, οὐ συνεξετάζων ἐμαυτὸν τοῖς τε διαρρήδην σε ἐξαιτουμένοις, καὶ τοῖσδε δὴ εὐχῆς τὸν νεωτερισμὸν ἔχουσι. τότε γε μὴν πρῶτον ἅψασθαι τοῦ πράγματος ἀντικρυς ὑπηρξάμην, ὅτε ἀποτεταγμένον σοι τὸ γέρας εἶναι καὶ ἀφωρισμένον ἔγνων ἀξιοπίστως, αὐτίκα δὴ μάλα δοθησόμενον ἐπειδὰν εἰσαφίκῃ. ἔγνων δ' αὖ τοῦτο παρὰ τοῦ βασιλέως αὐτοῦ αὐτήκοος γενόμενος, τοῦτό σοι τὸ πρᾶγμα πιστώσασθαι κελεύοντος, ὅπου ἂν τύχω αἰτίας ἢ ἀφορμῆς. εἰ μὲν οὖν οὐ παντάπασι δυσαποσπάστως ἔχεις τῆς εἰθισμένης αὐτόθι διαίτης, καὶ τὴν ἡμεδαπὴν δὴ ὑπολαμβάνεις οὐκ ἀνεπιτήδειόν σοι ἐμφιλοσοφεῖν· οὐ γάρ σοι ἀγνὼς ἐστὶ πάλαι ἐπιχωριάσαντι, ἴσθι τὸν βασιλέα ἀποδεξόμενος σὺ τῆς τ' ἄγαν πρᾳότητος καὶ περιττῆς εὐφυΐας, οὐδενὸς δ' ἀκρατῆ εὑρήσων αὐτὸν πλὴν ἢ ἐλευθεριότητος.

qui circa hanc ſuperciliosè immorati ſunt. Iſtud verò cognoſcens ego ſimilis eram ferianti, haud me ipſum aſſocians his qui palam te periculo noxáque eximebant, & hãc nouam diſtinctionem optabant. Tunc autem primùm capeſſere negotiũ proculdubiò inchoaui, quãdo ſecretum tibi eſſe præmium & ſepoſitum cognoui idonea fideiuſſione, protinus tibi dandum ſimulatq. adueneris. Rurſum verò iſtud noui à rege ipſo auditor effectus, hanc tibi rem iureiurando affirmare iubente, quandocunque compos fiam occaſionis vel opportunitatis. Si vtique non penitus indiuulsè affectus es erga aſſuetam ibi viuendi rationem, & regionem noſtram certè exiſtimas haud incommodam tibi ad philoſophandum in ea, non enim tibi ignota eſt antea in eadem moranti, ſcias te commẽdaturum & approbaturum regem immodicæ humanitatis & eximiæ ſolertiæ, gratia nulla in re porrò intemperatũ reperies ipſum niſi in liberalitate.

Facito vt ſim certior, ſi ad te hæc epiſtola peruenerit, primo quoque tempore: hominémque eximium Cantiunculam, tuíque nominis apprimè ſtudioſum verbis meis ſalutato. Pariſiis tertio Idus Aprilis.

ΒΟΥΔΑΙΟΣ ΕΡΑΣΜΩ.

Ἔφθην ἐπιστείλας σοι ἱσταμένου μηνὸς ἀπριλίου περὶ τῆς ἀφίξεώς σου τῆς πρὸς ἡμᾶς, τοῦτο δὲ προστάξαντος τοῦ βασιλέως πεποίημαι κατὰ τὴν τούτου τῆδε πρόοδον. μίαν δὲ

BVDÆVS ERASMO.

SCripſi ad te ineunte mẽſe Aprili de aduentu tuo ad nos, id autem rege imperante egi in eius per hanc vrbem tranſitu. vnum porrò

ſolum ille tunc diem diuerſatus eſt in hac ciuitate, nec eum integrum. Quanquam in ipſius reuerſione ante heſternum diem, vnum & dimidium ipſe verſatus diem, ac denuò mecum collocutus ſuper eadem re, abiens continuò abiit. Si ergo, vir dilectiſſime, recepiſti literas meas, ſiue nõ rurſum habeto ſummam eorum quæ à me literis mandata ſunt. Equidem prouidere & conſiderare tibi ſuadebam vtrum horum duorum profuturum exiſtimes tu amplius tuis rebus, aut quæ ſunt apud nos eligere, vel in his quæ tibi cõſtituta ſunt acquieſcere. Si vtiq. noſtra tibi grata ſunt, & quæ apud nos eſt conuerſatio commoda eſſe tibi videtur ad philoſophiam tuam in ſenectute alendam cum nefritide, omnia tibi ad vitæ relaxationẽ in ſecuritate ſumma collocabuntur. Etenim palam oblatum tibi á rege præmium, & veluti quendam ſolemnem acceſſum præparatum in noſtrã regionem protinus ingreſſo, promittere tibi ipſe magnopere cupiui, & rei euentum admittere ſub mei nominis & famæ integritate, quanquam non ſolitus inconſultò periclitari de mei exiſtimatione, quam profectò incolumen, vt ego opinor, hactenus ſeruaui. nam Delphici oraculi memini, Fideiuſſio eſt apud noxã. Quo pacto ergo eò audaciæ nunc delapſus eſſem, vt vellem vltrò huic pollicitationi obſtringi, maiori quã pro virib⁹ meis? Deniq.

μόνην ἐκεῖνος τότε ἡμέραν ἐπιδεδημήκει τῇ πόλει ταύτῃ, οὐδὲ ταύτην ὁλόκληρον. κατὰ μέντοι τὴν ἐπάνοδον αὐτοῦ πρὸ τῆς χθεσινῆς, μίαν καὶ τὴν ἡμίσειαν αὖθις διατρίψας ἡμέραν, καὶ πάλιν ἐμοὶ προσδιαλεξάμενος ὑπὲρ τοῦ αὐτοῦ πράγματος, ᾤχετ' εὐθὺς ἀπιών. εἰ μὲν οὖν, ἄνερ προσφιλέστατε, κομισάμενος ἔχεις τὰ γράμματά μου· εἰ δὲ μή, πάλιν ἔχε τὸ κεφάλαιον τῶν ἐμοὶ γεγραμμένων. ἐγώ τοι σκέψασθαί σ' ἐκέλευον ὁπότερον τοῖν δυοῖν τούτοιν λυσιτελήσειν ἡγῇ σὺ μᾶλλον τοῖς σοῖς, ἤτοι τὰ καθ' ἡμᾶς αἱρεῖσθαι, ἢ τοῖς καθεστηκόσιν ἐμμένειν. εἰ μὲν οὖν τὰ ἡμέτερα ἀρέσκει σε, καὶ τὸ παρ' ἡμῖν ἐνδιαίτημα ἐπιτήδειον εἶναί σοι δοκεῖ τὴν σὴν φιλοσοφίαν ἐγγηροκομεῖν μετὰ τῆς νεφρίτιδος, πάντα σοι τὰ πρὸς τὴν τοῦ βίου ῥᾳστώνην ἐν ἀσφαλείᾳ πολλῇ κείσεται. καὶ γάρ τοι τὸ προτεινόμενόν σοι ὑπὸ τοῦ βασιλέως γέρας, καὶ ὥσπερ εἰσελαστικόν τι ηὐτρεπισμένον εἰς τὴν ἡμετέραν εὐθὺς εἰσεληλακότι, ἐγγυᾶσθαί σοι αὖθις προτεθύμημαι, καὶ τὸ μέλλον δὲ ἀναδέχεσθαι ἐπὶ τῇ ἐμῇ ἐπιτιμίᾳ, καίτοι γε οὐκ εἰωθὼς εἰκῇ κινδυνεύειν περὶ τῆς ἐμῆς οἰήσεως, ἣν δὴ ἀκέραιον, ὡς ἐγῷμαι, μέχρι τοῦδε τηρήσας διατελῶ. μέμνημαι γὰρ τοῦ δελφικοῦ, Ἐγγύη πάρα ἄτη. πῶς οὖν εἰς τοσοῦτο τόλμης νῦν προήχθην, ὡς αὐθαιρέτως τῇδε τῇ ὑποσχέσει ἐνέχεσθαι, μείζονι ἢ κατ' ἐμέ, βούλεσθαι; ἀμέλει

αὐτὸς συνοῖδα τὸν βασιλέα προθύμως καὶ εὐσταθῶς τοῦτο προελόμενον, καὶ βεβαίως δὴ κατέμαθον ἐναποτεθεῖσθαί σοι τὸ δῶρον, ὃ δὴ σὺ μέλλεις παραχρῆμα λήψεσθαι ἐνθάδε ἀφιγμένος. εἰ μέντοι διατελεῖς οὕτω τῇ Γερμανίᾳ ἐμφιλοχωρῶν, ὥστε δέδιας μὴ ἡ ἐνθάδε δίαιτα οὐκ ἐπίσης εἶναί σοι δύνηται καταθύμιος, ἤδη μοι ὁ λόγος δυσαποκρίτως ἔχει. πρὸ πάντων γὰρ ἂν αἱροίμην ἐγὼ εἰ ὁμοία μοι σκέψις τε καὶ αἵρεσις ὑπέκειτο, χαρίζεσθαι τῷ θυμῷ μου, τοῖς εἰθισμένοις γ' ἐνασμενίζοντι καὶ ἀναποσπάστως ἐκεῖθεν διακειμένῳ. ἔστω γοῦν τοῦτο ἀναίτιον ἐμοῦ γ' ἕνεκα, εἰ οὕτω σὺ τὸν θυμὸν διάκεισαι. εἰ δὲ ἡ γνώμη ἰσορρόπως ἀμφοτέρωσε ἐπικλινὴς διαναβάλλεσθαί σε ποιεῖ, φέρε δή, ὦ δαιμόνιε, ἑδράσον ποτὲ ταύτην ἐπὶ θάτερα, μᾶλλον μὲν οὖν ἐπὶ τάδε. οὐ γὰρ ἂν εἰσαῦθις ἀνεκτὸν εἴη τὴν βουλήν σ' ὑπερτίθεσθαι, μεσεγγυηθέντος τοῦ γέρως σοι, καὶ τὴν σήν, ὡς ἐγὼ βεβαιοῦμαι, ἐπιδημίαν περιμένοντος. χωρὶς εἰ μὴ ἐλάττω τὰ ὑπάρχοντα εἶναί μοι νομίζεις, ἢ ὥστε τοιοῦτον ἐγγύημα πιστώσασθαι. παῦσαι οὖν διαμελλητικῶς ἔχων, ὦ ἀγαθέ, καὶ ἄρτι μὲν τὸ δεῖνα, ἄρτι δ' αὖ τὸ δεῖνα προφασιζόμενος, καὶ ὥσπερ ἂν εἴποι τις, πρὸς βασιλέα θρυπτόμενος οὐδ' ἐν δέοντι. οὐ γὰρ ἔστιν ὅστις τῶν ἐμβριθῶν γε καὶ συνετῶν οὐκ ἂν πολλήν σου ἀπειροκαλίαν καταγνοίη, ἢν τοῦτο τὸ ἕρμαιον, ὀλιγώ-

ipſe noui regem libenter & conſtanter id propoſuiſſe, ac firmiter profectò intellexi depoſitum eſſe tibi donum, quod certè tu debes cõtinuò accipere cùm huc perueneris. ſi tamen ita Germaniam incolis, vt formides ne quod hîc eſt vitæ inſtitutum æquali proportione eſſe tibi valeat ſuaue, iam mihi hæc ratio difficilis reſponſu eſt. Ante omnia enim optarim ego ſi compar mihi cõſultatio atque electio conſtitueretur, gratulari animo meo, in ſolitis quidem acquieſcenti & vt abſtrahi nequeat inde affecto. Sit ergo iſtud culpa vacans mea quidem cauſa, ſi hunc in modum tu animo diſpoſitus es. Si verò tuum conſiliũ æquali pondere in hanc & in illam partem propẽſum differre te facit, agedum, ô vir admirande, ſtabilias tandem id in oppoſitam, potius vtique in hanc. Non enim amplius ferendum eſſet te differre ſententiam, munere tibi apud ſequeſtrem depoſito, & tuũ, vt ego confirmo, acceſſum præſtolante. Niſi ſpecialiter minores poſſeſſiones eſſe mihi putas, quàm vt tale promiſſum confirment. Omitte ergo ceſſator eſſe, ô bone vir, ac interim quidem illud, interdum verò rurſus illud in excuſationem adferre, & quemadmodum dixerit quiſpiam, apud regem nugari neque opportunè. Nam nullus eſt è grauibus quidem ac circunſpectis hominibus, qui non ingenti te ineptia damnet, ſi id lucrũ negligen-

ter prætermittere apparueris, cùm facultas ſit ſine vlla reprehenſione id ſumere. Si autem rurſus quod plurimi putant, noſtratium theologorum ſimultas tranſmigrare te retardat, in ſacrarum videlicet literarum emendatione ſtudium & operam collocantem, ſtultus & ineptus eſt is timor. Quamprimùm quidem tranquillitatẽ tibi & quietem cuiuſuis moleſtiæ expertem reuocationis maieſtas præſtabit. Denique nemo audeat moleſtias tibi præbere à rege reuocato necnon protecto. Ad hæc præſtolans præſentiam tuam ſacerdotium, honorabile ipſum cùm ſit & luculentum quæſtũ ſubminiſtraturũ tibi, diſcretum ac ſeparatum eſt ab eorum conuerſatione haud minùs quinque diuerſoriis. vnde tibi audacter floccipendere maledicta ipſorum licebit. Poſt hæc verò etiam elegantiorum virorum ſtudiũ eorum qui ſunt cum dignitate, nunc quidem in tua commentaria procliue, te in publicum prodeunte & æquo animo hîc verſari apparente augeſcens, non vile momentum admouerit cuius gratia tibi infenſorum coniurationem retundas: alioqui quùm non paucis ſolertibus & candidis viris apparuerint iſti nihil quidem integrum intelligere, indignari verò magis ſapientibus elegantiæ ſtudioſis, præſtantiſſimæ atque commendandæ innouationis gratia, quàm æmulationẽ probam & laudabilem conſectari. His itaque ſic ſe habentibus, admi-

ρως παρεῖναι δόξῃς, ἐξὸν γ᾽ ἀμέμπτως τοῦτ᾽ ἀνελέσθαι. ἐὰν δ᾽ αὖθις αὖ ὃ πολλοῖς δοκοῦσιν, ἡ τῶν παρ᾽ ἡμῖν θεολογούντων φιλαπεχθημοσύνη μετασκευάζειν σε κωλύῃ, ἐμφιλοσοφοῦντα δήπου τῇ τῶν ἱερῶν γραμμάτων ἐπανορθώσει, ἄλογος οὗτος ὁ φόβος. αὐτίκα γὰρ ἄδειαν σοι καὶ ἡσυχίαν ἀνενόχλητον, τὸ τῆς μεταπέμψεως ἀξίωμα παρέξει. ἀμέλει οὐδεὶς ἂν τολμήσειεν πράγματά σοι παρέχειν ὑπὸ τοῦ βασιλέως μεταπέμπτῳ τε καὶ ὑπερασπιζομένῳ. ἔπειτα ἡ ἐπιμένουσα τὴν παρουσίαν τὴν σὴν ἱερωσύνη ἔντιμός τε αὐτὴ οὖσα καὶ λαμπρὰν πρόσοδον πορίζουσά σοι, ἀπήρτηται τῆς τούτων διατριβῆς οὐκ ἔλαττον πέντε σταθμῶν. ὅθεν σοι ἀδεῶς καταφρονεῖν τῆς κακολογίας αὐτῶν ἐξέσται. ἐπὶ δὲ τούτοις καὶ ἡ τῶν χαριεστέρων ἀνδρῶν σπουδὴ τῶν ἐπ᾽ ἀξιώσει, νῦν μὲν εἰς τὰ σὰ συγγράμματα ἐπιρρεπὴς, ἐπιδημοῦντος ἤδη σου καὶ φιλοχωρεῖν δοκοῦντος ἂν ἐπιδιδοῦσα, οὐ τὴν τυχοῦσαν ῥοπὴν εἴη ἂν προστεθεικυῖα ἐφ᾽ ᾧ τὴν τῶν σοι ἀπηχθημένων σύστασιν καταβαλεῖν, ἄλλως τε ἐπεὶ οὐκ ὀλίγοις τῶν συνετῶν καὶ χρηστῶν ἔδοξαν οὗτοι οὐδὲν μὲν ὑγιὲς φρονεῖν, βασκαίνειν δὲ μᾶλλον τοῖς φιλοκαλοῦσι τῶν σοφῶν, τῆς καλλίστης τε καὶ ἀξιεπαίνου καινοτομίας, ἢ ζῆλόν τινα χρηστὸν καὶ ἐπιεικῆ διώκειν. τούτων οὖν οὕτως ἐχόντων, θαυμά-

ζω σου πρότερον μὲν μεθορμίσασθαι προθυμουμένου τε καὶ ἀφορμῆς δεομένου, νῦν δὲ ἀφορμὴν λαμπροτάτην εὑρημένου, εἶτα δὲ διαμέλλοντος. σὺ οὖν ἤδη διάγνωθι περὶ τῆς προκλήσεως, πότερον ἀποδέχεσθαι ταύτην ἢ διακρούεσθαί σοι βέλτιον. μεταγνοίη γὰρ ἂν ὁ βασιλεὺς ἢν αἴσθηται ἐντρυφώμενος. ἔρρωσο, ἐν Παρησίοις τῶν νωνῶν μαΐου τῇ ὑστεραίᾳ.

ror te primùm ad nos tranſire exoptantem atque argumento indigentem: nunc porrò anſam apertam aſſecutum, interim verò cunctantem. Tu igitur continuò diſcerne de hac petitione, vtrùm iſtã amplecti vel propulſare tibi commodius ſit. Nam vertet ſententiam rex ſi perceperit ſe contemptui haberi. Vale, Pariſiis, nonarum Maij poſtridie.

BVDÆVS BRIXIO.

ΩΤαῦ, εἰπέ μοι πρὸς τοῦ φιλίου, ἐσπούδαζες τὰ περὶ τοῦ Νικόλεω γεγραμμένα ἢ ἔπαιζες; περὶ ἐκείνων φημὶ ὧν ἱκέτευες καὶ ἀντιβόλεις ἡμᾶς πρὸς παίδων σχεδὸν καὶ πρὸς τῆς συνοικούσης, ἵνα τούτῳ διαπραττοίμην τὸ ὑπ' αὐτοῦ μνηστευόμενον. *Quaſi verò aut cura mea, aut precibus, aut auctoritate vel impetrari poſſit, ſi egregiam & bonam amico communi operam nauauero: vel hoc quis credat à te bona fide dictum eſſe, qui te norit? qui quidem te* τὰ περὶ τὴν αὐλὴν τὴν ἐν τῷ παρόντι *probè tenere ſciat? Qui denique* ἐν τῷ πραγματεύεσθαι τὰ συμφέροντα *ſeſquulyxem eſſe meminerit?* ἵνα δὲ ἐῶ τὴν τούτου τοῦ ἔτους κατάστασιν, σὺ μὲν οἶσθα τὸν ἄνθρωπον, καὶ δὴ καὶ τοὺς ἀνθρώπους οἷς προσφέρεσθαι πολυπραγμόνως ἀνάγκη, ὃς ἂν τουτονὶ τὸν μύλωνα στρέφειν ἐπιβάληται, ὁποῖοι τὸν τρόπον εἰσί. περὶ τῆς συντάξεώς φημι τῆς βασιλικῆς τῷ ἀνθρώπῳ ὀφειλομένης.

HEus tu, dic mihi obſecro per Ioué amicitiæ præſulem, ſeriò dicebas ea quæ ſcripta ſunt de Nicolao an iocabaris? de illis loquor quæ expoſcebas & rogabas nos per pueros penè & cõiugé, vt huic cõficerem id quod ab illo affectatur. ea quæ ſunt in aula impræſentiarũ probe tenere ſciat? Qui denique inter moliendum res commodas ſeſquulyxé eſſe meminerit? Sed vt omittam huius anni conſtitutionem, tu quidem compertum habes hominem, atque etiam homines quibus curioſum ſe exhibere ei neceſſe eſt, qui hoc piſtrinũ vertere auſpicatus ſit, quales ſunt quoad voluntatem. De tributo loquor regio quod homini debetur.

De quo tu flagitas petitionem Nicolaï per nos tranſigi. Poſcit quidẽ elapſi temporis ſi non totam aiunt, ſaltem annuam diſtributionem ad minus ſibi reddi, vt res ſuas colligat, & iſtinc emigrans hûc tranſeat. Quanquam non ignorans tu quidem es, ſat ſcio, hoc anno vſqueadeò inordinato numeroſam vtique pecuniam collectam fuiſſe, ita vt omnes incompoſito ſint animo affecti, & veluti huc & illuc res ad vitam degendã ſpectantes ferantur apud eos qui hîc verſantur.

ἧς σὺ ἀξιοῖς τὸ αἴτημα τοῦ Νικόλεω δι' ἡμᾶς καταπεραχθῆναι. αἰτεῖται μέντοι τοῦ ἐξήκοντος χρόνου εἰ μὴ τὸ ὅλον φησὶν, ἀλλά γε ἐπέτειον σύνταγμα τοὐλάχιστον ἀποτίνυσθαι, ἐπὶ τῷ διασκευάζεσθαι τὰ αὐτοῦ, καὶ αὐτόθεν ἐξοικήσουσα, ἐνθάδε μετανίστασθαι. καίτοι οὐκ ἀγνοῶν σύγ' ὑπάρχεις, εὖ οἶδ' ὅτι, τοῦτον τὸν ἐνιαυτὸν οὕτως ὄντα ἀσύντακτον, καὶ γὰρ ἀργυρολογικώτατον, ὡς πάντας ἀτάκτως ἔχειν, καὶ ὡσπερεὶ ἄνω κάτω τὰ κατὰ τὸν βίον φέρεσθαι τοῖς ἐνταῦθα. *De conditione quid cenſerem iterum ad eum ſcripſi, quando eum iam inſtaturum ſibi video, nec in poſterum vſqueadeo indulturum, quin ſibi imperaturus ſit ſuſcipere quæ è re ſua futura videantur. tametſi,* ὦ τῆς καινοτομίας, ἀνὴρ μὲν ἐλευθεριάσας εἴ καί τις ἄλλος ἀεὶ πρότερον δὴ, τηλικοῦτος ὢν ἤδη ἐγκαταζευγνύναι ἑαυτὸν ὑπομένει τῷδε τῷ μύλωνι τοῦ ἀνδραποδώδους μύλωνος χαλεπωτέρῳ ὄντι, ὅπερ ὅμως ἡμεῖς μὲν καὶ αὐτοὶ ἔφθημεν πεποιημένοι, οὐχ ἑκόντες δὲ, ἀλλὰ θείᾳ τινὶ τύχῃ ἀνάσπαστοι οἴκοθεν γενόμενοι, οὐκ ἔσθ' ὅτι δήπου οὐκ ἀναιρεῖσθαι καὶ θαρρεῖν ἡ πλεονεξία δύναται φιλοτίμως γ' ἔχουσα. ἵνα δὲ ἤδη σπουδαιολογώμεθα, σὺ μὲν τὸν ἄνδρα ἔγνως οἷός τε καὶ ὅσος τυγχάνει ὢν, ᾧ δὴ ὁ Νικόλεως αὐτὸς λατρεύειν προθυμεῖται, καὶ συμπεριφέρεσθαι δὲ τῇδε κἀκεῖσε τῆς αὐλῆς πλανησομένης. ἐπίστασαι δὲ καὶ τὴν τοῦ βίου τοῦδε κατάστασιν, ὡς ἄρα δεινή ἐστι τοὺς ἀγχίνους τῶν ἀνδρῶν, καὶ δραστηρίους ὠφελεῖν τε καὶ κοσμεῖν.

ô noui ſtatus reductionem, vir quidem libertate fruens ſi etiam quis alius ſemper antehac, tantæ cùm ſit amplitudinis iam adiungere ſe ipſum perſiſtit huic piſtrino, illiberali & mechanico piſtrino moleſtiori, quod nihilominus nos quidem & ipſi fecimus, ſed minimè voluntarij, verùm diuina quadã ſorte ſubducti domo cùm eſſemus, nihil nimirũ non ſuſcipere & audere plus habendi auiditas poteſt ambitioſè affecta. Vt autem iam ſeriò loquamur, tu quidem virum noſti qualiſque & quantus eſt, cui certè Nicolaus ipſe ſeruire enititur, & circumagi porrò huc & illuc cum aula oberratura. Cognoſcis verò etiã vitę huius ſtãtum, quantopere ſanè ſufficiens eſt ingenioſos viros ac laborioſos ſubleuare necnon ornare.

καὶ μὲν δὴ καὶ ἔγωγε τὸν Νικόλαον ἡγοῦμαι οὕτω πεφυκέναι ἀγχιστρόφως τε καὶ πολυτρόπως, ὡς τὸν βίον τὸν πολιτικὸν καὶ τεταγμένον, ᾧ μέχρι τοῦδε συνείθισται, εἰς τὸν ἐνθάδε ταραχώδη καὶ ἀτακτοῦντα μεταρρυθμίσαι δύνασθαι.

Et verò equidem Nicolaum exiſtimo ita natura comparatũ eſſe volubili atque vario ingenio, vt vitam ciuilem & ordine diſpoſitam, cui hucuſque aſſuefactus eſt, ad eam, quæ hîc agitur, turbulentam & confuſam adaptare valeat.

Exorandus fortaſſe aliquot menſibus Vertumnus nobis erit, ἵν' εὔστροφον τὸν ἄνδρα ἡμῖν ἀπεργάσηται. *Quin & eum dextrum ac propitiũ nobis Deum* ἡ θεὸς αὐτὴ πλεονεξία *nobis ſtatim reddiderit. Cuius illecebris & blandimentis nihil non cedere ſolet, ſi minus apud cælites, certè apud ſuperos pariter & infimos.* Σοὶ μὲν οὖν ἤδη ἔργον ἔσται τοῦ προσφιλῶς πρὸς τὸν Νικόλεων διακειμένου, τοῦτό τε τὸ πρᾶγμα ἐκείνῳ συσκέψασθαι, βουλήν τε τινὰ εὔκαιρον αὐτῷ προχειρίσασθαι. οὐ γὰρ παιγνιῶδες τὸ πρᾶγμα, ἀλλ' ἐπιμελοῦς σκέψεως καὶ βουλῆς δεόμενον, ἐπεὶ τῶν ἁμαρτὼν ἐν τούτῳ τύχῃ, οὐκ ἂν φθάνοι μεταμελῶν μᾶλλον, ἢ μετατιθέμενος εὖ τὰ κακῶς δεδογμένα.

Tuæ ſanè quidem partes erunt qui beneuolè in Nicolaum affectus es, etiam iſtud negotium cum illo côſiderare eique opportunum quoddam conſiliũ expedire. Haud enim iocoſa res eſt, verùm ſedula cogitatione & conſilio indigens, quandoquidem ſi in ea aberrauerit non magis pœnitẽtia mouebitur, quàm ſi reuocauerit benè quæ peruersè decreta ſunr.

Omnia autem hominis cauſa cupiens, velim vt conſilium primo quoque tempore amicorum ſenatu indicto coactóque expediat: res eſt enim præſentis conſilij. verùm huiuſcemodi velim conſilium eum capere, rei vt & ſuæ familiari benè conſuluiſſe olim ipſe gaudeat: & nos ei gratulemur. Rex intra biduum hanc vrbem ingreſſurus eſt agmine compoſito. τὰ μέντοι τῆς ἐντεῦθεν καθόδου ἐν ἀβεβαίῳ κεῖται. ἐμὲ δὲ ἐκ τῶν ἐκβησομένων ἐξηρτῆσθαι ἀνάγκη, καὶ ἐν ταύτῃ τῇ πόλει πολυτελῶς ἐνδιαιτᾶσθαι. οὐδὲν γὰρ συνεσκευασμένος εἰμὶ οἴκοθεν τῶν πρὸς στρατοπεδείαν, καὶ ταῦτα χειμώνιον.

Hinc tamen regreſſus in incerto collocatus eſt. Me porrò ex euenturis dependere neceſſitas poſtulat, & in hac vrbe ſumptuoſè hoſpitari. Nihil enim conuaſaui ex ædibus meis eorum quæ conducunt ad exercitum præſertim hiemalem.

Vale, Auenione pridie idus Septembres.

FRANCISCO FRANCIÆ regi Chriſtianorū monarcharū ampliſſimo nobiliſſimóque, Gulielmus Budæus eius famulus domeſticus, & benè agere viuendo, ac beatè tandem è vita migrare exoptat.

ΦΡΑΓΚΙΣΚΩ ΤΩ ΤΗΣ ΦΡΑΓΚΙΑΣ βασιλεῖ τῶν χριστιανῶν μονάρχων τῷ πάνυ, Ιλέρμος Βουδαῖος ὁ τούτου θεράπων ἐφέστιος, εὖ τε πράττειν διὰ ζῶντα, καὶ μακαρίως ποτ' ἀπαλλάττειν.

ALter iam mihi hic annus, ô valdè potens rex, interlapſus eſt, & paulò quid amplius, circa hoc quidem commentariorū opus iuuandæ memoriæ gratia ſumma cura elaboratum occupato, non perfunctoriè verò, neque vt mihi ſe tempus obtulerit, ſubinde molienti & meditanti: nam me abſque vlla intermiſſione vrgebat inde quidem amor vehemens communis emolumenti honeſtis diſciplinis incumbentium. hinc porrò capeſſendi iuſſa exoptans induſtria, in poſterum tempus perpetuò magis ipſa inueſtigationi & inquiſitioni affixa: plurimùm vtique huic ingenioſè atq. ſolerter inuigilans, haud potui tamen iuxta voluntatē meā ſtilo perſequi ſuſceptum opus. Nam moleſtiam exhibuit langor commentanti, qui profectò ex immodica circa literarum ſtudia animi intentione ante longum tempus me illiquefecit, quemadmodum certè aſſcuerant medicorum nati. Equidem certè hæc componens, ab initio poteram tolerare laborem & huic ſufficere, quandiu quidem id quod valde & cogitatum erat & immodica ſedulitas ſtudioſè complexa opus conductum, haud permittebat animum corpori condolere. Quandoquidem certè malum ex acceſſu torpente ac latente exu-

ΔΕύτερον ἤδη μοι τόδε τὸ ἔτος, ὦ μέγα δυνάμενε βασιλεῦ, διαγέγονε, καὶ μικρόν τι πρὸς, περὶ τοῦτο μὲν ἀσχολουμένῳ τὸ ὑπομνηματικὸν σύνταγμα, οὐ παρέργως δὴ, οὐδ' ὡς αὐτὸς τύχοιμι, μεταξὺ πραγματευομένῳ καὶ φροντίζοντι. ἐτύγχανε γὰρ ἐμὲ ὁ μὲν ἔνθεν ἐπισπεύδων ἀδιαλείπτως, ἔρως δεινὸς τῆς φιλομαθούντων κοινωφελίας· ἡ δ' ἔνθεν ποιεῖν τὸ κελευόμενον προθυμουμένη φιλοπονία, ἐς τὸ ἐπιὸν ἀεὶ μᾶλλον αὐτῇ τῇ πραγματείᾳ προσλιπαροῦσα. πάμπολλα γε μὴν πρὸς τούτῳ διανοητικῶς τε καὶ ἐνθυμητικῶς ἐπικεκυφὼς, ὅμως οὐκ ἠδυνήθην κατὰ τὴν προαίρεσιν τὴν ἐμὴν ἐπεξιέναι τῷ ἐπικεχειρημένῳ. ἠνώχληκε γὰρ ἡ νόσος μελετῶντι, ἣ δὴ ἐκ τῆς σφόδρα πρὸς τοῖς λόγοις ἐπιστάσεως πρὸ πολλοῦ μοι ἔφθη ἐντετηκυῖα, ὥς γοῦν διισχυρίζονται οἱ τῶν ἰατρῶν παῖδες. ἐγὼ μὲν δὴ ταῦτα συγγράφων, τὸ κατ' ἀρχὴν οἷός τ' ἦν ἐγκαρτερεῖν τῷ πόνῳ καὶ διαρκεῖν, ἕως γε τὸ πολύ τε συννοοῦν καὶ τὸ ἄγαν φίλεργον προσπεπονθὸς τῷ ἐργολαβήματι, οὐκ εἴα τῷ σώματι τὴν ψυχὴν συναισθάνεσθαι. ἐπεὶ μέντοι τὸ κακὸν ἐκ προσαγωγῆς δυσαισθήτου καὶ λεληθυίας ἐπιδε-

δεινῶς, ἐξαίφνης ἐπέφυ ἀφυλάκτως ἔχοντι, δριμύτερόν τε ἐκόλασέ με, καὶ χρόνον δὲ πλείω ἢ προσκαρτερεῖν δύνασθαι, τηνικαῦτα δὴ κατισχυομένη ἡ ἐμὴ φιλολογία παρ' ὀλίγον ἦλθε κατοικτίσαι τῆς ἀτυχίας τοὺς περὶ τὰ μαθήματα τήμερον φιλοπονοῦντας. ἀμέλει κρεῖττόν τι ἐφάνη τὸ δεινὸν τῶν ἀσκληπιαδῶν ἐνθυμήσεών τε καὶ ἐπινοιῶν. ἐμοὶ μὲν γὰρ οὗτοι τῆσδε τῆς διαγωγῆς καταστροφὴν προαγγέλλοντες διατετελέκασι, τὸ δυσχερέστατον ἡμῖν καὶ βαρύτατον. κἂν μὴ πειθαρχήσαιμι, ὥσπερ καὶ προτοῦ, διαρρήδην προὔλεγον τῆς ζωῆς καταστροφὴν οὐκ εἰς μακράν. ὡς ἀληθῶς δὲ τοῖς τοῦτο προειποῦσιν ἐῴκεσαν. οὐκ ἔχων τοίνυν ἐγὼ ὅτι χρησαίμην τῷ συμπτώματι, καίπερ ἐν τῷ πρόσθεν αὐτὸς ἀεὶ νομίσας οὐ βιωτὸν εἶναί μοι ἄνευ τῆς φιλολογίας, ἥτις τὰ παιδικά μοι ἔτι πλείω ἢ τριάκοντ' ἐγένετο, ὅμως ὑπὸ τῶν ὀδυνῶν τότε με δριμέως στρεβλουσῶν ἐξαχθείς, ἐπωμοσάμην ἢ μὴν τὴν διαγωγὴν τήνδε καταλύσειν, τὴν οὕτω τῷ σώματι, οὐ μόνον δέ, ἀλλὰ καὶ τοῖς ὑπάρχουσι προδήλως λελυμασμένην· οὗ δὴ κακοῦ οἰκοφθόρου ἡ καθ' ἡμᾶς ἀπειροκαλία εἰκότως αἰτίαν ἔχει παρὰ πολλοῖς, ἢ τῷ καλῷ τὸ προσῆκον καὶ τὸ ἐπιβάλλον ἀπονέμειν οὐκ εἰδυῖα. ἀλλὰ μὴν ἔγωγ' ἐκεῖ τότε τὸ τέλος τῆς συγγραφῆς ἐποιησάμην, οὗπερ σκεπτόμενόν με μεταξὺ καὶ φροντίζοντα τὸ πάθος κατειλήφει, κρεῖττον

perans, confeſtim innatum eſt improuido, acriúſque me ſubegit, & diuturniori tempore quàm perpeti valerē, interim ſanè ſuperata mea philologia fermè hûc acceſſit vt in miſericordiam raperet ob infortunium eos qui circa ingenuas diſciplinas hodie operā nauant. Deniq. validior apparuit ærumna medicorum cogitationibus atq. opinionibus. Mihi ſanè quidē illi hui⁹ viuēdi rationis ſubuerſionē pręceperūt, quod moleſtiſſimū nobis laborioſiſſimúmque fuit. Ac niſi eorū dicto audiens fuiſſem, veluti & antehac, apertè prædicabant vitæ exitū propediem. reuerà porrò id prædicentibus cōſimiles erant. Ignorans igitur ego quo modo vterer hoc extrinſecus adueniente morbo, quāuis ſuperiori tempore ipſe ſemper putans haud viuendum eſſe mihi citra philologiam, quæ mihi pro deliciis annos plures quàm triginta fuit, nihilominus præ cruciatibus tunc me acerbè torquentibus ſtimulatus, obteſtatus ſum profectò hunc vitæ ſtatum me eſſe euerſurum, vſqueadeò corpori, nec ſolùm verò, ſed etiam rebus partis apertè nocentem. Cuius profectò mali rei domeſticæ euerſoris noſtra ruſticitas non iniuria crimini eſt obnoxia apud complures, quæ decori quod par & conueniens erat exhibere non nouit. Enimuerò equidem illic tum finem voluminis feci, vbi meditantē me interim & perpendentem morbus apprehendit, validior

quidem ille quàm vt deſpicerem, atque etiam minacior. Itaque rei prædictæ cauſa non indecenter de his commentariis qualibuſcunque in conſpectum venturis diuulgatum illud inſignium pictorũ prædicari poſſet, quiſpiam perſeuerabat commentarios ſcribere. Quinetiam hoc elucubratum opus meũ, rex clementiſſime: hoc enim te nomine appellabo, quod ab indole, & ingenio tu quidem aſſecutus es apud omnes qui ſe tibi obtulerunt tecúmque verſati ſunt: Conſecrare viſum eſt mihi nomini tuo, nationis quidẽ Francorum nomen referenti. Iſtud verò conficiens arbitrabar venuſtatem necnon ſplendorem nominis tui, multam auctoritatem atque decentem grauitatem impreſſurum huic meo operi laborioſo. Etenim nunc non dicam nominis amplitudinem principatus tui, ac tuæ monarchiæ magnã potentiam, neque alia ſanè multa externa ornamenta quæ tibi adſunt eximiè. Quibus certè ego, etſi beatiſſima quidem inter homines & vndique expetenda ſint, pluris nihilominus æſtimo fortunatum tuũ ingenium, & admirabile circa intelligentiam eorum quę congruũt, dico benè à natura comparatum atque vehemens ad eloquendum animi concepta. Quæ duo inſignia atque ornamenta humanæ naturæ pauciſſimis quidem viris, ſolis porrò principibꝰ electis cõceſſit deus vt reliquis præluceãt. Cuius profectò

γ' ἐκεῖνο ἢ ὥστε καταφρονεῖν, καὶ δὴ καὶ ἀπειλητικώτερον. τοῦ προειρημένου τοίνυν ἕνεκεν οὐκ ἀπεικότως που τοῖσδε τοῖς ὑπομνήμασιν ὁποιοισδήποτε τοῖς φανησομένοις, τὸ θρυλλούμενον ἐκεῖνο τὸ τῶν ἐνδόξων ζωγράφων ἐπιλέγοιτ' ἄν, ὁ δεῖνα διετέλει ὑπομνηματογραφῶν. οὐ μὴν ἀλλὰ τουτὶ τὸ φιλοπόνημά μου, βασιλεῦ χρηστότατε· τοῦτο γάρ σοι ἐπονομάσω, ὅ,τι ἀπὸ τοῦ ἤθους καὶ τῆς γνώμης σύ γ' εὕρω παρὰ πᾶσι τοῖς ἐντυχοῦσι καὶ προσομιλήσασιν· ἐπιφημίσαι μοι ἔδοξε τῷ ὀνόματι τῷ σῷ, τοῦ ἔθνους γε τῶν Φράγκων ἐπωνύμῳ· τοῦτο δὲ ποιῶν, ἡγούμην τὸ χαρίεν τι καὶ λαμπρὸν τοῦ ὀνόματός του σοῦ, πολὺ τὸ ἀξιωματικόν τε καὶ σεμνοπρεπὲς προστρίψεσθαι τῷδε τῷ ἐμῷ συντάγματι. καὶ γάρ τοι τὸ νῦν εἶναι οὐκ ἐρῶ τὸ μεγαλώνυμον τοῦ κράτους, καὶ τὸ σῆς μεγαλοδύναμον τῆς μοναρχίας, οὔτ' ἄλλα δὴ πολλὰ τῶν ἔξωθεν καλλωπισμάτων ὑπάρχοντά σοι διαφερόντως. ὧν δὴ ἐγώ, καίτοι μακαριστῶν γ' ἐν ἀνθρώποις καὶ περιμαχήτων ὄντων, περὶ πλείονος ὅμως ποιοῦμαι τὴν εὐδαίμονά σου φύσιν, καὶ ἀξιάγαστον ὅσην, τὴν περὶ τὸ κατανοεῖν τὰ προσήκοντα, λέγω εὖ πεφυκυῖαν τε, καὶ δεινὴν τὰ ἐνθυμηθέντα φράζειν. ἃ τὼ δύο ἐπιπρεπῆ τε καὶ κοσμήματα τῆς ἀνθρωπίνης φύσεως ὀλιγίστοις μὲν τῶν ἀνδρῶν, μόνοις δὲ τῶν ἀρχόντων τοῖς προκρίτοις δέδωκεν ὁ θεὸς ἐνδοκιμεῖν. ὅτου δὴ

ἕνεκα τοὺς τοιοῦδε τοῦ πλεονεκτήματος
θεόθεν ἠξιωμένους ὅτι πλείστην πρόνοιαν
πεποιῆσθαι δεῖ, ὅπως χρήσιμόν τε τὴν
θείαν χάριν τοῖς πολλοῖς ἀποδείξωσι, καὶ
ἐνεργὸν δὲ τοῦ κυρίου τὸ διτάλαντον ἕ-
ξωσιν (οὐ δὴ τὰ Κροίσου τάλαντα κα-
τά γε τὴν ἐμὴν γνώμην, οὐκ ἔστιν ἀν-
τάξια,) ἤ πού γε ὅπως μὴ ἐπὶ κακῷ τῶν
τε ἀρχομένων, καὶ ἐπὶ τῷ σφετέρῳ αὐ-
τῶν ὑπὸ τοῦ θεοῦ ἐπιτετραμμένοι ἔ-
σονται ὅπερ γε συνέβη τοῖς περὶ τὸ θεῖον
ἀγνωμονήσασιν, ἀνθ' ὧν πλέον αὐτοὶ ἔσχον
τῶν τοιούτων εὐεργεσιῶν. οἶδα τοίνυν ἔγω-
γε κακῶς ἀκούσων αὐτὸς εἰς κολακείαν,
παρὰ τῶν τὴν φύσιν οὐκ ἐγνωκότων
τὴν σὴν οἵα τυγχάνει οὖσα, ἥν γε ἡλίκην
αὐτὴν ἡγοῦμαι, καὶ ὡς φρονῶ περὶ αὐ-
τῆς, οὕτως ἀποφήνωμαι. ἧς αἰτίας γ'
ὑποψίαν ὅσην δή, εἰ καί τις ἄλλος, καὶ αὐ-
τός γ' ἀπεστράφην παρ' ὅλον τὸν βίον ἐμόν.
ὅμως μέντοι τῇ τε συνειδήσει πεποιθὼς
τῇδε τοῦ ἄγους καθαρευούσῃ (ἄγος γὰρ
ἐξωλέστατον εἶναι νομίζω, τὸ τὰς ἐξεχούσας
τῶν φύσεων κακῶς λυμαινόμενον.) καὶ
παμπληθεῖ δὲ συνηγορίᾳ ἐνισχυριζό-
μενος τῇ τῶν τἀληθὲς καταμαθόντων,
οὐκ εὐλαβήσομαι νῦν πάντων ἐναντίον
εἰπεῖν τοῦθ' ὅ, τι σιγῆσαι, ἐνόν γ' εἰπεῖν εὐ-
θέτως τε καὶ ἐν δέοντι, οὐκ ἂν αἰδήμονος ἴσως, ἀλλὰ φθονοῦντος ἢ ἀγνώμο-
νός πως ἦν ἀνδρός, τοσούτων ἀνθρώπων δήπουθεν ἐπισταμένων. καίτοι.

cauſa tali prærogatiua diuinitùs inſignitos ſumma cura diligentiáque proſpicere fas eſt, quò fructuoſam diuinámque gratiam permultis patefaciant, & actuoſum porrò domini geminum talentum habeant: Cui profectò Crœſi talenta prout mea fert ſententia, haud ſunt æquiparanda: ne vtique in damnum ſubditorum, & in ſuum ipſorum à deo id commiſſum ſit illis. Quod quidem vſu euenit iis qui in diuinum numen ſe ingratos exhibuerunt, propterea quòd plus ipſi obtinuerunt huiuſmodi beneficétiæ. Compertum igitur equidem habeo me ipſum malè auditurum ob aſſentationem, apud eos qui naturam tuam non intellexerunt qualis eſt, ſi quidem quantam eam iudico, & ſicuti de ipſa reputo, ſic affirmo. Cuius quidem expoſtulationis ſuſpicionem quamcunque certè, ſi quis etiam alius, ego quoque auerſatus ſum in tota vita mea. Attamẽ & hac conſcientia confiſus & fultus hoc me piaculo expurgante: piaculum enim peſtilentiſſimum eſſe cenſeo, præſtantiſſima ingenia malè corrumpens. Ac in permulto patrocinio fiduciam collocans eorum qui verum intelligunt, non reuererer nunc palã omnibus iſtud dicere, quod cõticere, quum liceat quidem dicere conuenienter atque tempeſtiuè, non pudibundi fortaſſis, verùm inuidentis aut inurbani quodammodo eſſet viri, tot tantíſque hominibus id nimirum compertum habentibus: Quanquam

intelligo quidem in incertum & lubricum meipſum & redactũ eſſe, ac ferri in odium, ſubinde videlicet ignorantium veritatem, & intelligentium. illorum quidem, ſi ex animi ſententia quod dicendum eſt enarrem, ex templo ſanè iniquè laturorum, atque amplificationem ſermonis mendacium eſſe dicturorum: aliorum verò contrà me valdè in ſermone frigidum & inanem deſpicientium, tanquam minus dicentem, & præuaricatum circa veritatem, ſiquid ego ex alacri ſtudio remittam, fugiens aſſentationis culpam. Agedum tandem veniamus vlteriùs, & iſtud porrò etiam arduũ ac periculoſum dictum ſit. Itaque dico me neminem vnquam nouiſſe neque principem neque ſubditum, nec ſuo iure viuentem, cuius ego abundantiam amœni acriſque ingenij magis admirabilẽ eſſe exiſtimaui, neque magis optandã viro, qui in ætatis flore monarchiam gubernare incœptarit. Quod tibi euenit ſupra alias felicitates: ſed dico in corpore id quòd abſolutè pulchrum eſt & aſpectu dignum: in magnitudine quod regium atque heroïcum: in aſpectu porrò id quod decorum eſt ac manſuetum, quódque conciliat fauorem plebis æqualem & eorum qui ſunt cum dignitate & imperio: Adhæc ingenij docilitatem & prõptitudinem ac tuo labore partam doctrinam & perſpicacitatem, & ad omnes conſiderationes mutabilitatem, & vſquequaque dexteritatem: ſed in ſumma, tuæ ipſius naturæ æquabi-

αἰσθάνομαί γε εἰς ἐπισφαλὲς καὶ ὀλισθηρὸν καθιστάμενός τε αὐτὸς, καὶ φερόμενος δι' ἐπιφθόνου, μεταξὺ δὴ τοι τῶν ἀγνοούντων τἀληθὲς, καὶ τῶν ἐπισταμένων. τῶν μὲν, ἐὰν κατὰ γνώμην τὸ λεκτέον ἐκδιηγῶμαι, αὐτίκα δὴ δυσχερανούντων τε καὶ τὸ ὑπερτεῖνον τοῦ λόγου ψεῦδος εἶναι φησόντων. τῶν δ' αὖ, ψυχρολογίαν πολλὴν καταγνωσομένων μου, ὡς ἐπ' ἔλαττον φέροντος, καὶ καθυφεμένου τὴν ἀλήθειαν, ἐάν τι ἐγὼ ὑποστείλωμαι, φοβούμενος τὴν κολακείας αἰτίαν.

Φέρε δὴ ἴωμέν ποτε πόρρω, καὶ τοῦτο δήπου καὶ παρακεκινδυνευμένον εἰρήσθω. φημὶ οὖν, μηδένα μηδεπώποτε γνῶναί με μήτ' ἄρχοντα μήτ' ἀρχόμενον, μήτ' αὐτονομούμενον, οὗτινος ἐγὼ τὸ περιττὸν τῆς εὐφυΐας ἀξιαγαστότερον εἶναι ἐνόμισα, οὔτε μᾶλλον εὐκταῖον ἀνδρὶ ὃς ἂν ἐν ἡλικίας ἀκμῇ μοναρχεῖν ἐπιβάλληται. ὅπερ σοι συνέβη πρὸς τοῖς ἄλλοις εὐτυχήμασι. λέγω δὲ, τοῦ μὲν σώματος τὸ παγκαλλὲς καὶ ἀξιοθέατον. τοῦ δὲ μεγέθους τὸ βασιλικόν τε καὶ ἡρωϊκόν. τῆς δὲ ὄψεως τὸ εὐπρεπὲς καὶ πρᾶον, καὶ προσαγωγὸν τῆς εὐνοίας τῶν πολλῶν τε ἐπίσης καὶ τῶν ἐν ἀξιώσει. τῆς δὲ γνώμης τὸ εὐμαθὲς καὶ ὀξὺ καὶ αὐτομαθὲς καὶ συνετικόν, καὶ τὸ εἰς πάντα ἐπινοήματα ἀγχίστροφον, καὶ πάντη πάντως ἐπιδέξιον. ἐνὶ δὲ λόγῳ, τῆς αὐτοφυΐας τὸ ἐμμε-

λὲς καὶ τὸ εὔηχον, καὶ κομψῶς ἡρμοσμένον, τὸ ὡς ἔπος εἰπεῖν, τῆς Ἀθηνᾶς τῆς σῆς τὸ γλαφυρὸν καὶ Φειδιακόν. πᾶσι γὰρ τούτοις τῆς φύσεως κατορθώμασι σύ γε πρὸς τὸ βασιλεύειν θείᾳ τινὶ μοίρᾳ τυγχάνεις ἐξηρτυμένος. ταύτῃ δὴ καὶ τηλικαύτῃ τῆς φύσεως προικὶ οὐρανόθεν σοι ἐνούσῃ καὶ τοὺς ἰδίους ἑαυτοῦ ἐπαίνους προσθετικῶς ἦς, ὥσπερ τ᾽ ἐφθάκεις ὑπαρξάμενος, ποιῶν τε διετετελέκεις, εἰ μὴ ὅλον σε αἱ πολεμικαὶ φροντίδες ἡμῖν, καὶ μεγάλαι δὲ καὶ ποικίλαι περιστάσεις τῇ τοιαύτῃ φύσει συνεπικλωσθεῖσαι, ἤδη δέ πως αὗται καὶ σαυτῷ σεαυτὸν ἀπήνεγκαν. φεῦ τῆς περιπετείας, πῶς οὐ ζηλωτὴν σου τήν τε μοῖραν καὶ ζωὴν ἀποφανεῖς; ἐπειδὰν δὲ ὅτι τάχιστά σοι εἰς ἑαυτὸν ἐπανιόντι ἐγγένηται διὰ ἀνακωχὴν τῶν ἐπεχουσῶν νῦν ἐπιμελειῶν, τὰ τῆς διανοίας τῆς σῆς καρποῦσθαι, τὴν τοῦ χρηστοῦ δὴ τότε καὶ ἐπιεικοῦς ἐπωνυμίαν σαυτῷ κυρίαν εὖ οἶδ᾽ ὅτι ποιήσεις, καὶ τὰ τῆς δυσχεροῦς εἱμαρμένης εἰς εὔκλεια περιστήσας, παντελῶς γ᾽ ἀξιέπαινον ἑαυτὸν ἡμῖν παρασκευάσεις. πάντες δὲ τοῦτο ὁρῶντες αἴσιον τήνδε κληδόνα εὐδοκιμοῦντί σοι ἐπιφθέγξονται, ὄναιο σὺ μακάριε τῆσδε τῆς χρηστότητος τῷ τοιούτῳ γε ὄντως καὶ τηλικούτῳ σώματι ἐπιπρεπούσης. ἐπὶ δὲ τούτοις τὸ δὴ μέγιστον, καὶ σὺ καὶ παρὰ τοῦ θεοῦ τελευτῶν ἀκούσῃ τὸ τοῦ εὐαγγελίου μακαριστόν, δοῦλε ἀγαθέ, εὖ γε τῆς προαιρέσεως, ὅτι τὴν προῖκα τὴν σὴν

litatem & conuenientiam, ſcitam quoque congruentiam, & vt ſic dicam, quod in Minerua tua elegans eſt & Phiadicum. Cunctis enim his naturæ rectis officiis tu quidem ad regnandū diuina quadam ſorte inſtructus es. Huic profectò ac tantæ naturæ doti cælitus tibi inſitæ ſi ſpeciales tuas ipſius laudes addideris, & quemadmodum cœperas, & facere perſeueraueras, niſi totum te bellorum rebus intentæ ſolicitudines & magnæ & variæ aduerſæ fortunæ tali ingenio conuolutæ, iam verò quodammodo eædem nobis & tibi ipſi te ipſum auferrēt. ô rerum euentum & immutationem! quo pacto non amabili æmulatione dignam & tuam ſortem & vitam oſtenderes? Ergo quùm primùm tibi in teipſum reuerſo permittetur propter laxamentum interrumpentium te nunc anxietatū, tuo ingenio frui, clementis profectò tunc & manſueti appellationē tibi ipſi peculiarem ſat ſcio efficies, ac moleſtam ſortem in præclaram & inſignem conuertens, planè quidem commendabilem teipſum nobis exprimes. Cuncti porrò iſtud cernentes ſecundam hanc famam, tibi ſplendorem aſſequenti, acclamabunt, fructum capias tu, ô beate, ex hac clementia tali quidem meritò tantóque corpori decorè conueniente. Poſthæc verò quod certè maximum eſt, tu quoque etiā à deo tandem audias euangelij beatitudinē, Serue bone, macte animi propter inſtitutum, quia dotem tuā

efficacem ac validam formare operam nauans, hanc quidem duplam meritò operatus es: necnon attinẽtia quidem ad futuram vitam & cæleſtem, ô rex illuſtriſſime, nouimus te exoptare maxima ex parte, vt tibi eorum compos eſſe obtingat. Impræſentiarum porrò admonere volo te illorũ etiam quæ ſunt ſubſequentis ſedulitatis, vt rectè tu & honeſtè de regno ſtatuas, ac in viros ſanè beneficia cõferas dignos tua munificentia. Quod ex regiis operibus eſt primum & præcipuũ. viuénſque benè auditurus es omni ex parte terræ noſtrę, & in beatorũ tandem ordinem redactus, ſempiternam claritatem poſteris tuis relinques. Agedum tu magnificẽtiſſime, ad talia officia protinus incitare. Nam ſic iuuaberis tu quidem maximè hac beatáque natura & regno. Enimuerò virtutis atque modeſtiæ tuæ fructum ac ſtipendium viuẽs atque vita functus cumulatum reportaueris, ſi etiam eius partem non infimam obiter ſentiant homines præſertim probitatis & elegantiæ ſtudioſi. Iſtud proinde mihi crede tum erit quum & largitionem hanc & magnificentiam in literarum ſtudia conuerteris & in diſciplinas ingenuas. Iam enim haud verebor tibi in memoriam reuocare promiſſum ſplendidum, nulli ſtudioſorũ continuò nõ vulgatum & expectatũ. Quod ego

ἐνεργῆ ποιεῖν ἐπιτηδεύσας, ταύτην τὴν διπλασίαν καλῶς ποιῶν εἰργάσω. καὶ τὰ μὲν πρὸς τὴν μέλλουσάν τε ζωὴν καὶ ἐπουράνιον ἀνήκοντα, ἐξοχώτατε βασιλεῦ, ἴσμεν σε δι' εὐχῆς ἔχειν ἐς τὰ μάλιστα, ἐφ' ᾧ σοὶ τούτων μετέχειν ὑπάρξει. τὸ δὲ νῦν ἔχον ὑπομνῆσαι βούλομαί σε καὶ ἐκείνων ἅτινα τῆς ἐφεξῆς ἐστὶν ἐπιμελείας, ὅπως εὖ σὺ καὶ καλῶς τὰ τῆς βασιλείας τιθέμενος, καὶ τοὺς ἄνδρας δὴ εὖ δρῶν τοὺς ἀξίους τῆς σῆς μεγαλοδωρείας (ὅπερ τῶν βασιλικῶν ἔργων ἐστὶν ἐν τοῖς μάλιστα) ζῶν τε εὐδοκιμήσῃς ἁπανταχοῦ τῆς οἰκουμένης ἡμῶν, εἴς τε τοὺς μακαρίτας ὀψέ ποτ' ἐντεταγμένος, αἰώνιον εὔκλειαν τοῖς ἐγγόνοις καταλείψῃς. ἄγε δὴ σὺ μεγαλοπρεπέστατε, ἐπὶ τὰ τοιάδε τῶν ἐπιτηδευμάτων αὐτίκα δὴ μάλα ὁρμῆσαι. οὕτω γὰρ ἂν ὀνίναιο σύγε μάλιστα τῆσδε τῆς μακαρίας φύσεώς τε καὶ βασιλείας. ἀλλὰ μὴν τῆς ἀρετῆς τε καὶ τῆς ἐπιεικείας τῆς σῆς τόν τε καρπὸν καὶ μισθὸν ζῶν τε καὶ θανὼν ἐντελέστατον ἂν ἀπενέγκαιο, εἰ καὶ ταύτης τὸ μέρος οὐκ ἐλάχιστον παραπολαύσαιεν οἱ μάλιστα φιλόχρηστοι τῶν ἀνθρώπων καὶ φιλόκαλοι. τοῦτο τοίνυν εὖ ἴσθι τότ' ἔσται ὁπόταν τήν τε φιλοδωρείαν ταύτην καὶ τὴν μεγαλουργίαν εἰς τὰ περὶ λόγους ἀποστρέψῃς καὶ εἰς παιδείας ἐλευθερίους. ἤδη γὰρ οὐκ ὀκνήσω ἀναμιμνήσκειν σε τὸ ἐπάγγελμα τὸ λαμπρὸν, οὐκ ἔσθ' ᾧ τινὶ τῶν σπουδαίων ἤδη οὐ γνώριμον ὂν καὶ προσδοκίμον. ὅπερ ἐγὼ

εἶπ

εἴθ' ἐπιτελὲς ποτ' ἴδοιμι, ὦ μέγα δυνά-
μενε βασιλεῦ, ὅς γε σοῦ τοῦτ' ἀκούσας,
καὶ δὴ ἐγγυήσασθαι ἐν τοῖς νέοις οὐκ ηὐ-
λαβήθην, καὶ τὸ μέλλον δὴ εἰς ἐμὲ προ-
θύμως ἀναδέξασθαι, ὑπὸ τῆς ἄγαν δή
που ἐλπίδος τε καὶ χαρᾶς. ἐφ' ᾧ δὴ οὐδὲν
οἶμαι εἶναι, πρότερον μὲν συγγνώμην
παρὰ τῆς σῆς καλοκαγαθίας αἰτούμενον,
εἶτα δὴ ὥσπερ ταύτης τυχόντα, ἐπί γε σοῦ
δικάσοντος ἐγκαλεῖν σοι τουδὶ τοῦ ἐπαγγέλ-
ματος. οὐκοῦν ἀναιτίως ἂν τόνδε τὸν τρό-
πον ἐγκαλοίην μέν. μέμνησαι δήπου, φημὶ
ἐγώ, κύριε ἐπιεικέστατε, πρῶτον μὲν αὐ-
θαιρέτως τε καὶ διαῤῥήδην ἐπηγγελ-
μένος, εἶτα δὲ πάλιν ἐρομένων ἡμῶν, καὶ
ὥσπερεὶ ἐπίδοσίν τινα προικώαν προ-
μνωμένων φιλολογίᾳ κοινῇ, ὡς ἀνεκδότῳ
τινὶ κόρῃ, αὐτός γ' εὐπροσώπως τε καὶ
ἡδέως αὐτολεξεὶ σχεδὸν καθωμολογηκώς,
ἦ μὴν φροντιστήριον, καὶ νὴ δία φυτευ-
τήριον, ὡς ἄν τις φαίη, συντάξεσθαι τῶν
τ' ἐλλογίμων ἀνδρῶν καὶ ἐνδόξων ἐσο-
μένων. τοῦτο δὲ γενήσεσθαι ἐν τῷδε
τῷ ἡμετέρῳ ἄστει τῷ ἐπιπρεπεῖ μὲν
νῦν ὄντι, καὶ προσχήματι τῆς ὀνομαστο-
τάτης μοναρχίας σοῦ, ἐσομένῳ δὲ μουσείῳ
ἁπάσης τῆς κελτικῆς. ἔφασκες δὲ δὴ
ἵδρυμά τι λαμπρὸν τῇ πολυπαιδείᾳ
καὶ διγλώττῳ καταβαλέσθαι τε καὶ παμ-
μεγέθη συνοικίαν ἐποικοδομήσασθαι, ἐφ' ἧς ἐξέσται τοῖς ἀμφὶ τὰ γράμματα

vtinam abſolutum aliquando videam, ô ſumma valens poteſtate rex, qui quidẽ à te iſtud accepi, ac profectò ſanctè promittere apud iuuenes non veritus ſum, etiam rei euentum certè in meam fidem alacriter recipere propter immodicã vtique expectationem atque lætitiam. Quam ob cauſam certè nihil tale ſuſpicor, me quidem prius veniam à tua integritate poſcentem, deinceps ſanè ſicuti eiuſdem compotem, apud te quidem ſententiam dicendo, tecum agere huius promiſſionis. Proinde hunc in modum nõ iniuria expoſtularemus. Recordaris vtique, inquam ego, domine manſuetiſſime, primum quidem ſponte atque apertè te promiſiſſe, poſtea verò iterum poſtulantibus quidem nobis, & quemadmodum largitionem quandam dotalẽ conciliantibus philologiæ communi tanquam indotatæ cuipiam puellæ, ipſe quidem hilariter atque iucundè ad verbum fermè qui faſſus es, vtique ſcholam, ac certè plantarium, vt quiſpiam dixerit, te conditurum eſſe inſignium virorum & qui honorifici eſſe debeant. Iſtud verò fore in hac noſtra vrbe quæ quidem nunc apta ac decens eſt, & in amplitudine illuſtriſſimæ monarchiæ tuæ, porrò in futuro muſæo Galliæ vniuerſæ. Iam verò aſſeuerabas fundamentum quoddam luculentum ampliſſimæ doctrinæ bilingui te iacturum eſſe necnon permagnam domum cœnaculariã ſuperſtructurum, in qua permitteretur circa ſtudia literarum

probatarum operam nauare, & orbicularis diſciplinæ curſum volentibus etiam prolixum abſoluere, omnia quidem ad vitæ relaxationem idonea tota mente meditando. Fore vtique admittendorum in illa domo contubernali frequentiam ingentem, ceu comitatum quendam qui apparebit eſſe Palladis & muſarum. Huius profectò promiſſi te quidem eſſe in mora ſua expectatione homines qui non poſſunt eſſe ſuperiores aſſeuerant, mihi autem, non ſecus atque ſponſioni obnoxio incumbunt flagitãtes vtique abſolutam pollicitationem hanc exhiberi, vel multo quidem riſu me excipiendum eſſe propter rei fideiuſſionem feruido animo in mea fide receptam. Cuius profectò rei gratia quadam ex parte hos cõmentarios mihi in animũ incidit conſecrare amplitudini tuæ, in memoriam vtique tibi reuocaturos illuſtrem pollicitationẽ, quã alioqui paulò antè renouaſti. Interea tamen hos commentarios nuncupans nomini tuo, videbar mihi in Eucliæ, vt his verbis vtar, & Memoriæ [templo] eos conſecrare, ſordidum fortaſſis donarium ex ſe cũ fuerint. Nam ſe oſtentabit labor meus tali integumento, qui ſibi cõmoditatẽ amuleti cuiuſdam auerruncatoris, vt quidẽ arbitror, præbebit aduerſus cupientes mordendo increpare ipſos vel lædere.
Enimuerò quemadmodum locutus ſum, equidem in ius vocor fideiuſſione eorum quæ à te debentur: debitum quippe eſt ſi quod etiam

σπουδάζουσι τὰ δόκιμα, τῆς ἐγκύκλου παιδείας τὸν δρόμον, καὶ τοῖς βουλομένοις δὲ, τὸν δόλιχον ἐπιτελέσαι, ἅπαντά γε τὰ πρὸς ῥᾳστώνην ἐπιτήδεια συγκεκροτημένοις ἐκτενῶς. ἔσεσθαι γέμειν τὴν ἐγκριθησομένων τῇ συνοικίᾳ τῇδε πλῆθος πολὺ, οἱονεὶ θεραπείαν τινὰ φανησόμενον τῆς Ἀθηνᾶς καὶ τῶν μουσῶν. ταύτης δὴ τῆς ἐπαγγελίας σὲ μὲν εἶναι ὑπερήμερον οἱ προσδοκίας ἄνθρωποι ἀκρατεῖς ὄντες φάσκουσιν, ἐμοὶ δὲ, ὡς ἐγγύης ἐκείνης ὑπευθύνῳ, ἐπίκεινται, ἀξιοῦντες δήπου ἐπιτελῆ τὴν ἐπαγγελίαν ταυτηνὶ παρέχεσθαι, ἢ πολύν γ' ὀφλισκάνειν γέλωτα ἐπὶ τῇ τοῦ πράγματος ἀναδοχῇ θερμουργῶς πως ἀναδεχθείσῃ. οὗ δὴ ἕνεκα μέρος τι ταῦτα τὰ ὑπομνήματα εἰσῆλθέ μοι ἀνατιθέναι τῷ ἀξιώματι τῷ σῷ, ἀναμνήσοντά σε δήπου τῆς λελαμπρυσμένης ἐπαγγελίας, ἄλλως τε ἣν νεωστὶ ἔφθης ἀνανεωσάμενος. ἅμα μέντοι ταῦτα τὰ ὑπομνήματα ἐπιφημίσας τῷ ὀνόματι τῷ σῷ, ἐδόκουν μοι ἐν εὐκλείας, ὡς εἰπεῖν, καὶ μνήμης αὐτὰ καθιερῶσαι, ἄδοξον ἴσως ἀνάθημα καθ' ἑαυτὰ ἂν γενόμενα. ἐγκαλλωπιεῖται γὰρ τὸ διαπόνημα τοὐμὸν τοιούτῳ τῷ προσχήματι, ὅπερ αὐτῷ χρείαν περιάμματός τινος ἀλεξικάκου, ὥς γ' ἡγοῦμαι, παρέξεται κατὰ τῶν ἢ λοιδορεῖν αὐτὰ βουλομένων, ἢ λυμαίνεσθαι. ἀλλὰ μὴν, ὡς ἔφην, ἔγωγε τὴν ἐγγύην ἐγκαλοῦμαι τῶν ὑπὸ σοῦ κεχρεωστημένων. (χρέος γάρ τοί ἐστιν εἴ τι καὶ

ἄλλο, τὸ αὐτοκελεύστως ὑπεσχημένον.) Σοὶ δὴ ἤδη προνοητέον ὅπως μὴ τὴν βεβαιώσεως δίκην ὀφλήσῃς. σὺ γοῦν ἐπὶ πάντων μὲν δικαστῶν, καὶ δὴ καὶ ἐπὶ τοῦ βήματος τοῦ σοῦ βεβαιώσειν μέλλεις τὴν δίκην μοι ἐκείνην, ἥν ποτε ταύτην φύγω. ὅπως οὖν, ὦ δαιμονιώτατε τῶν βασιλέων, σύ γε τουτουὶ τοῦ χρέους εὐθέως τε καὶ μεγαλοπρεπῶς ἀπαλλάξῃ· εὐθέως δὲ καλῶ, ἐπειδὰν τάχιστα ὅ καιρός τε ἐγχωρῇ, καὶ τῶν πραγμάτων ἡ ἀφορμὴ τοῦτ' ἐνδέχηται. καὶ ταῦτα μὲν δὴ ταύτῃ ὑφ' ἡμῶν ἐγκεκλήσθω, κατὰ μὲν τοῦ σοῦ ἀξιώματος, δέσποτα σεβασμιώτατε, οὐδαμῶς· οὐ γὰρ οὕτω τετυφώμεθα. ἐπὶ δὲ τῆς σῆς μεγαλοπρεπείας, συναγορευούσης μέντοι που ἡμῖν τῆς σῆς φιλανθρωπίας, ἐμοί τε καὶ πᾶσιν ὁτιγνωριμωτάτης. τῆς βίβλου μέντοι περὶ ὁποιασδήποτ' οὔσης τοσόνδε λέγειν οὐκ εὐλαβήσομαι, τῇ ἐπιεικείᾳ τῇ σῇ θαρσήσας, αὐτὸς μὲν οὐκ ἀποτιμήσας δοῦναι. ἡ γὰρ τίμησις αὐτῆς οὐκ ἐμή, ἀλλὰ τῶν ἀναγνωσομένων ἔσται μέτριά γε οὖν ἑλληνιστὶ εἰδότων· σὺ μέντ' ἂν εὖ οἶδ' ὅτι ἀποτιμησάμενος δέξαιο, καὶ νὴ δι' ὑπερτιμησάμενός γε. αὐτὸς γοῦν περὶ τῶν ἡμετέρων ὡς περὶ ἐξαιρέτων τινῶν ὑπειληφέναι φιλεῖς, συνηδομένου μὲν ἐμοῦ ἐμαυτῷ τῆς οἰήσεως τῆς σῆς, οὐ μὴν δέ τοι συμφερομένου γέ σοι. οὐ μὴν ἀλλὰ βουλοίμην ἂν τοσαύτην εἶναι τὴν ὑπόληψιν

aliud, id quod tuopte nutu promiſſum eſt: Tibi ergo continuò præcauendum eſt ne cautionis mulctam patiaris. Tu ſubinde apud omnes quidem iudices, tum verò apud tribunal tuum debes ſancire & tua ſponſione ſtabilire mihi illam dicam, ſi tandem eam deprecatus fuero depulſeróque. Da operam igitur, ô regum fortunatiſſime, tu quidem vt hoc debito confeſtim atque magnificè libereris: confeſtim porrò dico, ſimulatque & per tempus opportunum fas erit, & negotiorum facultas iſtud admiſerit. Et hæc quidem hactenus à nobis iuridiciali actione agitata ſint, aduerſus tuam maieſtatem, ô here venerandiſſime, nequaquam: haud enim vſqueadeò vanè inanitérque ſuperbimus: Apud vero magnificentiam tuam, patrocinante tamen nobis humanitate tua, mihi omnibúſque perquàm notiſſima. De codice porrò qualicunque exiſtente tantum dicere haud verebor, facilitate tua fretus, ipſe quidē cùm non æſtimauerim dare: æſtimatio ſi quidem eius non mea, verùm lecturorũm erit mediocriter ſubinde Græcè doctorum. Atqui tu compertum habeo æſtimando admiſeris, atque adeò immenſo quidem precio æſtimaueris. Ipſe quippe de noſtris ſcriptis veluti de egregiis quibuſdam exiſtimare pro more habes, gratulante quidē me mihi ipſi opinionis tuæ gratia, ſed non tamen tibi aſſentiente. Quinetiam velim tantum eſſe iudicium

tuum atque omnium de his commentariis, quantum quidem maximum ſit de aliquo eorum quæ à me compoſita ſunt. memini enim hos ſcribens, exquiſitiſſimè quidem me ipſum cohibuiſſe, opus verò feciſſe hac libri confectione vt quàm maximè prodeſſem his qui ſe ſtudioſos oſtendunt. Cæterùm meditatio huiuſmodi fortaſſis erat, propter quam etiam quiſpiam me ſolertior elleborum, vt ſic loquar, ſumpſiſſet, quod profectò Carneades olim faciebat ingenioſiſſimus ac ſubtiliſſimus argumentator, ſcripturus vel dicturus contra Zenonem. Huius autem meditationis laborem tanto tibi fore iucundiorem certus ſum, quanto certè tu quidem literas benè audientes venerari aſſuetus es, procliuiorem nihilominus teipſum laudatorem patefeciſti ac ſtudioſum Græcarum literarum. Quod ego oculis perluſtrans animóque colligens, alioqui cum admiratione obſeruans Græcos haud ſecus atque totius eruditionis planè principes & inuentores, in plurimas me ipſum conieci moleſtias, in hac parte operam nauans. Cernebam porrò etiam complures iam hos quidem qui erant auidi loquelæ Græcanicæ ob tuum iudicium, alios verò ineruditos hac locutione filios inſtituendos curare. Solet quippe quicquid vnius imperio regitur, aiũt, ea quæ ſoli principatum tenenti acceptiſſima ſunt ſectari & ſtudioſè colere. Adhæc tuũ munus erit deinceps, rex chriſtianiſſime, qui benignus dictus es,

σήν τε καὶ πάντων περὶ τούτων τῶν ὑπομνημάτων, ὅση περ δὴ μεγίστη περί του τῶν ἐμοὶ συγγεγραμμένων εἴη. μέμνημαι γὰρ ταῦτα γράφων, ἀκριβέστατα μὲν ἐμαυτοῦ ἐπισχήσας, ἔργον δὲ ποιησάμενος ταύτῃ τῇ συντάξει ὅτι πλεῖστον ὀνινάναι τοὺς φιλομαθῶς διακειμένους. καὶ μὴν καὶ τὸ φρόντισμα τοιοῦτο ἦν ἴσως, ἐφ' οἷῳ καὶ τῶν σοφωτέρων τις ἐμοῦ ἐλλέβορον, ὡς εἰπεῖν, προσενέγκαιτο, ὃ δὴ Καρνεάδης ἐποίει πάλαι ὁ ἐπιχειρηματικός, γράψων ἢ λέξων κατὰ Ζήνωνος. τούτου δὲ τὴν ἐκπόνησιν τοσούτῳ σοι ἔσεσθαι κεχαρισμενωτέραν πέπεισμαι, ὅσῳ δὴ σύ γε τοὺς λόγους ἀποβλέψαι τοὺς εὐδοκιμοῦντας εἰωθὼς, ἐπιρρεπέστερον ὅμως σαυτὸν ἐπαινετήν τ' ἐξέφηνας καὶ ἐραστὴν τῶν ἑλληνικῶν. ὅ περ ἐγὼ ἀθρήσας καὶ ἀναλογισάμενος, ἄλλως τε θαυμάζων τὰ τῶν Ἑλλήνων, ὡς συμπάσης τῆς παιδείας τοπαράπαν ἀρχηγῶν, πολλὰ παρέσχον ἐμαυτῷ πράγματα, τούτῳ τῷ μέρει ἐμφιλοσοφῶν. ἑώρων δὲ καὶ πολλοὺς ἤδη ὄντας, τοὺς μὲν τοῦ ἑλληνισμοῦ διὰ τὴν σὴν ὑπόληψιν ἐφιεμένους, τοὺς δὲ τῶν ἀπαιδεύτων τὰ τέκνα τοῦτον διδασκομένους. φιλεῖ γοῦν ἅπαν τὸ μοναρχούμενον, φασί, τὰ μοναρχοῦντι καταθύμια ἐπιτηδεύειν καὶ διὰ σπουδῆς ἔχειν. σοὶ τοίνυν καθήκει ἔσται τοὐντεῦθεν, χριστιανικώτατε βασιλεῦ, ὁ χρηστὸς εἰρημένος,

τῶν τε φιλελλήνων προΐστασθαι καὶ παιδείας ἐρώντων, μὴ ἐπὶ σοῦ βασιλεύοντος καὶ τοσαῦτα πεφιλοτιμημένου εἰς τοὺς ἀξίους εἶναί σοι δοκοῦντας, τούτοις ἐπιζήμιον φανῇ, τοῖσδε τοῖς μαθήμασιν ἐνδεδιητῆσθαι, οἷς σύ γε ἐν τοῖς πάνυ ἀρέσκεσθαι ὑπείληψαι. ἔρρωσο, κύριε ἐπιεικέστατε, καὶ διὰ βίου εὐημέρει. ἐκ Παρησίων, ἔτει ἀπὸ τῆς θεογονίας χιλιοστῷ πεντακοσιοστῷ ἐνάτῳ καὶ εἰκοστῷ.

& Græcam facundiam obſeruantibus prouidere ac diſciplinam appetentibus, ne tempore regni tui & cùm res tantas munificè contuleris in eos qui digni eſſe tibi apparuerint, eiſdem noxium videatur cum his diſciplinis commercium habuiſſe, in quibus tu quidem apprimè conquieſcere deprehenſus es. Vale, domine manſuetiſſime, & per totam vitam felix eſto. Lutetiæ Pariſiorum, anno à dei natiuitate milleſimo quingenteſimo nono & viceſimo.

ΙΛΕΡΜΟΣ ΒΟΥΔΑΙΟΣ ΤΩΝ νέων τοῖς τῶν ἑλληνικῶν λόγων ἐφιεμένοις εὖ πράττειν.

Ἐπειδὴ γὰρ τοῖς ἀκριβῶς τῶν λόγων ἡμμένοις τῶν δοκίμων οὐδὲν ἑώρων περισπουδαστότερον ἐν τῷ παρόντι, ἢ ὅπως τῆς παιδείας ἀντικρὺς ἐφίξοιντο τῆς ἑλληνικῆς, διὰ τοῦτ' ἐγὼ διὰ σπουδῆς ἔσχον, ὦ νέοι προσφιλέστατοι, καὶ ἐν τοῖς μάλιστα δὴ προὐθυμησάμην, τοῖς οὕτω τὴν προαίρεσιν διατεθεῖσι συμφιλοπονεῖν, ἐφ' ᾧ τούτοις συμπορίσασθαι ὧν μάλιστα δεῖσθαί μοι ἐοίκασιν, ἐφ' ὅσον δὴ ἔγωγε οἷός τ' ἦν διαπράττεσθαι. καὶ γὰρ δὴ ᾧ τινί τε πρώτῳ, καὶ χρόνον οὐ βραχὺν μόνῳ τῶν τῇδε φιλομαθησάντων, ἐποπτεύειν τε τὰ τῶν ἑλλήνων καὶ πολυπραγμονεῖν ὑπῆρξεν, οὐδὲ ὅ,τι δήπου μὴ ποιήσειν τοῦτ' ἤμελλεν, ὁρῶν τοῦθ' ὅ,τι εἰσηγούμενος καὶ ὑποδεικνύων ἔτυχε, κατ' οὖρον νῦν φέρεσθαι. αὐτὸς τοίνυν τούτου πρῶτος τοῦ

GVLIELMVS BVDÆVS adoleſcentibus literas Græcas ſtudioſè colentibus benè agere.

QVandoquidem circunſpectè accuratéque probanda literarum ſtudia exercentibus nihil cernebam optatius in præſentia, quàm vt planè ſerióque Græcam eruditionē attingerent, ea de cauſa ego operam dedi, ô iuuenes beneuolentiſſimi, & in primis certè exoptaui & enixus ſum, cum hunc in modum quoad animi propoſitum affectis vnà lucubrare, quò iiſdem compararem ea quæ potiſſimùm deſiderare mihi viſi ſunt, quatenus profectò mihi quidem facultas fuit exequi. Etenim cui & primo, & prolixo tempore ſoli eorum qui hîc honeſta ſtudia coluerunt, ſpeculaŕique Græcos auctores & curioſè indagare datum eſt, nihil profectò quod minimè is deberet facere cernens id cuius erat auctor ac præmonſtrator, proſpero nunc vēto ferri. ipſe proinde primus hūc

conatum attigi, vt exiſtimo, iuxta quandam diuinam fortunam. Etſi pluribus quidem me improbātib. propter nouam ac recentem molitionē, quibuſdam verò quoad cognationem mihi coniunctis, etiam me delirare arbitrantibus. Aliquibus porrò impoſturam & faſcinationem eſſe eruditionem hanc aſſeuerantibus, ob ſuam inſcitiā. Sanè quidem ſtudij literarij curriculum curſuris legitimū, ſiquid aliud præſtructum ac præparatum ſit ab exoneraturo difficultatem ſtrenui laboris, & iſtud profectò oportebat in primis, vt ſermones oratorū intelligentéſque deligerent & cum voluptate commemorarent. Id nāque facilem & expeditum quidem laborem adornare debebat, expectationem verò diſcendi cupidorū ad ea quæ ſunt remotiora corroborare. His igitur monimenta oratione ſoluta ſcribentium necnon oratorum recenſentibus arbitrabar dictiones oratorias maximè moleſtiam exhibituras, forſitan verò etiam immodicam ipſorū ſtrenuitatem diſtenturas eſſe. Ob quā profectò cauſam quidpiā conducibile me facturum exiſtimabam, ſi hanc partem explanationis feliciter ſuſciperem, idque agens, iuxta Romanorum linguā ſingulis vocibus congruentem expoſitionem prout facultas daretur ipſe redderem. Hunc ſcopum nos in primordio pro materia & argumento aſſumentes, hos commentarios incœptaueramus, ad illúdque ſolum propemodū tunc reſpicientes, paucis videlicet tum liberari putaba-

ἐγχειρήματος ἡψάμην, ὡς μοι δοκῶ, κατά τινα θείαν τύχην. καίτοι τῶν πολλῶν μὲν ἐμοῦ θαυμαζόντων διὰ τὴν καινοτομίαν, ἐνίων δὲ τῶν κατὰ γένος μοι προσηκόντων, καὶ παραπαίειν οἰομένων. ἔστι δὲ ὧν καὶ γοητείαν εἶναι τὸ μάθημα φασκόντων, διὰ τὴν ἀπειρίαν. τοῖς μὲν οὖν τὸν φιλολογίας δρόμον διεξιομένοις τὸν γιγνόμενον, εἴτι ἄλλο προωδοπεποιῆσθαι ὑπὸ τοῦ ἐπικουφιοῦντος τὸ πραγματῶδες τῆς φιλοπονίας, καὶ τοῦτο δὴ χρῆν ἐν τοῖς μάλιστα ὅπως τοὺς λόγους τῶν ῥητόρων ἐπαΐοντές τε ἐπιλέξονται καὶ μεθ' ἡδονῆς διεξίασι. τοῦτο γὰρ εὐχερῆ μὲν τὸν πόνον παρασκευάσειν ἔμελλε, τὴν ἐλπίδα δὲ τῶν φιλομαθῶν πρὸς τὰ πόῤῥω ἐπιῤῥώσειν. τούτοις τοίνυν τὰ τῶν λογογράφων τε καὶ τῶν ῥητόρων ἐπερχομένοις ἐνοχλήσειν ᾤμην οὐχ ἥκιστα τὰς δικανικὰς λέξεις, τάχα δὲ καὶ τὴν ἄγαν αὐτῶν προθυμίαν ἀποπαύσειν. ἐφ' ᾧ δὴ προὔργου τι ποιήσειν μοι ἐδόκουν, εἰ τῷδε τῷ μέρει ἐπιτυχῶς τῆς ἐξηγήσεως ἐπιθοίμην, τοῦτό τε ποιῶν, κατὰ τὴν τῶν ῥωμαίων γλῶτταν ἑκάστῃ φωνῇ τὴν προσήκουσαν ἑρμηνείαν ὅπη παρείκοι αὐτὸς ἀποδιδοίην. τουτονὶ τὸν σκοπὸν ἡμεῖς τὴν ἀρχὴν ὑποθέμενοι, ταῦτα τὰ ὑπομνήματα ἐτυγχάνομεν ἐνστησάμενοι, ἐκείνου τε μόνου σχεδὸν τότ' ἐστοχασμένοι, διὰ βραχέων δήπου ἀπαλλάξειν φό-

μεθα. προϊόντες μέντοι τοῦ ἔργου διευλαβεῖσθαί μοι παρέστη, μὴ φαῦλον εἴη δοκεῖν τὸ σύγγραμμα, ὡς πολὺ ἧττον δήπου τῆς προσδοκίας ἐσόμενον τῆς ἐνίων ἀνθρώπων. ἐτύγχανε γὰρ ὂν ἐπίδοξόν τι παρ' ἡμῶν, ὡς τῶν συνήθων μοι καὶ γνωρίμων ἐπυθόμην, τῶν ἑλληνικῶν πέρι ἐξηγημάτων, πολλῷ τε μεῖζον καὶ διεξοδικώτερον ἢ ὅπερ εἰς νοῦν ἐγὼ ἐμβεβλημένος ἦν τότε. ἐπεὶ δὲ τούτου τὸ τῆς ἐπιθυμίας τῶν νέων οὕτω θερμὸν εἶναι ᾐσθόμην, ὥστε τῶν ἐντυγχανόντων ἔνιοι οὕτως ἐστὶν ἡ προσδοκία ἀκρατές τε καὶ ἐπισπευστικόν ὡς ὑπερημέροις ἡμᾶς ἤδη τοῦδε τοῦ χρέους, εἰσπράττοιντο. ἦν δὲ τὸ χρέος οὐ τὸ ὑπ' ἐμοῦ ἐπηγγελμένον, ἀλλὰ τὸ δι' ἣν ἔτυχον αἰτίαν ὑπ' αὐτῶν προσδοκώμενον. ταῦτα δὴ ἐννοούμενος, τὴν μὲν ἐνεστηκυῖαν συγγραφὴν προαγαγεῖν ἐπεβαλόμην κατὰ τὴν ἐνδεχομένην ἐπιμέλειαν. καὶ δὴ καὶ ἐκ προσαγωγῆς πόρρω που ἔφθακα διεξελθών, ἐνδιδούσης δῆθεν τῆς συνεπείας, καὶ τοῦ ἐφεξῆς ἀεὶ ἐξεχομένου τὴν ὑφὴν παρεκτείνοντος. τοῦ γὰρ ἔμπροσθεν σκοποῦ ἀντεχόμενος, ἅττ' ἐν παρέργου μέρει οὕτως ἠδυνήθη τεθεῖσθαι, ὡς τὰ ἡμῖν ἄλλ' ἐπ' ἄλλοις ἐπερχόμενα, τῶν ἤδη παραπεπλεγμένων ἁρμοδίως ἔχεσθαι, τούτοις οὕτως ἐπεξῆλθον, ὥστε οὐδαμοῦ οὐδεπώποτε συνειδέναι μοι, οὔτε τι καθυφειμένῳ,

mus:procedente tamen opere cautionem adhibere mihi in animum incidit, ne ignobile eſſe videretur volumen, veluti longè minus certè futurum expectatione quidẽ nonnullorum hominum. Contigebat enim illuſtre quidpiam à nobis, quemadmodũ ex familiaribꝰ meis & notis intellexi, de Græcanicis explanationibus, multóq. plenius & latius quàm quod tunc ego animo conceperam. Ob id porrò auiditatem adoleſcentulorũ vſqueadeò præcipitem eſſe comperij, vt quidam eorum qui ſe mihi obuios darent:ita expectatio res eſt impotens atque feſtinans, haud ſecus atque à nobis iam nõ intra diem ſoluentibus iſtud debitum exigerent. Erat autem id debitum non à me promiſſum, verùm ab ipſis expectatum propter cauſam quam fortuitò nactus ſum. Hæc ſanè mecũ reputans, incœptam quidem compoſitionẽ promouere tentaui quatenus per vigilantiam fieri potuit. Ideóque paulatim procul effugi commentans prolixáque narratione vtens, id condonante videlicet verborum conſequentia, atque ordinatim ſemper appendice dependentiáque texturam producente. Nam præcedenti ſcopo operam nauans, quæcunque in negligentiæ parte ſic potuerunt collocari, vt ea quæ nobis alia poſt alia in animum incidunt, his quæ iam admixta fuerant concinnè adhæreant, ea ſic oratione perſequutus ſum, vt nuſquam mihi conſcius fuerim: nec quid de meis viribus ſubmiſiſſe,

nec à via declinauiſſe quam exorſus eram recto tramite perficere. Et verò quæcunque quidem mente voluere integrum fuit mihi ex his quibus opus erat exquiſita animi agitatione, aut oratione non in digna erant, vel coniectu difficilia apud illuſtres auctores, & quales profectò obſtruſiores minúſque vſitatas dictiones vel obſoletas priſci nuncupant, hæc certè omnia explanare aggreſſus ſum, & quæ aſpera impolitáque erant adoleſcentibus adæquare apprimè contendi. Et enim explanationes perfunctoriè attingere quãdo pleniore inſuper opus eſt oratione,& compendioſo vti ſermone,vt vno verbo abſoluam, dicendo ad fallendos audituriẽtes,ſimile quiddam eſſe equidem exiſtimo, & viã præſtruẽdo,laborẽ munitionis viæ ſibi ipſi condonare aut aſperitates itineris præterire, aut diſruptã ſalebroſámque viã tranſilire. Hæc proinde impigerrimè laborãdo confeci,multoties quidẽ importunè fatigatus, neque priùs deſij incuſantibus me neceſſariis meis, & vt modeſtè tractarem valetudinem exigentibus, priuſquàm quieſcere repente ipſe coactus fui, atque etiam occupationem planè pro derelicta habere, nedum vehementẽ induſtriam elangueſcentem reddere. Nam quid egiſſem quando mihi conſcius eram quidpiam immedicabile perpeſſo? Quod ſanè contigit mihi interea dum diligentiſſimum ſtudium adhiberem, ſicuti

οὔτε τὴν ὁδὸν ἐκτραπομένῳ ἣν εὐθυπορεῖν ἠρξάμην. καὶ μὴν δὴ καὶ ὅσα τι ἐνθυμεῖσθαι δυνατὸς ἦν ἐγὼ τῶν πραγματείας ἀκριβοῦς δεομένων, ἢ λόγου οὐκ ἀναξίων, ἢ δυστεκμάρτων παρὰ τοῖς πάνυ συγγραφεῦσι, καὶ εἴτε δὴ γλωσσηματικὰς λέξεις ἢ ἀπηρχαιωμένας οἱ πάλαι ἀποκαλοῦσι, ταῦτα δὴ πάντα διασαφηνίσαι τ' ἐνεχείρησα, καὶ τὰ ἀνώμαλα τοῖς νέοις καθομαλίσαι σφόδρα διεφιλοτιμήθην. καὶ γάρ τοι τὰ τῆς ἐξηγήσεως ἀφοσιοῦσθαι ὅπου διεξοδικωτέρου προσδεῖ λόγου, καὶ λακωνίζειν, ὡς ἔπος εἰπεῖν, τὸν λέγοντα ἐπὶ τῇ παρακρούσει τῶν ἀκουσειόντων, ἴσον εἶναι ἔγωγ' ἡγοῦμαι, καὶ τὸν προοδοποιοῦντα, τὸν πόνον τῆς ὁδοποιίας ἑαυτῷ καταχαριζόμενον, ἤτοι τὰς δυσχωρείας παρεκβαίνειν τῆς ὁδοιπορείας, ἢ τὰ κατερρωγότα τῆς ὁδοῦ ὑπεράλλεσθαι. ταῦτα τοίνυν ἐκπονῶν προθυμότατα διετέλεσα, πολλάκις γ' ἐνοχλημένος, οὐδὲ πρότερον ἐπαυσάμην ἐπιτιμησάντων τέ μοι τῶν οἰκείων, καὶ φείσασθαι τῆς ὑγείας ἀξιούντων, πρὶν ἀτρεμεῖν ἐξαίφνης αὐτὸς κατηναγκάσθην, καὶ δὴ καὶ τῆς πραγματείας παντελῶς ἀφίεσθαι, μὴ ὅτι τῆς ἄγαν φιλοπονίας ἀνεῖναι. τί γὰρ ἂν καὶ ποιήσαιμι ὁπότε συνῄδειν ἐμαυτῷ ἀνήκεστόν τι παθόντι; ὃ δὴ μεταξὺ σπουδὴν ποιουμένῳ μοι τὴν προθυμοτάτην, ὡς

ἔφην,

ἔφην, συμπεσὸν τὴν τῶν χαλκογραφούντων συμπᾶσαν κατέσχε πολυχειρίαν τό γ' ἐπὶ τούτῳ τῷ συντάγματι. ἐγένετο δὲ διάλειμμα τοῦ ἔργου οὐκ ἔλαττον τριμηνιαίου, ἡμῶν ἐν τῷ μεταξὺ τοῦτο μὲν ἀπὸ τῆσδε τῆς ἀναπαύλης, τοῦτο δὲ ὑπὸ τῆς ἀναληπτικῆς διαίτης ἀναρρώσειν ἐλπιζόντων τὴν δύναμιν, πολλά τε ἐπὶ τούτῳ μοχθούντων καὶ πειρωμένων. οὐ μὴν ἀλλὰ οὐδ' οὕτω τὰ δεινὰ ἐλώφησε τῆς κολαστικῆς νόσου, οὐδέπω καὶ τήμερον. καὶ μὴν δὴ καὶ ἔμοιγ' ἡ ἐπίτριπτος αὕτη νόσος βασανίστριά τις νυνὶ τῶν ἰατρῶν τε καὶ φίλων ἐγένετο, ὧν τοῖς παραγγέλμασι πειθαρχεῖν οὐκ ἤθελον, πολὺν χρόνον τετρυχωμένος ὑπὸ τῆς ἄγαν φιλοπονίας, ἐν μηδενὶ ὑπολόγῳ τιθέμενος μηδεπώποτε τὸ εὔρωστον τοῦ σώματος, πρός γε τὴν τοῦ φιλομαθεῖν ὁρμήν. ἐφ' οἷς δὴ συγγνωμονεῖσθαι ὑπὸ τῶν σπουδαίων ἀνδρῶν δίκαιοι δήπου ἐσμέν, ἀνθ' ὧν τὸν δρόμον τοῦτον αὐτοῖς εὐοδοῦντες διεποιησάμεθα, ὃν ἡμεῖς αὐτομαθεῖς ὄντες ἅμα καὶ ὀψιμαθεῖς, πονήρως πως δεδραμήκαμεν, ὅσα μῦς ἐν πίττῃ, φασίν, ἐν τοσούτῳ κακοπαθοῦντες. οὐδὲ μὴν ἐὰν ἄλλ' ἄττα ποτὲ προσεπιποθήσωσί τινες τῶν αἰτητικωτέρως τε καὶ σκληροτέρως ἐχόντων, οὐκ αὐτοὶ τούτου ἕνεκα ἀξιοῦμεν εἶναι πράξεσθαι εἰσαῦθις, ὡς χρεωφειλέται γενόμενοι παρὰ τὴν τῆς βίβλου ἐπιγραφήν. οὐ γὰρ οἶμαι διότι ὑπομνηματογραφεῖν ἐπηγ-

dixi, typographorum cohibuit numeroſam manum quod quidẽ attinet ad elaboratum hoc opus. Facta eſt porrò operis intermiſſio nõ minor ſeſquimenſe, nobis interim partim quidem ex hac intermiſſione, partim verò præ reſtaurante viuendi ratione vires me corroboraturum eſſe ſperantibus, multáque propter id laborioſè agentibus cõtendentibúſque. Quinetiã nec ita ærumnæ me cohibentis morbi ceſſarunt, ne huc vſque quidẽ. Et verò mihi quidem perditus ipſe langor explorator & examinator quidam nunc medicorũ necnon amicorũ fuit, quorum admonitionibus obtemperare non ſtatui, prolixo tempore defatigatus propter immodicam elucubrationem, in nulla reputatione collocans, nihilíque faciens vnquam proſperam valetudinem corporis, propter in diſcendo ingenuam alacritatem. Quibus profectò de cauſis candidè agnoſci à ſtudioſis viris digni vtique ſumus, eò quòd curſum hunc ipſis fauſtè dirigentes expoliuimus, quem nos noſtro marte edocti, ſimúlque ſerò inſtituti ægrè quodãmodo cucurrimus, quæcũque mus in pice, aiunt, interim afflictè tolerantes. Nec verò ſi cætera tandem inſuper concupiſcant quidam procaciter rigidéque animati, haud ipſi huius rei gratia æquum iudicamus nos iamiam exagitandos eſſe amplius, tanquam debitores effecti ob libri titulum. Non enim puto, propterea quòd commentarios ſcribere pro-

miſi, continuò permaximæ cuipiã rei obnoxius euaſi. Aut inurbaniſſimum fuerit, elaboratorum quidẽ gratiam triuialem agnoſcere, elaborandorũ verò cauſa adhuc mordaci inſtantérque petenti atque litigioſo ſe animo affectos præbere: alioqui perſuaſum habentes quantopere ad longè remotiora feſtinãtem me mali acerbitas hunc in modum impediuit, vt ſi minimè ſtatim in otio fuerim, fatum occuparit. Prætermitto verò dicere quia inter emeritos iam annumerari decreuimus neque intempeſtiuè nec indecenter. In iuſtis quidem forſitã ipſi & legitimis expeditionibus cũ nondum ſtipendia fecerimus, cauſarij milites nimirũ præ ſenectute & infirmitate effecti ſumus. Adhæc porrò conſtantis erat viri opinor & ſuam ipſius mediocritatẽ reputantis, minimè ex ſeipſo omnia amplecti tentare talia tantáque, ſolertiſſimorum forſam quibuſdam ſplendidum argumentum iactantiæ ſurripientia. Quod profectò liuidum eſſe apparebat. Arbitror verò etiã prouidentiã à generoſiore alacritate me vindicaſſe, & magis deditum commentationi ſeparaſſe, aliũ quẽpiam generoſũ & moderatũ paulò pòſt ex aduerſo impulſurã, ſimúlque capeſſurum opus, & id quod à me derelictum eſt excepturum, non ſecus atque iam defatigato. eſt quippe copioſa operis perficiendi ſuſceptio, & quæ admittat ſucceſſorẽ, vnũ ac plures. Ego quidẽ certè quantũ in me ſitũ fuit, quin potius

γλαμύν, ἤδη εἰς ὑπερμέγεθές τι ὑπεύθυνος γέγονα, ἢ ἀγνωμονέστατον ἂν εἴη, τῶν μὲν ἐκπεποιημένων χάριν τὴν τυχοῦσαν εἰδέναι, τῶν δὲ ἐκποιηθέντων ἂν προσέτι ἀπαιτητικῶς τε καὶ ἐγκληματικῶς ἔχειν. ἀλλ' ὥστε τοὺς πεπυσμένους ὡς ἐπὶ τὰ πορρωτέρω ἱέμενόν με τὸ δεινὸν διέκοψεν οὕτως, ὥστε κἂν εἰ ἡσυχίαν μὴ εὐθὺς ἦγον, τὸ χρεὼν ἂν κατέλαβεν. ἐῶ δὲ λέγειν ὡς εἰς τοὺς ἀφέτους ἤδη τελεῖν διεγνώκαμεν οὔτε παρώρως οὔτ' ἀπεικότως· τὰς γιγνομένας μὲν ἴσως αὐτοὶ καὶ νομιζομένας στρατείας οὔπω ἐστρατευκότες, ἀπόμαχοι μέντοι γε ὑπὸ γήρως καὶ ἀρρωστίας γεγονότες. ἐπὶ δὲ τούτοις σώφρονος ἦν ἀνδρὸς οἶμαι, καὶ ἰδίαν ἑαυτῷ μετριότητα ὑπολογισαμένου, μὴ αὐτὸν καθ' αὑτὸν ἅπαντα περιβάλλειν ἐγχειρεῖν τάδε ὄντα καὶ τηλικαῦτα, τῶν εὐφυεστάτων ἴσως ἐνίοις λαμπρὰν ἀφορμὴν τῆς ἐνδείξεως ὑφαρπάζοντα. ὃ δήπου βάσκανον ἂν εἶναι ἐδόκει. οἶμαι δὲ καὶ τὴν πρόνοιαν νεανικωτέρας τε τῆς ὁρμῆς με παύσασαν, καὶ προσαπειρηκότα τῷ συγγράμματι ἀποσπάσασαν, ἄλλον τινὰ τῶν γενναίων καὶ μετρίων ὅσον οὐδέπω ἀντεξορμήσειν, συνεπιληψόμενόν τε τοῦ ἔργου, καὶ τὸ ἐγκαταλειφθὲν ὑπ' ἐμοῦ ἐκδεξόμενον, ὡς ἤδη ἀπειρηκότος· ἔστι γάρ τοι ἀμφιλαφὲς τὸ ἐργολαβημένον, καὶ οἷον προσδέξασθαι τὸν διαδεξόμενον, ἕνα καὶ πλείους. ἐγὼ μὲν δὴ τὸ κατ' ἐμέ, μᾶλλον δὲ

πολὺ μεῖζον ἢ κατ' ἐμὲ ἀπειργασμένος, τοῖς καθημένοις τουτέστιν ἐπὶ θέα ἐντετάξομαι. γένοιτο δὲ πάντως ἕκαστον τῶν ἐπὶ τῷ αὐτῷ ἀγῶνι ἀνταγωνιουμένων τε, καὶ ὡσαύτως παρενδειξομένων, τὸ ἐπιβάλλον εἰς ἑαυτὸν μέρος οὕτω συντελεῖν εἰς τὸ μέσον, ὡς τὸ ἡμέτερον τὸ τούτων παραδοκιμεῖν. γένοιτο δέ τοι καὶ ἐμοὶ τοῦτο ὁρᾶν ἐπιζήσαντι, ἵνα καὶ τόδε τῆς ἄγαν φιλοπονίας ἀπολαύσω τοῖς ἄλλοις συνηδόμενος τῆς τοῦ πράγματος ἐπιδόσεως. τουτὶ γεμῶν τὸ φρόντισμα αὐτὸς ἐπ' ἐμαυτοῦ τυγχάνω πεφροντικώς. καὶ τοὺς ἄλλους δὲ τοὺς προλαβόντας μόχθους οὐδενὸς συνεργοῦντος Ἰόλεω ἐπιτελεῖν συνέβη μοι, ὡσπερεὶ μονάστῃ ὄντι. ὃ δή μοι ἐπιεικεστέρους τοὺς δικάζοντας εἰκότως ἂν παρασκευάσειε, καὶ συγγνωμονικωτέρους τῶν παρὰ μέλος ὑπ' ἐμοῦ ἐνδεδειγμένων. πῶς γὰρ ἂν ἀναμαρτήτως τοιοῦτό τι ποιήσειε, ἵνα τρόπον κατορθωτικὸς εἴη ἐκεῖνος, ὃς πρὸς τῷ αὐτοδίδακτος εἶναι ὥσπερ ἐκεῖνος ὁ τοῦ Ὁμήρου Φήμιος, καὶ παιδείας τῆς γνησίας ἀπότροφος, καὶ ἐνδείᾳ δὴ συγγέγονεν τῶν τε συσκεψομένων καὶ τῶν ἐπανορθωσομένων. ἀμέλει τὴν τῶν ἐμπείρων τὰ τοιαῦτα καὶ δεξιῶν τὴν ὁμιλίαν, ἡ ἰδέα τοῦ βίου ἀφήρηταί με. ἀλλὰ γὰρ φήσειέ τις ἄν, ἀσφαλὲς ἦν τὸ τῶν περισκεπτικῶν καὶ πεφυλαγμένως διακειμένων, τὸν αὐτομαθῆ εἶναι ἑαυτῷ

multo magis quã pro viribus meis cùm effecerim, in ſedentium poſthac ad ſpectaculum ordinem mox redigar. Sed eueniat vt vnuſquiſque eorum qui in eadem concertatione & reluctaturi ſunt, atque ſimili modo ſpecimen documentúmque ſui daturi, ſpectantem ad ſe ipſum partẽ ſic conferat in medium, vt noſtram hanc in hiſce[cõmentariis] ignobiliorem reddat. Contingat porrò & mihi iſtud videre vitales auras carpenti, vt etiã ex hoc immodico ac ſtudioſo labore fructum percipiam aliis congratulans operis propagatione. Hanc vtrique commentationẽ ipſe apud me ipſum meditatus ſum. Et alias ſanè præcedentes moleſtias nullo opitulante Iolao abſoluere mihi accidit, tanquam ſolitario. Quæ res profectò mihi æquiores iudices nõ iniuria diſpoſuerit, & ad ignoſcendum propenſiores his quæ inconcinnè à me cum oſtentatione exhibita fuerunt. Nam quonam pacto incorruptè tale quidpiam feciſſet, qua ratione ſuſcepti negotij compos eſſet ille, qui vltra id quod ſuopte ingenio edoctus eſt ſicuti ille Homeri Phemius, & à diſciplina ingenua procul enutrit⁹ & in egeſtate certè verſatus eſt & eorũ qui ſimul meditarẽtur & emendarent. Denique peritorum in talibus rebus & officioſorum conſuetudine, hæc vitæ ratio me ſpoliauit. At enim dixerit quiſpiã, ſecuritas erat hæc circunquaque ſpectantium & ſe cautos gerentiũ, eum qui nõ extrinſecus aſſũptæ doctrinæ ſibi ipſi germanæque inertiæ conſcius eſſet

(iſtud autē cupit eſſe improbanda doctrina) inter audiētes ſe ipſumq. annumerare, ac taciturnè procedere. Atque adeò deſidioſum quidē iſtud erat, & ad vitæ relaxationem accommodatū. Sed enim nō mihi datū eſt in mea ſtatione, ſicuti decreueram, manere, pluribus ſe mihi offerentibus exactoribus, quibuſdā etiam tanquā gloriā affectantibus, cuipiā alias ſuper alias concertationes imperantibus quāuis iam emerito ac ſeneſcenti. Iſtos ſanè quidē Euryſteos multum valere in poſterum cum regina Iunone miſſos me facturū cenſeo. Quæ quidem imperium ſplendoris adepta, humanæ verò grauitati ſuo iure dominans, cuilibet præclaro imperioſam atque regalē ſe exhibet. Quanquā me ab hac ipſa hera ſine mora liberabit ambitionis decremētū, quod viuacitatē ac ſtrenuitatē collabefactare ſolet vnà cū ipſo ætatis flore. Quemadmodū igitur immunis effectus ab hoc munere, & tranquillitatem poſthac aſſequutus lubētibus iam his qui antehac in otio & quiete manere nō ſinebant, diſcedo à ſcena necdum defatigata penitus voce artē compeſcens. Nam inuiſos habeo eos qui (aiunt) in ſtatione currētis facis cedunt, quicūq. [ſint] iam elangueſcētes ac eneruati. Nominis ſplēdorē aſſequiminor, ô iuuenes, & circa literariū ſtudium forti animo in vita veſtra cōmoditatem percipite. Lutetiæ Pariſiorū, Auguſti menſis anno nono & viceſimo vltra mille & quingentos.

(τοῦτο δὲ βούλεται τὸ εἶ κακομαθείᾳ) αὐτοφυῆ τε ἐκμαθεῖν συνεγνωκότα, εἰς τοὺς ἀκροωμένους αὐτόν τε ἐγκρίνειν, καὶ ἐχεμύθως ἔχειν. καὶ νὴ Δία ῥᾴθυμόν γε τὸ αὐτό, καὶ πρὸς ῥᾳστώνην τοῦ βίου ἐπιτήδειον. ἀλλ᾽ οὐ γὰρ ἐξεγένετο κατὰ χώραν, ὡς διεγνώκειν, μένειν, πολλῶν μοι προστυχόντων τῶν ἀπαιτητῶν, τινῶν δὲ καὶ οἱονεὶ τῶν φιλοδόξων τινί, ἄλλους ἐπ᾽ ἄλλοις ἀγῶνας ἐπιταττόντων καίπερ ἤδη παρηκμακότι. τούτους μὲν οὖν τοὺς Εὐρυσθέας πολλὰ χαίρειν τοὐντεῦθεν μετὰ τῆς δεσποίνης Ἥρας ἐάσειν μοι δοκῶ· ἥτις τὴν ἐπικράτειαν μὲν τοῦ κλέους λαχοῦσα, τοῦ ἀνθρωπίνου δὲ φρονήματος αὐτεπιτάκτως κυριεύουσα, παντί τινι τῶν γενναίων αὐτοκρατορικῶς τε καὶ δεσποτικῶς προσενήνεκται. ἐμὲ μέντοι τῆς κυρείας αὐτῆς ἴσως οὐκ ἤδη ἐξαιρήσεται ἡ τῆς φιλοτιμίας παρακμή, ἣ τὸ γοργὸν καὶ νεανικὸν συμμαραίνειν φιλοῦσα μετὰ τῆς ἡλικίας αὐτῆς. ὥσπερ οὖν παραλελυμένος τῆς λειτουργίας τῆσδε, καὶ ἄδειαν εἰς τὸ ὕστερον εὑρημένος, ἑκόντων ἤδη ὄντων τῶν πρότερον οὐχ ἡσυχάζειν ἐώντων, ἐξίσταμαι τῆς σκηνῆς, οὐδέπω ἀπειπούσης πάντη τῆς φωνῆς τὴν τέχνην καταστάμενος. οὐ γὰρ δὴ ἀρεσκόμενοί εἰσι τῆς λαμπαδηδρομίας φασὶ τοῖς ἐν ἐφεδρείᾳ παραχωροῦσιν ἤδη ἀποκάμνοντες. εὐδοκιμεῖτε νέοι, καὶ περὶ τὴν φιλολογίαν ἐρρωμένως εὐημερεῖτε. ἐν τῇ τῶν Παρησίων, Αὐγούστου μηνὸς ἔτει ἐνάτῳ καὶ εἰκοστῷ ἐπὶ τοῖς χιλίοις καὶ πεντακοσίοις.

ΙΛΕΡΜΩ ΒΟΥΔΑΙΩ ΤΩ πάνυ Ἑρμόδωρος εὖ πράττειν.

Οἱ τῶν ἑλληνικῶν δι' ἐφέσεως ἔχοντες λόγων τοσοῦτον ὀφείλουσι τῇ σῇ λογιότητι, θεοείκελε κύριε, ὅσον τοῖς πάλαι τοὺς λόγους ἐξευρηκόσιν. οἱ μὲν γὰρ τὴν ἀρχὴν αὐτῶν ἐξεῦρον, σὺ δὲ μὴ ἀμαυρωθῆναι τὰ γραφέντα ἐπόνησας, ἡράκλειον ἆθλον ὑπομείνας. δεῖ δὲ τὸ ἑαυτοῦ μέρος ἕκαστον χάριτας ὅτι πλείστας συνεισφέρειν τῷ εὐεργέτῃ Βουδαίῳ, λόγῳ, ἔργῳ, γράμματι μηδενὸς ἀμελοῦντα, ὅσα πρὸς εὐχάριστον τείνει γνώμην. τοὺς γὰρ τοιούτους ἄνδρας, θεούς, οἱ πρὸ ἡμῶν ἡγήσαντο, τὰ μεγέθη τῶν ἀρετῶν εἶναι ἐκπληττόμενοι, καὶ τῇ πρὸς αὐτοὺς εὐεργεσίᾳ θελγόμενοι. ὅθεν καὶ αὐτὸς κἂν μήπω τεθέαμαι τὸ σὸν ὕψος, τὴν ὠφέλειαν ἔχων ἐκ τῶν σχεδιασθέντων σοι βιβλίων, ταῦτα τῇ ὑπερφυεῖ σου παιδεύσει ἐγχειρίζω τὰ γράμματα, τεκμήριον τῆς σῆς πρὸς πάντας εὐεργεσίας, τοῖν ποδοῖν ἐξαπτόμενος τοῖν σοῖν γονυπετῶς, καθάπερ οἱ τὰς εὐχὰς τῷ θεῷ καθιεροῦντες. πολλὰ γάρ σε πολλοῖς καὶ πολλαχοῦ, ἢ μᾶλλον φάναι ἁπανταχοῦ τῆς οἰκουμένης περιβόητον εἶναι ἐποίησεν, ἀλλ' οὐδὲν τῶν ἁπάντων τοσοῦτον, ὡς τὸ ἐπιεικὲς τῶν τρόπων, καθὰ παρὰ πάντων τῶν ξυνομιλησάντων σοι ἀκούειν ἔστι, καὶ τὸ ὑπερφυὲς τῶν ἑλληνικῶν καὶ λατινικῶν μαθημάτων, ἃ δὴ κιμμερίοις ὁμί-

GVLIELMO BVDÆO VIro ornatiſſimo Hermodorus benè agere.

DEſiderio literarum Græcarum capti tantũ debent tuæ facundiæ, proximè ad deos immortales accedens domine, quantũ priſcis literarum repertoribus. hi enim primordium earum excogitarunt, tu verò ne extinguerẽtur ea quæ ſcripta ſunt elaboraſti, Herculeas ærũnas ſuſtinens. Sed operæprecium eſt pro ſua ipſius virili parte vnumquenque gratias quãplurimas conferre in benemeritũ Budæum, ſermone, opere, ſcriptura, nihil miſſum faciendo, quod ad minimè ingratum ſpectat ingeniũ. Nam huiuſmodi viros, deos, qui ante nos fuerunt, arbitrati ſunt, virtutũ amplitudine credo in admirationẽ & ſtuporem adducti, & in ſe ipſos liberalitate inuitati. Quapropter etiã ego quamuis nondum aſpexerim tuam excellentiam, commodũ obtinens ex improuidè compoſitis à te libris, has inſigni tuæ doctrinæ voueo literas, teſtimonium tuæ in omnes munificentiæ, pedibus tuis me aduoluens genua flectendo, inſtar eorum qui obſecrationes deo conſecrant. Multa quippe te multis & paſſim, aut potius dicam vbicũque orbis terrarũ celebrem ac nominatiſſimum effecerunt, at nihil ex omnibus tantum ſicuti modeſtia morum tuorum, prout ab omnibus qui tecum commercium habuerunt audire licet, & præſtantia Græcarum & Latinarum ſcientiarum, quas profectò cimmeriis ne-

bulis propemodũ occultas tua peritia in lucẽ adduxiſti. Proinde cum amore ſuſpiciẽdus es ac beatꝰ prædicãdus,fortunati huius tui ingenij cauſa.Nã felix eſt ille iuxta Thebanum poëtã, quẽ exiſtimationes bonæ occupãt. In te honore efferatur vniuerſa magnanima Gallia, per quẽ,aliis quondã nationibus,armis & victoriis eminentiores Galli,nũc etiam literis ſuperant cuiuſuis loci habitatores. Quænam Demoſthenis in dicendo vehementia hæc tua ſcripta,vel Platonis ſapiẽtia oratione adæquare valeat? Quapropter his qui eadẽ valent laudibus exornare relinquentes,nos cum timore & pauore tuũ ſplendorẽ exquiſitè cernere impotentes,& eo perterrefacti,non ſecus atque hij qui ſacris adſtant cum taciturnitate magnopere venerandum nomen colunt, preces ſubmurmurando fundimus titubante lingua, & mente vertigine reíque admiratione implicita. Pariter etiam ſupplicationem hanc vnà cum precibus tuæ ſublimitati offerre nihil nos pudet duabus de cauſis,& quia in tua benignitate fiduciã poſuimus, & quia totã Galliam dedecore liberauimus. Vitio vertunt enim omnes, quicunque orientem habitant, inſuperabili regi veſtro & beneficiis & maleficiis peruerſè liberalitatem rependenti, quam exercitus ipſius hîc degens cognouit à Macario Benedicto Conſtintano. Is quippe in anguſtiis cùm eſſent illi tum pecuniæ, cernens fame periclitantes viros, & neque Perſarum regẽ volentem pecunias ſubminiſtrare,

χλαις μονονοὺ κεκαλυμμένα τῇ σῇ συνέσει εἰς φῶς ἤγαγες. ζηλωτὸς τοίνυν καὶ μακάριστος σὺ μακαρίας ταύτης φύσεως· ὄλβιος γὰρ κατὰ τὸν θήβηθεν ἀοιδὸν, ὃν φᾶμαι κατέχοντ' ἀγαθαί. ἐπὶ σοὶ μεγαφρονείτω πᾶσα ἡ μεγαλόφρων Γαλλία, δι' οὗ τῶν ἄλλων πάλαι τοῖς ὅπλοις καὶ νίκαις ὑπερέχοντες, νῦν καὶ λόγοις τῶν ἁπανταχοῦ πλεονεκτοῦσι. τίς ταῦτα Δημοσθένους δεινότης, ἢ Πλάτωνος σοφία τῷ λόγῳ ἐξισῶσαι δύναιτ' ἄν; διὸ δὴ ταῦτα τοῖς δυναμένοις ἐγκωμιάζειν παρέντες, ἡμεῖς μετὰ δέους καὶ θάμβους τῇ σῇ λαμπρότητι καὶ ταύτῃ ἐνατενίζειν μὴ δυνάμενοι, ἐκπληττόμενοι, καθάπερ οἱ τοῖς ἱεροῖς παριστάμενοι, σιγῇ τὸ μέγα σεβάσμιον ὄνομα σέβοντες, τὰς εὐχὰς ὑποτονθορύζομεν βαμβαλιζούσῃ τῇ γλώττῃ, καὶ τῷ νῷ ἰλίγγῳ καὶ θαύματι κατεχομένῳ. ὁμοίως καὶ τὴν ἱκετηρίαν τήνδε σὺν ταῖς εὐχαῖς τῷ σῷ ὕψει προσφέρειν οὐκ αἰσχυνόμεθα δυοῖν ἕνεκα, τοῦ τε τῇ σῇ φιλανθρωπίᾳ τεθαρρηκέναι, καὶ τοῦ πᾶσαν Γαλλίαν ψόγου ἀπαλλάξαι· μέμφονται γὰρ πάντες, ὅσοι τὴν ἕω ἔχουσι, τῷ ἀηττήτῳ καὶ εὐποιΐαις καὶ κακοποιΐαις ὑμῶν βασιλεῖ κακῶς ἀνταμειψαμένῳ τὴν εὐεργεσίαν, ἣν ὁ στόλος αὐτοῦ ἐνταῦθα διάγων ἔγνω παρὰ τοῦ μακαρίου Βενεδίκτου Κωσιντάνου. Οὗτος γὰρ ἐν στενοῖς ὄντων ἐκείνων τότε τῶν χρημάτων, ὁρῶν λιμῷ ἀπολλυμένους τοὺς ἄνδρας, καὶ μηδὲ τὸν τῶν Περσῶν βασιλέα βουλόμενον χρήματα παρέχειν,

αὐτοῖς αὐτεπάγγελτος ἐν τοῖς δεινοῖς ἐβοήθησε λόγῳ, ἔργῳ, χρήμασι, πάντα θ' ὅσα ἐδέοντο ὑπηρετῶν· ὃς μὰ τὸν λόγοις προϊστάμενον θεὸν, τὰ ἑαυτοῦ πάντα ἐάσας, πῶς ἂν ἐκείνοις μόνοις βοηθεῖν, τὸν νοῦν προσεῖχε, μεθ' ὅσης εὐνοίας, μεθ' ὅσης σπουδῆς, χριστὲ βασιλεῦ; ὑπέσχοντο δ' αὐτῷ πάντες ἦ μὴν προξενητὴν καταστῆσαι τῶν Γάλλων· καὶ ὁ μὲν τῆς ὑποσχέσεως ἕνεκα πέμπει τῶν ἑαυτοῦ τινὰ δοῦλον, τοῦ τε τὰ χρήματα εἰσπράξειν, καὶ τοῦ τὸ ὑποσχεθὲν ἐς τέλος ἄξειν. ὁ δὲ καλὸς ἐκεῖνος νεανίσκος οὐκ οἶδ' ὅπως ἑαυτῷ περιποιησάμενος ἔχει, τοῖς ἐκείνου παισὶ καὶ οἰκείοις μακρὰν χαίρειν εἰπὼν, προσαναλώσας χιλίους χρυσίους ἐκ τῶν εἰσπραχθέντων ἐκείνων χρημάτων. ὅθεν ζημιωθέντες οὗτοι ὑπό τε τοῦ ἀναλώματος τῶν χιλίων χρυσίων, καὶ τῇ ζημίᾳ τοῦ κέρδους, ὃ προσέλαβον ἂν ἐμπορευόμενοι, σφαλέντες τε προσέτι τῆς ὑποσχέσεως, οὐ τῇ τῶν Γάλλων ἐλευθεριότητι πρέπειν οὕτω τοὺς εὖ ποιήσαντας ἀντευεργετεῖν ἡγούμενοι, ἐπετρέψαντό τινι τῶν αὐτόθι ἐμπόρων ζητῆσαι, εἰ δυνατὸν τὴν ὑπόσχεσιν αὐτοὺς ἔχειν, καὶ μὴ τὸν αὐτῶν θεράποντα ταύτης ἀπολαύειν μετὰ τοσούτου ψόγου. δεῖ γὰρ τὸν εὐεργετήσαντα ἀντευεργετεῖσθαι, καὶ μὴ τὸν μηδὲν εὐεργετήσαντα. τούτου τοῦ ψόγου τὴν Γαλλίαν ἀπολύσασθαι πειρᾶ, ἵνα δόξῃ τὸ τῶν κελτῶν μεγαλόφρον μηδέποτε ἀμνημονικὸν τῶν εὐεργεσιῶν, κἂν μικραὶ διατελῶσι γε οὖσαι. τὸ γὰρ με-

ipſe non rogatus in ſummis diſcriminibus eis patrocinatus eſt, ſermone, opere, pecuniis, omnia quibuſcunq. indigebant ſuggerens, qui per deum literarũ præſidem, ſua ipſius negotia omnia miſſa faciens, quo pacto illis ſolis auxiliaretur, animo attendebat, quãta beneuolẽntia, quanto ſtudio, rex Chriſte? Promiſerunt porrò ipſi omnes quidem certè Gallorum proxenetam & conciliatorem ſe eum effectu‑ros eſſe; & is quidem pollicitationis cauſa mittit quendã ſeruorum ſuorum, & vt pecunias exigat, & quod pollicitũ eſt ad finem ducat. Ille autem egregius iuuenis haud noui quo pacto ſibiipſi vendicauit. Conſtintani pueris ac familiaribus longũ vale vbi dixiſſet, cùm præterea inſumpſiſſet mille aureos ex illis exactis pecuniis. Vnde mulctã paſſi illi & propter impenſam mille aureorum, & mulcta prouẽtus, quem ſibi aſciuiſsẽt negotiatores, falſique præterea pollicitatione, haud Gallorum liberalitati congruũ eſſe ſic in benè meritos officiũ rependere arbitrantes, demandarunt cuipiam illic morantiũ mercatorũ vt peteret, ſi facultas eſſet, quò ipſi rem promiſſam obtinerent, & non ſuus ipſorũ famulus eam adipiſceretur cũ tanto dedecore. Nam operæpreciũ eſt eum qui ſe beneficum exhibuit mutuũ percipere promeritũ & minimè eum qui nulla in re benè meritus eſt de alio. Hac infamia Galliã liberare enititor, vt videatur Celtarum animi magnitudo nunquam immemor eſſe beneficiorũ, quamuis parua quidẽ ſint. Nã quod exi-

guum eſt opportunè quidẽ, maius eſt eo quod intempeſtiuè magnum eſt. Omnes quippe in beneficio cõferendo priores partes occupantes mutuò accipere digni ſunt. Ita etiã Athenę Epicradẽ remuneratę ſunt, non magnitudinis gratia elargitarũ pecuniarum: Centum enim erant minæ ſolùm: verùm cũ opportunitate datarũ. De hoc non noui quãobrẽ oporteat plura ſcribere, præſertímq. ad tale numẽ & eximium virum ſcribẽs, primas Græcæ Latinæque elegãtiæ tenentẽ: Quem rectis oculorũ pupillis intueri nõ ſuſtinerẽ, niſi anſam à tua magnanimitate & benignitate aſſumerem. Sed & hũc in modũ ſudore perpetuo circũfluens tãtas res audeo, pudore fiduciæ ac temeritatis. Aſt ego noui Iouem cęleſtẽ minimè contẽnere etiã inelegantium & inurbanorum precationes, maiorémque capere voluptatẽ ex puro corde inornatis obſecrationibus, quàm ex futili facundis & Atticorũ ritu elaboratis ſermonibus: Quem & ipſe modo imitans, cãdido animo hanc ex nobis in tuam ſublimitatẽ affectionẽ admittas, licet ſupplices miniméque ornatæ ſint hæ literæ, & eas ad te perferenti opẽ auxiliúmque feras, ſuper his quæ ſupplices à te rogamus. Vale, muſarũ patrone, quouſque nos ad tua genua prouoluti, manibus tuis ſeruiliter oſculũ dem⁹. Ex Chio inſula maris Ægæi, Octobris decimo quinto die, anno milleſimo quingenteſimo triceſimo nono.

κρὸν ἐν δέοντί γε, μεῖζον τοῦ μεγάλου, μὴ ἐν δέοντι. πάντες γὰρ οἱ προϋπάρχοντες χρειῶν ἀνταπολαμβάνειν ἄξιοι εἰσίν. οὕτω καὶ Ἀθῆναι τὸν Ἐπικέρδην ἐτίμησαν, οὐ τοῦ πλήθους ἕνεκα τῶν δοθέντων χρημάτων· ἑκατὸν γὰρ ἦσαν μναῖ μόναι· ἀλλὰ τῆς εὐκαιρίας τῶν δοθέντων. περὶ τούτου οὐκ οἶδ' ὅτι πλείω δεῖ γράφειν, καὶ ταῦτα πρὸς τοιοῦτον θεῖον καὶ ὑπερφυῆ ἄνδρα γράφων, τὸν τὰ πρῶτα τῆς ἑλληνικῆς καὶ λατινικῆς εὐμουσίας φέροντα· ὅνπερ οὐδ' ὀρθαῖς ταῖς κόραις ἀτενίσαι τολμήσαιμι, εἰ μὴ τὸ ἐνδόσιμον παρὰ τῆς σῆς μεγαλοψυχίας καὶ φιλανθρωπίας παρέλαβον· ἀλλὰ καὶ οὕτως ἱδρῶτι πάντοτε περιρρεόμενος τολμῶ τὰ τοσαῦτα, αἰδοῖ τῆς τόλμης καὶ αὐθαδείας. ἀλλ' οἶδ' ἐγὼ καὶ Ζῆνα τὸν ὀλύμπιον μὴ ἀπαξιοῦντα καὶ τὰς ἀγροίκων δεήσεις, καὶ μᾶλλον χαίροντα ἐξ εἰλικρινοῦς καρδίας ἀτημελήτοις εὐχαῖς, ἢ ἐκ ματαίας κομψοῖς καὶ ἀττικουργέσι λόγοις· ὃν καὶ αὐτὸς τὸ νῦν εἶναι μιμούμενος, εὐμενῶς ταύτην τὴν παρ' ἡμῶν περὶ τὸ σὸν ὕψος διάθεσιν προσδέξῃ, κἂν ἀφελῆ καὶ μὴ κεκαλλιεπημένα ὦσι τὰ γράμματα, καὶ τῷ κομιστῇ τῶν γραμμάτων βοηθήσῃς, ὑπὲρ ὧν ἱκετεύομεν. ἔρρωσο, τῶν μουσῶν προστάτα, μέχρις ἂν ἡμεῖς γονυπετοῦντες, τὼ χεῖρε κύσομεν δουλικῶς. ἀπὸ Χίου, τῷ αφλθ. πυανεψιῶνος ε ἐπὶ δέκα.

Τῷ θεῷ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

9249

Wm MacMath
11th January 1911.

848.2 B927E 359219

5